scotomatiques (c'est-à-dire accompagnées de vertige), doivent être aussi sou-
mises à l'évacuation au commencement du printemps, après, toutefois,
qu'on aura déterminé préalablement quelle est l'humeur en excès, car,
chez quelques-uns, il y a surabondance plutôt de bile amère que des autres
humeurs; chez d'autres, c'est la bile noire ou la pituite qui prédo-
mine; chez d'autres enfin, il y a surabondance égale de toutes, et on
dit, dans ce dernier cas, qu'il y a *pléthore sanguine.* Vous soumettrez 14
donc à l'évacuation, au commencement du printemps, tous ces individus
et aussi ceux qui sont affectés de goutte ou de rhumatisme; mais vous
vous servirez tantôt d'un médicament purgatif, et tantôt de la saignée.
Ce n'est pas seulement dans le cas de pléthore, soit eu égard aux forces, 15
soit eu égard au contenu, que la saignée réussit parfaitement, mais
aussi lorsqu'il y a inflammation commençante sans pléthore, que cet
accident tienne à une violence extérieure, à la douleur, ou à la faiblesse
des parties. On saignera encore, en tout état de cause, s'il y a immi- 16

2. *γε* BV. — 3. *πάθεσιν εὐάλωτοι καί* Gal. — 4. *κεν. ἢ προδ.* AB. — 6-7. *ἢ φλεγμ.* Gal. — 7. *ἅμα* A 1a m. B text., CV. — 8-9. *ποδαλγικούς* ABCV. — 10. *πρὸς κατὰ τήν* C. — 13 *μέλλει* *Syn.*; *μέλλοι* ABCV; *φαίνοιτο* Gal.

νόσημα, φλεβοτομήσομεν πάντως, κἂν μηδὲν ᾖ τῶν τοῦ πλήθους γνωρισμάτων, ἐπισκοποῦντες ἡλικίαν τε καὶ ὥραν καὶ χώραν καὶ δύναμιν, ὥστε τρία τὰ συνέχοντα τὴν διάγνωσιν εἶναι, μέγεθος νοσήματος, ἤτοι παρὸν, ἢ προσδοκώμενον, δυνάμεως ῥώμη, ἡλικία πλὴν τῶν παίδων καὶ γερόντων ἡ ἄλλη· ἀρκοῦσι γὰρ οὗτοι μόνοι σκοποὶ πρὸς φλεβοτομίαν· οὐδὲ γὰρ, ὁπότε πλῆθος ὠμῶν χυμῶν ἤθροισται τοιοῦτον, ὡς κωλύεσθαι φλεβοτομεῖν, ὁ λόγος ἐλέγχεται· ῥώμη γὰρ τούτοις δυνάμεως οὐ πάρεστι, καὶ αὐτό γε τοῦτό ἐστι γνώρισμα τοῦ μὴ δύνασθαι φλεβοτομίαν ἐνεγκεῖν αὐτοὺς, ὅταν ἅμα τῷ χρώματι τοῦ παντὸς σώματος ἐκπεπτωκότι τοῦ δηλοῦντος αἷμα πλεονάζειν ὁ σφυγμὸς ἀνώμαλος ᾖ κατὰ σφοδρότητα καὶ μέγεθος, ἐπικρατούντων κατὰ τὴν ἀνωμαλίαν αὐτοῦ τῶν ἀμυδρῶν τε καὶ μι-
17 κρῶν. Καὶ περὶ τῶν ἑκατέρου δὲ τοῦ πλήθους γνωρισμάτων ἐν τῷ παρόντι σκεψώμεθα, πότερον ἐπὶ φλεβοτομίαν ἀφιξόμεθα πάν-

nence d'une maladie grave, même quand il n'existe aucun signe distinctif de pléthore, en ayant égard toutefois à l'âge, à la saison, au pays et aux forces; par conséquent, on se détermine pour ou contre la saignée d'après trois éléments : la gravité de la maladie, soit présente, soit imminente; l'intégrité des forces, et l'âge, qui ne doit être ni celui des enfants, ni celui des vieillards; en effet, ces trois moyens d'indication suffisent à eux seuls pour nous déterminer à saigner; en effet, lors même qu'il y a une telle accumulation d'humeurs crues surabondantes, qu'elle nous empêche de saigner, le raisonnement ne se trouve pas en défaut, puisque, dans ce cas, l'intégrité des forces n'existe pas; or, c'est justement cela qui nous fait reconnaître que ces sujets ne peuvent pas supporter la saignée, lorsque la couleur de tout le corps est loin de celle qui indique la pléthore sanguine, en même temps que le pouls est inégal eu égard à la force et à la grandeur, avec prédominance des pulsations faibles et
17 petites dans cette inégalité. Examinons maintenant les signes distinctifs de chaque espèce de pléthore [pour savoir] si, dès que ces signes se

1. νόσ.] πάθος Gal.— 2. καὶ ὥραν om. Gal. — Ib. καὶ χώραν om. ABCV Ras. — 3. τά om. ABCV. — 7. τοιούτων ABCV. — Ib. κελεύεσθαι Gal. — 10. ἐκπεπτωκότος ABC 1a m. V; ἐμπεπτωκότι Gal. — 13. δέ] γε C; om. Gal. — 14. σκεψόμεθα C. Gal. — Ib. πρότερον ABV. — Ib. ἀναφιξόμεθα ABCV.

τως, ὅταν φαίνηται ταῦτα ἐπί τινος τῶν ἔτι τὰ συνήθη ϖραττόν-
των, ἢ οὐκ ἀναγκαῖον, ὅταν μηδεμία ϖροσδοκία μεγάλου νοσήματος
ᾗ. Τίνα τοίνυν ἔχω καὶ ϖερὶ τούτου γνώμην, ἴστε ϖολλάκις αὐτοὶ 18
ϖαραγενόμενοι συμβουλεύοντι τοῖς ἤτοι ϖοδαγρικοῖς, ἢ ἀρθριτικοῖς,
ἢ ἐπιληπτικοῖς, ἢ μελαγχολώδεσιν, ἢ αἷμα ϖρόσθεν ἐπτυκόσιν,
ἢ τὰ κατὰ θώρακα ϖρὸς τοιούτου τινὸς ϖαθήματος κατασκευὴν ἐπι-
τηδείως ἔχουσιν, ἢ σκοτωματικοῖς, ἢ συνεχῶς ἁλισκομένοις συνάγχῃ,
ἢ ϖεριπνευμονίᾳ, ἢ ϖλευρίτισιν, ἢ ἡπατίτισιν, ἢ ὀφθαλμίαις
σφοδραῖς, ἢ καθόλου φάναι μεγάλῳ νοσήματι· φλεβοτομίαν γὰρ ἐπὶ
τῶν τοιούτων ἁπάντων ἀναγκαῖον εἶναί φημι βοήθημα ϖαραχρῆμα
ϖροσαγόμενον ἐπὶ διωρισμένῃ τῇ δυνάμει τε καὶ τῇ ἡλικίᾳ· ταῦτα
γάρ, εἰ καὶ μὴ λεχθείη ϖοτέ, ϖροσυπακούεσθαι χρή. Τοῖς δὲ μη- 19
δὲν τοιοῦτο ϖεπονθόσι ϖρόσθεν, ἁπάντων τε τῶν μορίων τοῦ σώ-

présentent chez quelqu'un qui se livre encore à ses occupations habituelles, il faut avoir recours à la saignée, ou si cela n'est pas nécessaire, quand il n'y a aucune imminence de maladie grave. Vous savez quelle 18
est mon opinion à cet égard, car vous m'avez souvent vu donner des avis à des gens affectés de goutte ou de rhumatisme, à des épileptiques, à des mélancoliques, à des sujets qui avaient autrefois craché du sang, ou dont les organes de la poitrine avaient de la tendance à devenir le siége de quelque maladie semblable, qui avaient du vertige, ou qui étaient sujets à l'angine, à la péripneumonie, à la pleurésie, à l'*hépatite*, aux ophthalmies graves, ou, pour le dire en un mot, à une maladie importante; en effet, je soutiens que, pour tous ces individus, la saignée est un remède indispensable qu'on doit administrer immédiatement, après avoir toutefois constaté l'état des forces et l'âge, car cela doit être sous-entendu, même quand parfois je ne le dis pas. Quant à ceux qui n'ont présenté 19
auparavant aucun symptôme semblable et dont toutes les parties du corps

1. ϖερί τινα Gal.— 2-3. νοσ. Ἤν τινα Gal.— 4. ϖαραγεγονότες μοι Gal.— Ib. ϖοδαλγικοῖς Codd. — 6-7. ἢ κατὰ θώρ. ϖρ. τοιοῦτον ϖάθημα κατασκ. ἐπιτηδείαν Gal.— 7. ἔχουσιν om. C.— Ib. ἢ συνεχ. om. BV.— 7-8. ἁλισκ.... ϖεριπν. om. BV. — Ib. κυνάγχαις Aët. — 8. ϖεριπνευμονικοῖς AC. — Ib. ἢ ϖλευρίτισιν om. ABCV Ras. — 11. ἐπιδιωρισμένῃ Gal. — 11-12. ταῦτα εἰ μὴ Gal. — 12. ἐλεγχθείη ABC 1ª m. V. — 13. τοιοῦτον V. Gal. — Ib. ἔμπροσθεν Gal.

ματος ἄμεμπτον ἔχουσι κατασκευὴν ἴστε δήπου διττὴν ὁδὸν τῆς κενώσεως ὑποτιθέμενόν με, διὰ φλεβοτομίας μὲν, εἰ ἀκρατεῖς εἶεν τῇ διαίτῃ, χωρὶς δὲ ταύτης, εἰ ἐγκρατεῖς· ἔνεστι γὰρ καὶ τρίψει πολλῇ καὶ λουτροῖς καὶ περιπάτοις καὶ ταῖς ἄλλαις κινήσεσιν, ἔτι τε χρίσμασι διαφορητικοῖς ταχέως ἐκκενῶσαι τοῦ πλήθους, εἰ μὴ ἄρα σοι δόξειέ ποτε παχέος αἵματος εἶναι πλεονεξίαν, τοιοῦτον δέ ἐστι μάλιστα τὸ μελαγχολικὸν, ὡς τὰ πολλὰ, σπανίως δέ που καὶ τὸ τῶν ὠμῶν καλουμένων χυμῶν· ἀλλὰ ἐπὶ μὲν τῆς μελαγχολικῆς περιουσίας φλεβοτομεῖν ἄμεινον, ἢ πάντως γε φαρμάκῳ χρῆσθαι μελάνων καθαρτικῷ· τῶν δὲ ὠμῶν χυμῶν ἐπικρατούντων, πρὶν μὲν ἄρξασθαι νοσεῖν, εὐλαβῶς ἀποκενώσεις· ἤδη δὲ πυρεττόν-
20 *των, ὡς ἔμπροσθεν εἶπον, οὐδὲ ὅλως.* Ἕξεις *δὲ αὐτῶν γνώρισμα τό τε τῆς χροιᾶς οἷον μολυβδῶδες, ἢ ὠχρόλευκον, ἅπαντα δὲ μᾶλλον*
21 *ἢ ἐρυθρὸν, καὶ τὴν τῶν σφυγμῶν ἀνωμαλίαν.* Εἰ *δὲ ἱκανῶς ηὔξη-*

ont une conformation irréprochable, vous savez que je leur applique deux méthodes d'évacuation, la saignée, quand ils mènent une vie intempérante, et l'autre méthode, s'ils sont tempérants; en effet, on peut rapidement évacuer les humeurs surabondantes par une friction prolongée, par des bains, par les promenades et par les autres exercices, ou bien encore par des liniments qui favorisent la perspiration, à moins qu'on ne juge parfois qu'il y a surabondance de sang épais, lequel est le plus souvent de la nature de la bile noire, dans quelques cas rares de celle des humeurs appelées crues; mais, s'il y a surabondance de bile noire, il vaut mieux saigner, ou, du moins, administrer en tout cas un médicament qui purge les matières noires; si, au contraire, les humeurs crues prédominent, on évacuera avec précaution avant que les individus commencent à être malades, et on s'abstiendra tout à fait, comme je l'ai
20 déjà dit, quand ils ont la fièvre. Vous reconnaîtrez ces gens à leur couleur, qui est d'une pâleur jaunâtre, ou imitant, en quelque sorte, le plomb, et se rapprochant de toute autre nuance plutôt que du rouge, ainsi qu'à
21 l'inégalité du pouls. Si une pareille surabondance d'humeurs est portée

5. τε om. Gal. — Ib. τὸ πλῆθος Gal. — 6. παχέως B corr., C. 2ª m.; ταχέως ABCV. — 7. που] πως ABCV. — 8. καλουμένων om. BV. — 8-9. μελαγχ. καλουμένης Gal. — 9. οὐσίας BV. — Ib. γε om. B. — 13. χροᾶς ABCV. — Ib. οἷον om. Gal. — Ib. μολυβδωδός ABC 1ª m. V. — Ib. ἄπ. τε Gal.

μένον εἴη τὸ τοιοῦτον πλῆθος, καὶ βάρος τοῦ σώματος αὐτοῖς
σύνεσῖι, καὶ πρὸς τὰς κινήσεις ὄκνος, καὶ γνώμης νωθρότης καὶ
αἰσθήσεως ἀμαυρότης. Ἔμπαλιν *δὲ τούτοις τοὺς ἐξ ἐπισχέσεως αἱ-* 22
μοῤῥοΐδων ἠθροικότας αἷμα φλεβοτομήσεις θαῤῥῶν, κἂν μηδέπω
πρότερον ὦσι μεγάλου πεπειραμένοι νοσήματος· ἐνδέχεται γὰρ
αὐτοὺς ἐπιτηδείους μὲν εἶναι πρός τι τῶν τοιούτων, οὐδέπω δὲ πε-
πονθέναι διὰ τὴν ὑπὸ τῶν αἱμοῤῥοΐδων κένωσιν. Ἐὰν *δὲ καὶ φαί-* 23
νωνταί τινα μόρια κατεσκευασμένοι μοχθηρῶς, καὶ μάλισῖα τὰ κατὰ
θώρακα, πάντως αὐτοὺς φλεβοτομήσεις ἐν τάχει. Τὴν *αὐτὴν δὲ* 24
γνώμην ἴσῖε με καὶ περὶ γυναικῶν ἔχοντα τῶν ἐπεσχημένων τὴν
ἔμμηνον κάθαρσιν· οὐδὲ γὰρ οὐδὲ ἐπὶ τούτων ἀναβάλλεσθαι χρὴ τὴν
κένωσιν· οὐ μὴν ἀναγκαῖόν γε σχάσαι τὴν φλέβα· καὶ γὰρ αἱ τῶν
σφυρῶν ἀποχαράξεις ἱκαναὶ κενῶσαι τὸ περιτῖόν, ἔχουσαί τι καὶ
ἄλλως προτρεπῖικὸν εἰς τὴν τῶν ἐμμήνων κένωσιν, ὥσπερ γε καὶ

à un degré très-avancé, les malades sont pris de pesanteur du corps, de
paresse pour les mouvements, de torpeur de l'intelligence et d'affaiblisse-
ment des sensations. Il faut, au contraire, saigner hardiment ceux qui 22
ont une accumulation de sang par suite de la rétention des hémorroïdes,
même lorsqu'ils n'ont pas encore eu auparavant quelque maladie impor-
tante, car il pourrait se faire qu'ils fussent prédisposés à quelque maladie
de cette nature, bien qu'ils n'en eussent pas encore été attaqués à cause
de l'évacuation produite par les hémorroïdes. S'ils paraissent, en outre, 23
avoir certaines parties mal conformées, et surtout les organes de la poi-
trine, on se hâtera de les saigner en tout état de cause. Vous savez que 24
je professe encore la même opinion par rapport aux femmes dont les
règles sont supprimées; dans ce cas, en effet, on ne différera pas non plus
l'évacuation du sang; cependant, il n'est pas nécessaire d'inciser la veine,
car les scarifications des malléoles suffisent pour évacuer le superflu; de
plus, elles provoquent, jusqu'à un certain point, l'écoulement des règles;

1. *τό* om. V. — 3. *αἰσθήσεων* Gal. — Ib. *ἐπισχέσεων* ABCV. — 4. *μή* Gal. — 5. *πεπειρ. μεγάλου* V Gal. — 6. *τι*] *τήν* ABC 1ª m. V. — 7-8. *καὶ φαίνων καί* C 1ª m. — 10. *τήν* om. A 1ª m. — 11. *ἐμμήνων* C. — 12. *σχίσαι* B corr. — Ib. *τήν* om. A. — 13. *τι*] *τε* ABV. — 14. *ἄλλο* Gal. — Ib. *κίνησιν* Gal.

25 αἱ κατὰ τὰ σφυρὰ καὶ τὰς ἰγνύας φλεβοτομίαι. Τὰς γοῦν ἐξ ἐπισχέσεως καταμηνίων ἀπὸ τῶν σκελῶν πάντως κενώσεις, εἴτε φλέβα χρὴ τέμνειν, εἴτε ἀποσχάζειν · ἀντισπᾷν γὰρ εἴωθεν ἥ τε ἐξ ἀγκῶ-
26 νος φλεβοτομία τὰς τῶν γυναικῶν καθάρσεις. Ἀθροίζουσι δὲ καὶ τούτων αὐτῶν ὅσαι μὲν λευκότεραι λεπτότερον αἷμα, καὶ διὰ τοῦτο ταῖς ἀπὸ τῶν σφυρῶν ἀμυχαῖς ὀνίνανται μάλιστα · τὰς μελαντέρας δὲ φλέβας τέμνων θεράπευε · παχύτερον γὰρ ἀθροίζουσιν αἷμα καὶ μελαγχολικώτερον · ἔτι δὲ μᾶλλον, εἰ καὶ μεγάλας ἔχειν σοι φαίνοιντο τὰς φλέβας · ὑπάρχει δὲ τοῦτο ταῖς ἰσχνοτέραις τε καὶ μελαντέραις, ὡς τὸ πολὺ, καθάπερ ταῖς εὐσάρκοις τε καὶ λευκαῖς ἡ μικρότης τῶν φλεβῶν, ἐπὶ ὧν ἀποσχάζειν ἄμεινον τὰ σφυρὰ τοῦ τέμνειν τὴν φλέβα · καὶ γὰρ καὶ μικρὰς αὗται τὰς ἐν τοῖς σκέλεσιν ἔχουσι φλέβας, ὥστε οὐδὲ ῥεῖ τὸ σύμμετρον, εἰ καὶ καλῶς τμηθεῖεν.

25 il en est de même des saignées aux malléoles, ou à la fosse poplitée. C'est donc toujours aux jambes qu'on pratiquera l'émission sanguine chez les femmes dont les règles sont supprimées, soit qu'il faille inciser une veine, ou faire des scarifications, car la saignée du pli du bras exerce or-
26 dinairement une action révulsive sur les règles. Les femmes blondes amassent plutôt du sang ténu; pour cette raison, ce sont surtout les mouchetures aux malléoles qui leur font du bien; mais il faut traiter les femmes brunes par la saignée, parce que, chez elles, il y a plutôt surabondance de sang épais et atrabilaire, surtout si on voit qu'elles ont de grandes veines; cette ampleur des veines se rencontre ordinairement chez les femmes qui sont plutôt maigres et brunes; de même, la petitesse des veines s'observe chez celles qui ont de l'embonpoint et dont le teint est clair; chez ces dernières, il vaut mieux scarifier les malléoles que de faire une saignée, car les veines de leurs jambes sont si petites, qu'il ne s'écoule pas même une quantité suffisante, quoiqu'on les ait incisées

1. τὰς σφυράς ABCV. — Ib. γοῦν ex em.; γάρ ABCV Gal. — 3. τεμεῖν CV. — Ib. τε om. Gal. — 5. ἐν ταῖς ABCV. — 8. μᾶλλ. ἂν μεγάλας ἔχειν φ. Gal. — 8-9. φαίνοιντο ex em.; φαίνοιντο A; φαίνονται BCV; φαίνωνται Gal. — 9. δέ om. C. — Ib. ταῖς om. Gal. — 10. ὡς . . . ταῖς om. Gal. — Ib. δέ Gal. — Ib. ἡ om. Gal. — 13. ῥεῖν C 2ª m. — Ib. τμηθείη Gal.

Πολλαὶ δὲ ϖλῆθος μὲν αἵματος οὐκ ὀλίγον ἔχουσιν, ἐσχάτως δέ 27
εἰσι λεπταί, καθάπερ ἄλλαι ϖαχεῖαι, ὀλίγαιμοι δέ. Καὶ τήν γε 28
ἐπεσχημένην ὀκτὼ μηνῶν τὰ καταμήνια λεπΊοτάτην οὖσαν, ἀφελὼν
αἵματος οὐκ ὀλίγον, εἰς τὴν οἰκείαν ἕξιν ἐπανήγαγον ἐν ἐλαχίσΊῳ
χρόνῳ, τῇ μὲν ϖρώτῃ τῶν ἡμερῶν ἀφελὼν ὡς λίτραν μίαν ἥμισυ,
τῇ δευτέρᾳ δὲ μίαν, καὶ τῇ τρίτῃ ϖάλιν οὐ ϖολλῷ ϖλέον ἡμίσεως
λίτρας· ἦλθον δὲ ἐπὶ τοῦτο θεασάμενος, ὡς ἐξεῖχον αἱ φλέϐες αὐ-
τῆς, αἵματος μεσΊαὶ φαινόμεναι ϖελιδνοῦ. Οὐ χρὴ δὲ ὑμᾶς κατα- 29
φρονεῖν φλεϐοτομίας, ὡς οὐκ ἀντισπασΊικοῦ βοηθήματος, ἑωρακότας
ἐμὲ ϖολλάκις ἐπὶ τῆς ἐκ ῥινῶν αἱμοῤῥαγίας, ὅταν ᾖ σφοδρὰ, χρώ-
μενόν τε τῷ βοηθήματι καὶ ϖαύοντα τὴν ῥύσιν αὐτίκα. Προσήκει 30
δὲ μὴ ϖεριμένειν εἰς ἔσχατον ἀφικέσθαι καταπΊώσεως τὴν δύ-
ναμιν, ἀλλὰ, ὅταν ἤδη δοκῇ κεκενῶσθαι μὲν τὸ σύμμετρον, ἡ δὲ
ὁρμὴ τῆς φορᾶς τοῦ αἵματος ἰσχυρὰ διαμένῃ, τέμνειν τὴν ἐν ἀγκῶνι
φλέϐα.

comme il faut. Beaucoup de femmes ont une pléthore assez considérable, 27
quoiqu'elles soient extrêmement maigres; de même, d'autres sont grasses,
quoiqu'elles aient peu de sang. J'ai ramené en très-peu de temps à son 28
état normal une femme dont les règles étaient supprimées depuis huit
mois et qui était très-maigre, en lui enlevant une quantité assez considé-
rable de sang; le premier jour je lui en tirai environ une livre et demie;
le second, une livre, et le troisième, un peu plus d'une demi-livre; je fus
amené à ce traitement, en voyant que ses veines étaient turgescentes et
se montraient pleines d'un sang livide. Ne rejetez pas la saignée comme 29
dépourvue d'action révulsive, car vous m'avez vu souvent employer ce
traitement dans les cas de fortes hémorragies nasales et arrêter ainsi
immédiatement l'écoulement. Cependant, il ne faut pas attendre que les 30
forces soient parvenues au dernier degré d'abattement, mais inciser la
veine du pli du bras, quand il semble qu'une quantité suffisante a été
évacuée et que le jet du sang est encore vigoureux.

1. οὐκ om. V. — 3. μησὶν ἤδη τά Gal. — Ib. ἀσφαλῶν C; ἀφαιρῶν 2ᵃ m. — 6. ϖάλιν om. BV. Gal. — 11. τε om. Gal. — 12. ἐπιμένειν BV. — Ib. ἀφικνεῖσθαι ABCV. — 13. ἤδη om. B. — 14. τήν om. Gal.

γ'. Περὶ ἐπαφαιρέσεως.

1 Ἐπὶ ὧν κενώσεως μὲν χρεία πολλῆς, οὐκ ἰσχυρὰ δὲ ἡ δύναμις,
ἐπὶ τούτων προσήκει ταμιεύεσθαι τὴν κένωσιν, καὶ τὴν πρώτην
ἀφαίρεσιν ἐλλιπεσΊέραν ποιησάμενον ἐπαφαιρεῖν αὖθις· εἰ δὲ βού-
λει, καὶ τρίτον, ὥσπερ ἀμέλει κἀπὶ τῶν πλῆθος ἐχόντων ὠμο-
τέρων χυμῶν ἐθεάσασθέ με πράτΊοντα· κενώσας γὰρ ὀλίγον αἵ-
ματος, εὐθέως δίδωμι μελικράτου καλῶς ἡψημένου μετά τινος τῶν
λεπΊυντικῶν φαρμάκων, οἷον ὑσσώπου, ἢ ὀριγάνου, καί ποτε κα-
λαμίνθης, ἢ γληχοῦς, ἢ καὶ πρὸς τῷ μελικράτῳ ὀξυμέλιτος, ἢ ὀξυ-
γλύκεος, εἶτα αὖθις ἐπαφαιρῶ, ποτὲ μὲν ἐπὶ τῆς αὐτῆς ἡμέρας,
ἐνίοτε δὲ κατὰ τὴν ὑσΊεραίαν, ἐν ᾗ πάλιν ὁμοίως διδούς τι τῶν
εἰρημένων φαρμάκων αὖθις ἐπαφαιρῶ, καὶ κατὰ τὴν τρίτην ἡμέραν
2 δοὺς ὡσαύτως. Ἀλλὰ ὅταν ᾖ ζέοντος αἵματος πλῆθος, ἀνάπΊου

3. DE LA RÉPÉTITION DE LA SAIGNÉE.

1 Chez un sujet qui a besoin d'évacuation abondante, mais dont les
forces ne sont pas intactes, il faut diviser l'évacuation; après avoir fait
une première saignée qui soit plus ou moins insuffisante, on la répé-
tera encore une fois, et même, si l'on veut, une troisième, comme vous
m'avez, du reste, vu faire chez les gens qui avaient une surabondance
d'humeurs plus ou moins crues; dans ce cas, après avoir tiré un peu de
sang, je donne immédiatement de l'eau miellée bien cuite avec quelque
médicament atténuant, comme l'*hysope*, l'origan, quelquefois aussi la
menthe sauvage, ou le pouliot; ou bien j'ajoute à l'eau miellée du vi-
naigre miellé, ou de l'eau de rayons de miel; je répète ensuite la saignée
quelquefois le même jour, quelquefois le lendemain, et ce jour-là je
saigne de nouveau, après avoir donné encore une fois quelqu'un des
médicaments susdits; le troisième jour, j'agis de la même manière,
2 après avoir donné la même boisson. Mais, quand il y a une surabondance

Ch. 3; 1. 1. *δέ* om. AC. — 3. *ἐπαφαίρεσιν αὖθις* ABCV. — 3-4. *βούλοιο* Gal. — 5-6. *αἷμα* Gal. — 7. *οἷον*] *ἢ* Gal. — 8. *γλήσχους* A; *γλίχους* V; *γλήχωνος* Gal. — Ib. *μετὰ τοῦ μελικράτου* Gal. — 8-9. *ὀξυγλύκεος* ex em.; *ὀξυγλύκεως* Gal.; *ὀξὺς γλυκέος* A; *ὄξους γλυκέος* BCV. — 9. *ἐπαφαιρῶν* BV. — 11. *μετά* A. — 12. *δούς*] *δίς* Gal. — Ib. *ἀνάπΊων* AB.

ὀξύτατον πυρετὸν, ἀθρόας ἐσΊὶ κενώσεως χρεία, καὶ χρὴ πειρᾶσθαι κενοῦν ἄχρι λιποθυμίας, ἐπισκεψάμενον τὴν ῥώμην τῆς δυνάμεως, ὥσΊε ἐνίων οἶδα κοτύλας ἓξ ἀφελὼν εὐθέως, ἤτοι κατὰ τὴν δευτέραν, ἢ τὴν τρίτην, ἢ τὴν τετάρτην ἡμέραν· ἐνίοτε δὲ καὶ κατὰ τὴν πρώτην αὐτὴν, ὅταν ὁ μὲν πυρετὸς ἄρξηται περὶ τὰ πρῶτα τῆς νυκτὸς, ἢ τὰ μέσα, καλῶς δὲ ᾖ πεπεμμένα τὰ κατὰ τὴν προτεραίαν ἐδηδεσμένα. Τινῶν μὴν κατὰ τὴν προτεραίαν ἀνωμαλίαν, ἢ βάρος, ἢ 3
ἄλγημα κεφαλῆς, ἢ ἄλλου τινὸς μέρους αἰτιασαμένων, καὶ διὰ τοῦτο ἐνδεῶς διαιτηθέντων, ἀρξαμένων δὲ πυρέτΊειν, νυκτὸς ἤδη προηκούσης, οἶδα κατὰ τὴν πρώτην ἡμέραν τελευτῶσαν ἀφελὼν αἵματος· ἐπὶ ὧν γὰρ ἄν σοι φανῇ ζέοντος αἵματος πλῆθος, ὅτι τάχισΊα πειρῶ κενοῦν αὐτὸ πρὶν ἐπί τι κατασκῆψαι μόριον κύριον, ὥσΊε

de sang en effervescence, qui allume une fièvre suraiguë, une évacuation abondante et subite est nécessaire, et on tâchera de pousser l'évacuation jusqu'à la défaillance, en ayant égard à l'état des forces; ainsi je me rappelle avoir tiré d'un seul coup à quelques malades six cotyles de sang, soit le second, soit le troisième, soit le quatrième jour, quelquefois même le premier, quand l'invasion de la fièvre avait eu lieu au commencement, ou au milieu de la nuit, et que les aliments de la veille étaient bien digérés. Je me rappelle encore avoir tiré du sang vers la fin 3
du premier jour, chez certains malades qui avaient accusé, la veille, un sentiment de malaise, ou bien de la pesanteur, ou de la douleur, soit de la tête, soit de quelque autre partie, qui, pour cette raison, avaient observé un régime frugal, et qui avaient commencé à avoir de la fièvre à une époque déjà avancée de la nuit; en effet, chez les sujets qui présentent une surabondance de sang en effervescence, tâchez de l'évacuer aussi vite que possible, avant qu'il ne tombe sur quelque partie importante;

1. καὶ τοῦτο χρή Gal. — 2. ῥῶσιν Gal. — 3. ἐξαφελών ABV; ἐξ ἀφελώντων C 2ª m; ἐξ ἀφελεῖν Gal. — 4. δέ om. Gal. — Ib. καί om. ABCV. — 5. ὁ om. Gal. — 6. δὲ ᾖ] δή ABCV; δέ C 2ª m. — Ib. τά om. ABCV. — Ib. προτέραν A 1ª m. — 7. μήν ex em.; μέν ABCV; δέ Gal. — Ib. ἢ βάρος] ἱδρῶτα Gal. — 8. αἰτιασαμένων ex em.; αἰτησαμένων ABCV; ἠτιασμένων Gal. — 9. ἀδεῶς B. — Ib. διαιτιθέντων B; διατιθέντων A 1ª m. CV. — Ib. ἀρχομένων Gal. — 11. φανῇ ex em.; φανῆται ABCV; φαίνηται Gal.

4 καὶ διὰ τῆς νυκτὸς οὐκ ὀκνήσεις τέμνειν ἐνίοτε φλέβα. Τοὺς δὲ οὕτω διακειμένους ἀῤῥώσΊους, ὡς εἴρηται, καὶ μέχρι λιποθυμίας ἄγειν· ἐνίους γὰρ αὐτῶν οἶδα καταψυχθέντας μὲν ἐξ ἀνάγκης ἐπὶ τῇ λιποψυχίᾳ, προσγενομένων δὲ νοτίδων ἐν ὅλῳ τῷ σώματι καὶ γασΊρὸς
5 καταῤῥαγείσης, ἐν τάχει παυσαμένους τῆς νόσου. Κἀν ταῖς μεγίσΊαις δὲ φλεγμοναῖς κἀν ταῖς ἰσχυροτάταις ὀδύναις οὐδὲν οἶδα μεῖζον βοήθημα τοῦ μέχρι λιποθυμίας ἐκκενῶσαι, διορισάμενος, εἴτε φλε-
6 βοτομεῖν, εἴτε καθαίρειν προσήκει. Δεῖ δὲ ἄχρι λιποθυμίας κενοῦν οὐ πάσης· οὔτε γὰρ τῆς διὰ φόβον τῶν καμνόντων γινομένης, οὐ μὴν οὐδὲ ὅταν ἐν τῷ σΊόματι τῆς γασΊρὸς ὑπάρχωσί τινες δακνώδεις χυμοί· λιποψυχοῦσι μὲν γὰρ καὶ τότε, οὐ μὴν ἱκανόν γε μέτρον κενώσεως ἡ τοιαύτη λιποψυχία, πρὸ τοῦ δέοντος ἐνίοτε γινομένη, καθάπερ κἀξ αὐτοῦ μόνου τοῦ διανασΊῆναί τε καὶ καθίσαι πολλάκις

quelquefois donc vous ne craindrez pas de saigner même pendant la nuit.
4 De tels malades doivent, comme je l'ai déjà dit, être amenés à une défaillance : je me souviens en effet que quelques-uns d'entre eux furent refroidis par la défaillance, comme cela est inévitable; mais ils furent rapidement délivrés de leur maladie lorsqu'il survint de la moiteur sur
5 tout le corps, ou une déjection alvine abondante. Dans les inflammations très-intenses, ainsi que dans les douleurs très-fortes, je ne connais pas de remède plus efficace que l'évacuation poussée jusqu'à la défaillance, après qu'on a déterminé toutefois s'il faut saigner, ou purger.
6 Cependant, on ne prendra pas pour terme de l'évacuation toute espèce de défaillance; par exemple, celle qui tient à la frayeur des malades ne remplit pas plus ce but que s'ils ont à l'orifice de l'estomac certaines humeurs qui y causent des picotements; dans ce dernier cas, en effet, ils ont aussi des défaillances, mais celles-là ne sauraient nous fournir un moyen suffisant de mesurer l'évacuation, puisqu'elles ont quelquefois lieu plus tôt qu'il ne le faut; de même il arrive souvent que certains fébricitants tombent en défaillance uniquement pour s'être levés, ou

1. τεμεῖν AV Gal. — 2. καί] προσήκει Gal. — Ib. λιποθυμίας] les mss. ont tantôt λειποθ. et tantôt λιποθ.; Gal. touj. λειπ.; de même pour λιποψυχία. — 3. μέν] μή C. — 4. τῆς γασΊ. Gal. — 7. τοῦ] τῶν ABC 1ª m. V. — Ib. καθαίρειν ἄχρι λειπ. Gal. — 8. κενοῦν] ἴσως ἀκούειν gl. A 2ª m. — 11. καί om. B. — 11-12 τὸ μέτ. κεν. ACV; τὸ μέτ. τῆς κεν. B. — 12. ἡ om. B. — 13. μόνου om. Gal.

ἐλιποψύχησάν τινες τῶν πυρετΊόντων. Ἡ τοίνυν κατὰ τὸν λόγον 7
τῆς κενώσεως ἐπιγινομένη μέτρον γινέσθω τῆς κενώσεως ἐπὶ τῶν
προειρημένων διαθέσεων. Προσέχειν μέντοι καλῶς ἔχει τῇ καθαι- 8
ρέσει τῶν σφυγμῶν, ἐφαπΊόμενον αὐτῶν, ἔτι ῥέοντος τοῦ αἵματος,
ὥσπερ κἀπὶ τῶν ἄλλων τῶν φλεβοτομουμένων εἴωθα πράτΊειν, ὅπως
μή ποτε λάθῃς σαυτὸν, ἀντὶ λιποθυμίας θάνατον ἐργασάμενος.

δ'. Περὶ μέτρου κενώσεως αἵματος.

Ἐπίσ7ασθαι δεῖ, τοὺς εἰρημένους σκοποὺς τοῦ βοηθήματος αὐξα- 1
νομένους μὲν ἐνδείκνυσθαι πλείονα κένωσιν, ἐκλυομένους δὲ καθαι-
ρεῖν εἰς τοσοῦτο τὴν ποσότητα τῆς κενώσεως εἰς ὅσον ἐμειώθησαν
αὐτοὶ, μεγέθος δὲ νοσήματος καὶ ῥώμη δυνάμεως οἱ πρῶτοι σκοποὶ
φλεβοτομίας ἦσαν. Τούτων οὖν ἀμφοτέρων τῶν σκοπῶν ὑπαρχόντων, 2
δῆλον μὲν, καθάπερ ἐλέχθη πρόσθεν, ὡς οὐδὲ πλῆθος ἔσ7αι χυμῶν

pour s'être mis sur leur séant. C'est donc la défaillance tenant à l'éva- 7
cuation elle-même qui doit servir de mesure dans les maladies susdites.
Cependant il est bon de faire attention à l'affaiblissement du pouls, en 8
le tâtant pendant que le sang coule encore, comme j'ai également l'habi-
tude de le pratiquer chez les autres malades que je saigne, afin que, sans
s'en douter, on ne donne pas lieu à la mort au lieu de produire une
défaillance.

4. DE LA MESURE DE L'ÉVACUATION DU SANG.

Sachez que les indications de l'évacuation, qui ont été énumérées 1
plus haut, exigent, si elles croissent en intensité, une augmentation
dans l'évacuation, tandis que, si elles sont moins prononcées, on dimi-
nuera en proportion la quantité de l'évacuation; or les principales indi-
cations de la saignée étaient la gravité de la maladie et l'intégrité des
forces. Si donc ces deux indications existent, il est clair, comme je l'ai 2
déjà dit, qu'il ne saurait exister une accumulation d'humeurs crues assez

3. μ. εἰ καλῶς ABCV. — 3-4. καθάρσει ABCV. — 5. ἄλλ. ἁπάντων εἴωθα πρ. τῶν φλεβοτ. Gal. — CH. 4; l. 7. προσήκει Gal. — 7-8. αὐξομένους Gal. — 8. μὲν οὐ δεικνυμένους A 1ª m. BC 1ª m. V. — Ib. ἐκλυομ.] μὴ αὐξανομένους ABCV. — 8-9. καθαίρειν V Gal. — 9. τοσοῦτον V Gal. — 10. δέ] οὖν Gal. — Ib. νοσήμ. ἅμα ῥώμῃ Gal. — 12. καθάπερ] ὡς Gal. — Ib. ἔσ7ι Gal.

3 ὠμῶν τοσοῦτόν τε καὶ τοιοῦτον, ὡς κωλῦσαι τὸ βοήθημα. Ἐπισκέπτεσθαι δὲ ἐφεξῆς, ὁποία τις ἡ φυσικὴ κρᾶσίς ἐστι τἀνθρώπου· τοὺς μὲν γὰρ μεγάλας ἔχοντας φλέβας ἰσχνούς τε μετρίως καὶ μὴ λευκούς, μηδὲ ἁπαλοσάρκους ἀφειδέστερον κενώσεις, τοὺς δὲ ἐναντίους φειδόμενος· αἷμά τε γὰρ ὀλίγον ἔχουσιν εὐδιαφόρητόν τε τὴν
4 σάρκα. Κατὰ τοῦτον οὖν τὸν λόγον οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις ἄχρι τεσσαρεσκαιδεκαετοῦς ἡλικίας· μετὰ δὲ ταύτην, ἐὰν αἷμά τε πάμπολυ φαίνηταί ποτε ἠθροισμένον, ἥ τε ὥρα τοῦ ἔτους ἔαρ ᾖ, καὶ τὸ χωρίον εὔκρατον φύσει, καὶ ἡ τοῦ παιδὸς φύσις εὔαιμος, ἀφαιρήσεις αἵματος· ἔτι δὲ μᾶλλον, εἰ κίνδυνος ἐφεδρεύει περιπνευμονίας, ἢ συνάγχης, ἢ πλευρίτιδος, ἢ ὅλως τινὸς ἄλλου ὀξέος
5 καὶ σφοδροῦ νοσήματος. Ἀφαιρήσεις δὲ τὸ πλεῖστον ἄχρι κοτύλης τὸ πρῶτον· ἐὰν δέ σοι μετὰ ταῦτα ἐπισκεπτομένῳ δόξῃ τὰ τῆς δυνάμεως ἰσχυρὰ διαμένειν, ἥμισυ προσθήσεις κατὰ τὴν ἐπαφαί-

3 forte, assez caractérisée pour mettre obstacle à l'évacuation. Il convient, après cela, d'examiner quel est le tempérament naturel de l'individu; car on peut, sans beaucoup de réserve, saigner ceux qui ont de grosses veines, qui sont modérément maigres, et qui n'ont ni le teint clair, ni la chair molle, tandis qu'on doit être prudent pour ceux qui ont une disposition contraire, puisqu'ils ont peu de sang et que leur chair se dissipe
4 facilement par la perspiration. Pour la même raison, on ne saignera pas non plus les enfants jusqu'à leur quatorzième année; mais, après cette époque, on tirera du sang, si parfois il y a une pléthore très-considérable, si l'on est au printemps, si le pays est naturellement tempéré, et si l'enfant a naturellement beaucoup de sang, à plus forte raison s'il est menacé de péripneumonie, d'angine, ou de pleurésie, ou, en général, de quelque
5 autre maladie aiguë grave. D'abord on ne tirera pas plus d'un cotyle de sang; si, plus tard, l'examen du malade semble montrer que les forces sont

1. τοσούτων ABV Gal. — Ib. τοιούτων ABC 1[a] m. V. — 1-2. Συνεπισκέπτεσθαι Gal. — 2. τις om. Gal. — 3. τὰς φλέβ. Gal. — 5. φειδομένως Gal. — Ib. εὐδ. τήν C. — 7. ἡλικίας om. C. — 8. καὶ ἡ ὥρα C 2[a] m.; καθ' ὥρα 1[a] m. — Ib. ἐνιαυτοῦ C 2[a] m.; αὐτοῦ 1[a] m. — 8-9. ἐαρινή, καί Gal. — 10. ἀφαιρ. ἔτι μᾶλλ. αἷμα εἰ Gal. — Ib. ἐφεδρεύοι V. — 11. ὅλως om. Gal.

ρεσιν. Ἔμαθες δὲ τῷ σφοδρῷ σφυγμῷ μετὰ ὁμαλότητος ὡς ἀψευδεῖ 6
σημείῳ πιστεύειν ἀεὶ περὶ δυνάμεως ἰσχύος, ἐξ ἐπιμέτρου δὲ καὶ
τῷ μεγάλῳ. Καὶ τοίνυν καὶ τοὺς ἑβδομηκοντούτας φλεβοτομήσεις, 7
ὧν εἴρηκα σφυγμῶν παρόντων, ἐπειδὰν ἡ διάθεσις κελεύῃ· εἰσὶ
γὰρ ἔτι καὶ κατὰ τὴν ἡλικίαν τήνδε πολύαιμοί τινες ἅμα ῥώμῃ δυ-
νάμεως, ὥσπερ ἕτεροι ξηροὶ καὶ ὀλίγαιμοι καὶ ῥᾳδίως μελαινό-
μενοι πᾶν πληγὲν μέρος. Οὐ προσέξεις οὖν τῷ ἀριθμῷ μόνῳ τῶν 8
ἐτῶν, ἀλλὰ καὶ τῇ τοῦ σώματος ἕξει· καὶ γὰρ ἑξηκοντοῦταί τινες
οὐκέτι φέρουσι φλεβοτομίαν, ἑβδομηκοντοῦται δὲ φέρουσιν, ἀλλὰ
ἔλαττον ἀφαιρήσεις δηλονότι τούτων, εἰ καὶ τὴν αὐτὴν ἔχειν φαί-
νοιντο διάθεσιν ἀκμαστικῷ σώματι. Κάλλιστον δὲ, πρὸ μὲν τοῦ 9
διαιρεῖν τὴν φλέβα τὰ τοιαῦτα πάντα ἐπισκέπτεσθαι, καὶ μάλιστα
αἱμοῤῥοΐδων ἐπεσχημένων καὶ γυναικείας καθάρσεως. Ὁπόταν δὲ, 10
σχασθείσης τῆς φλεβὸς, ῥέῃ τὸ αἷμα, καὶ τῇ μεταβολῇ μὲν αὐτοῦ,

restées intactes, vous augmenterez la seconde saignée de la moitié. Vous 6
savez qu'on peut toujours se fier à un pouls fort avec régularité, et, si
cela ne vous suffit pas, à un pouls grand, comme à un signe infaillible
de l'intégrité des forces. Vous saignerez donc aussi les septuagénaires, s'ils 7
présentent le pouls dont nous avons parlé, et si leur état exige la saignée;
car, même à cet âge, il y a des gens qui ont encore beaucoup de sang et
dont les forces sont intactes, comme il y en a d'autres qui sont secs, qui
ont peu de sang, et chez lesquels toute partie blessée a de la tendance à se
noircir. Vous ne ferez donc pas seulement attention au nombre des an- 8
nées, mais aussi à la complexion du corps : en effet, il y a des sexagé-
naires qui ne supportent pas la saignée, tandis que des septuagénaires la
supportent; mais il faut, bien entendu, tirer moins de sang, lors même
que les sujets seraient dans le même état qu'un adulte. Le mieux est de 9
prendre en considération toutes ces choses avant d'inciser la veine, sur-
tout quand des hémorroïdes ou les règles sont supprimées. Quand la 10
veine est incisée et que le sang coule, on fera attention aux changements

2. *ἀεί* om. Gal. — Ib. *ἰσχυρᾶς* Gal. — 3. *ἑβδομηκόντας* C. — 5. *ἡλ. αὐτὴν δέ* V. — 7. *πᾶν* ex em. Ras.; *πᾶν τό* Codd., Gal. — 8. *ἀλλὰ τῇ* Gal. — 9. *οὐ* V. — Ib. *φλεβοτ. ἑβδομ. δὲ φέρ.* om. ABCV Ras. — 10. *ἀφαιρέσεις* C. — 10-11. *φαίνονται* Gal. — 12. *τά* om. ABCV. — 13. *καί* om. V. — Ib. *Ὁπότε γὰρ* Gal. — 14. *καί* om. Gal. — Ib. *τῇ* om. C. — Ib. *μέν*] *μετά* C.

καὶ μάλισ7α ὅταν ᾖ τις ἤδη Φλεγμονὴ, καὶ τῷ τόνῳ δὲ τῆς ῥύσεως ὀκλάζοντι, μάλισ7α δὲ τῇ μεταβολῇ τῶν σφυγμῶν ὡς ἀψευδεῖ γνωρίσματι προσέχειν σε χρὴ τὸν νοῦν καὶ παύειν αὐτίκα, μεταβάλλοντος ἢ κατὰ μέγεθος, ἢ κατὰ ἀνωμαλίαν ἡντινοῦν· περὶ μὲν γὰρ τῆς εἰς ἀμυδρότητα μεταβολῆς τί δεῖ καὶ λέγειν; ἐμάθετε γὰρ ἐν τῇ ποιότητι ταύτῃ βεβαίαν γίνεσθαι διάκρισιν ἰσχυρᾶς τε
11 *καὶ ἀσθενοῦς δυνάμεως.* **Ἐπὶ** *ὧν δὲ ἐγγὺς τῆς διαιρουμένης Φλεβὸς ἔσ7ι τις Φλεγμονὴ μεγάλη, κάλλισ7ον ἀναμένειν τὴν μεταβολὴν τοῦ αἵματος ἔν τε τῇ χροιᾷ καὶ τῇ συσ7άσει· ἑτεροῖον γάρ ἐσ7ι τὸ κατὰ τὴν Φλεγμονὴν αἷμα τοῦ κατὰ Φύσιν, ἐπειδὴ θερμαινόμενον ἐπὶ πλέον, εἰ μὲν ἦν ἔμπροσθεν ὠμότερον, ἐρυθρότερόν τε καὶ ξανθότερον γίνεται· εἰ δὲ τοιοῦτον ἦν ἔμπροσθεν, ἐπὶ τὸ μέλαν ἐκτρέπεται κατοπ7ώμενον· σημεῖον γάρ ἐσ7ι τοῦ μετειλῆΦθαί τι τοῦ κατὰ τὴν Φλεγμονὴν αἵματος εἰς τὴν τετμημένην Φλέβα τὸ Φανῆναι*

que présente ce fluide, surtout s'il y a déjà quelque inflammation, et on examinera si le jet perd de sa vigueur; on fera surtout attention au changement du pouls, comme à un signe infaillible, et on s'arrêtera aussitôt que le pouls présente un changement sous le rapport de la grandeur, ou d'une inégalité quelconque; est-il nécessaire de parler encore du changement par lequel le pouls devient faible? en effet, vous avez appris que le pouls de cette espèce offre un moyen sûr de reconnaître l'anéantissement ou
11 l'intégrité des forces. Quand il existe quelque inflammation grave dans le voisinage de la veine incisée, le mieux est d'attendre un changement dans le sang, sous le rapport de la couleur et de la consistance; car le sang de la partie enflammée est d'une autre espèce que le sang naturel; échauffé à l'excès, il devient rougeâtre ou jaunâtre, s'il était auparavant plus ou moins cru, tandis que, s'il était déjà rouge ou jaune, il tournera au noir par l'effet de la torréfaction : en effet, un changement qui se montre dans le sang est le signe qu'une partie de celui qui était contenu

1. *καὶ διὰ μάλισ7α* (sic) C. — Ib. *ᾖ ἤδη* Gal.; *ἤδη τις* V. — 3. *προσέχειν δεῖ* Gal. — 4. *ἡντιναοῦν* C. — 5. *ἐμαθες* Gal. — 6. *ἐν τῇ*] *αὐτοὶ* C. — 9. *ἕτερον* Gal. — 10. *κατὰ τὴν Φύσιν* ABCV. — 11. *ὠμότερον*] *ἐπὶ τὸ μέλαν* B text.; om. ACV. — Ib. *τε* om. Gal. — 13. *ἐσ7ι*] *τίθεται* Gal.

μεταβολὴν ἐν αὐτῷ. Οὐ μὴν ἐκ παντὸς τρόπου περιμένειν χρὴ 12
ταύτην, ἀλλὰ ἔστιν ὅτε καὶ πρὸ τοῦ γενέσθαι παύεσθαι προσήκει,
ἤτοι διὰ δυνάμεως ἀῤῥωστίαν, ἢ κακοήθειαν φλεγμονῆς· ἐνίοτε γὰρ
οὐδὲν μεθίησιν, ἀλλὰ ἔσφιγκται σφοδρῶς. Εἰ μέντοι μήτε ἡ δύ- 13
ναμις φαίνοιτο καταλυομένη διὰ τῆς κενώσεως· εἴσῃ δὲ τοῦτο τῶν
σφυγμῶν ἁπτόμενος· ὅ τε φλεβοτομούμενος ἀκμάζων εἴη, περιμέ-
νειν προσήκει τὴν μεταβολήν, καὶ μᾶλλον εἰ τὸ περιέχον εὔκρατον
εἴη· δύο γάρ ἐστι ταῦτα, διὰ ἃ μάλιστα ἀγνοεῖται τὸ πόσον τῆς
κενώσεως ἐν τούτῳ τῷ βοηθήματι, τοῦ τε κάμνοντος ἡ φύσις ὁποία
τίς ἐστιν, ἀδυνατούντων ἡμῶν ἀκριβῶς διαγνῶναι, καὶ τοῦ περιέ-
χοντος ἡ κρᾶσις ὁποία τις ἔσται μετὰ τὴν φλεβοτομίαν· ὁπόταν
γὰρ ἡ μὲν πυρετώδης θερμασία ἀφαιρῇ πολὺ τοῦ αἵματος, ἐνδεῶς
δὲ ὁ κάμνων ᾖ διαιτώμενος, ἐξ ἀνάγκης ἐπιλείπει ταχέως αὐτὸν ἡ
ἐκ τοῦ αἵματος τροφή, κἂν τούτῳ καταλύεται ἡ δύναμις· ἐκδαπα-

dans la région enflammée a été transportée dans la veine incisée. Cepen- 12
dant il ne faut pas, dans tous les cas, attendre le changement; on s'arrê-
tera, au contraire, quelquefois avant qu'il ne se produise, soit à cause de
l'abattement des forces, soit à cause de la malignité de l'inflammation;
car, dans certains cas, la partie enflammée ne laisse rien s'échapper, mais
retient tout dans une forte étreinte. Cependant, si les forces ne pa- 13
raissent pas s'épuiser par l'effet de l'évacuation (on saura cela en tâtant
le pouls), et si celui qu'on saigne est un adulte, il faut attendre le change
ment, principalement si l'atmosphère est tempérée; car il y a surtout
deux causes qui nous empêchent de déterminer la quantité de l'évacua-
tion, quand il s'agit d'émission sanguine : c'est l'impossibilité où nous
sommes de reconnaître exactement quelle est la nature du malade, et de
savoir quelle sera la température de l'atmosphère après la saignée; en
effet, si la chaleur fébrile a enlevé une grande partie du sang, si le ma-
lade mène une vie frugale, les matériaux nutritifs qu'il retire du sang lui
feront bien vite défaut, cela est inévitable, et c'est justement par là que

1. μέν C. — 2. προσῆκεν ABCV. — 2-3. πρ. διὰ διττὴν αἰτίαν ἤτοι Gal. — 4-5. μηδὲ ἡ δύναμις V; ἡ δύν. μὴ Gal. — 5. καταδυομένη A 2ª m. BCV. — Ib. εἰσί ABC 1ª m. V. — 8. ἀγνοεῖται] γίνεται στοχαστικόν Gal. — 10-11. διαγν. τοῦ τε περιέχ. Gal. — 12. ἀφαιρῇ] διαφορῇ Gal.

*νᾶται δὲ διὰ μὲν τὴν κρᾶσιν τοῦ νοσοῦντος ὑγράν τε καὶ θερμὴν
οὖσαν, οἷα ϖέρ ἐσῖι καὶ ἡ τῶν ϖαίδων, διά τε τὸ ϖεριέχον ἐν
14 χώρᾳ θερμῇ καὶ ὥρᾳ θερινῇ. Διὰ ταῦτα οὖν ἔλατῖον ἀφαιροῦμεν
ἢ τὸ ϖάθος ὑπαγορεύει, κατὰ μὲν τὰς ἡλικίας ἐπὶ τῶν ϖαίδων,
κατὰ δὲ τὰς ἕξεις τοῦ σώματος ἐπὶ τῶν ἁπαλοσάρκων τε καὶ λευ-
κῶν, κατὰ δὲ τὰς ὥρας ὑπὸ κύνα· ϖαραπλησίως δὲ κατά τε τὰ
15 χωρία καὶ τὰς καταστάσεις. Κατὰ ἕτερον δὲ τρόπον, ὡς εἴρηται
καὶ ϖρόσθεν, ἐπὶ τῶν ἐναντίων, ὅπερ ἐσῖὶν ἐπὶ τῶν ψυχρῶν ὡρῶν
τε καὶ χωρῶν, εὐλαϐούμεθα κένωσιν δαψιλῆ διὰ τὴν ἑπομένην κατά-
16 ψυξιν. Οὔκουν οἷόν τε διὰ γραφῆς ἐπὶ ἑκάσῖῳ τῶν εἰρημένων ἀφο-
ρίσαι κενώσεως μέτρον· οἶδα γὰρ ἐπὶ ἐνίων μὲν αὐτάρκως ἀφελὼν
ἐξ λίτρας αἵματος, ὥσῖε τὸν ϖυρετὸν αὐτίκα σϐεσθῆναι, καὶ μηδε-
μίαν ἀκολουθῆσαι τῆς δυνάμεως κάκωσιν, ἐπὶ ἐνίων δὲ μίαν ἡμίσειαν*

les forces s'épuisent; or ces matériaux nutritifs sont consumés par l'effet
d'un tempérament humide et chaud, tel qu'est celui des enfants, et par
14 l'atmosphère d'un pays chaud et d'une saison estivale. Pour cette raison
donc, les motifs qui nous font tirer moins de sang que la maladie ne le
réclame sont, par rapport à l'âge, celui des enfants; par rapport à la
complexion du corps, une chair molle et un teint clair: par rapport aux
saisons, les approches de la canicule : il en est de même pour le pays et
15 pour la constitution atmosphérique. Pour une autre raison, comme je
l'ai également dit auparavant, on évitera une évacuation abondante dans
les conditions opposées, c'est-à-dire dans les saisons froides et les pays
16 froids, à cause du refroidissement qui en est la suite. Il n'est donc pas
possible de préciser dans un livre la mesure de l'évacuation pour chaque
cas particulier dont il vient d'être question; car, je m'en souviens, chez
quelques-uns, je n'ai pas dépassé la mesure en tirant six livres, et j'ai
éteint immédiatement la fièvre, sans qu'il s'ensuivît le moindre dommage
pour les forces; chez d'autres, au contraire, je n'ai pu tirer une livre et

1. *κρ. ὁ τοῦ* V. — Ib. *τε*] *δέ* Gal. — 3. *θερμῇ*] *θερινῇ* A 1ª m. BCV. — 3-4. *ἀφαιρουμένη τό* ACV. — 4. *ϖλῆθος* Gal. — 5. *τε* om. Gal. — 6. *ὑπὸ τοῦ κυνός* Gal. — Ib. *τε* om. Gal. — 8. *ἔμπροσθεν* Gal. — Ib. *ἐσῖὶ τῶν* ABCV. — 10. *Οὐκοῦν* ABC 1ª m. V. — 10-11. *ἀφορ. ἕν* Gal. — 11. *ἀφελεῖν* Gal. — 12. *ὡς τόν τε ϖυρ.* Gal. — 13. *μίαν καὶ ἡμίσ.* Gal.

οὐκ ἄνευ τοῦ βραχύ τι παραβλάψαι τὴν δύναμιν, ἐπὶ ὧν, εἰ δύο τις ἐκένωσεν, ἐσχάτως ἂν ἔβλαψεν· διὰ τοῦτο οὖν οἶδα καὶ μίαν ἀφῃρηκὼς ἐνίοτε λίτραν ὠφελίμως, καί ποτε καὶ ταύτης ἔλατΊον.

ε'. Ποίας τμητέον φλέβας;

Ἀντισπάσεως ἕνεκα φλεβοτομῶν, τὰς μὲν κατὰ εὐθεῖαν τῶν αἱ- 1
μοῤῥαγούντων τέμνων φλέβας ἐν τάχει θεάσῃ σαφῆ τὴν ὠφέλειαν·
ἔμπαλιν δὲ εἰ τέμνοις, οὐδὲν ὄφελος. Οὕτω τοίνυν καὶ σπληνὸς 2
πάσχοντος ἡ τῆς κατὰ τὸν παράμεσον δάκτυλον φλεβὸς διαίρεσις
ὤνησεν ἐξ ἀρισΊερᾶς χειρός· ἔνιοι δὲ τὴν μεταξὺ τοῦ τε μέσου καὶ παραμέσου δακτύλου φλέβα τέμνοντες καὶ συγχωροῦντες ῥεῖν ἐξ αὐτῆς τῷ αἵματι, μέχρι περ ἂν αὐτόματον σΊῇ, τὸν σπλῆνά φασιν ὀνίνασθαι, ὡς εἰ καὶ τὴν ἐν ἀγκῶνι φλέβα τέμνοις τὴν ἔνδον· ὠφελεῖ γὰρ ἱκανῶς σπλῆνα κακοπραγοῦντα κένωσις αἵματος ἐξ ἀρισΊερᾶς χειρός·

demie sans que les forces en souffrissent un peu, et, si on en eût tiré deux livres à ces malades, on aurait causé le plus grand dommage; je me rappelle que, pour cette raison, j'ai quelquefois réussi en tirant une livre de sang, et parfois même encore moins.

5. QUELLES SONT LES VEINES QU'IL FAUT INCISER.

Lorsqu'on saigne pour opérer une révulsion, on verra se produire 1
rapidement un soulagement manifeste, si l'on ouvre les veines du côté
où se produit l'hémorragie; tandis que, si l'on agit de la manière op-
posée, on n'en recueillera aucun avantage. Ainsi donc, quand la rate est 2
affectée, l'ouverture de la veine du doigt annulaire de la main gauche est utile; quelques-uns incisent la veine qui se trouve entre le doigt du milieu et le doigt annulaire, et laissent couler le sang jusqu'à ce qu'il s'arrête de lui-même; ils disent que cela est tout aussi profitable à la rate que si l'on saignait la veine intérieure du pli du bras; en effet, tirer du

Ch. 5; l. 6. Οὕτω τοῖς σπλ. A 1ª m. C.; οὕτω σπλ. BV. — 7. φλεβῶν ABC 1ª m. V. — 8-9. τὴν μεταξύ τε τοῦ μέσου καὶ παραμέσου A; τὴν μετ. τοῦ μέσ. κ. παραμ. Gal.; τὴν ἐν τῷ μετ. τοῦ παραμ. καὶ τοῦ μικροῦ Aët. — 10. τὸ αἷμα Gal. — Ib. αὐτομάτως Gal. — 10-11. ὀνήσασθαι Gal. — 11. τέμοις A. 1ª m. V. — 12. σπληνὶ κακοπραγοῦντι ABCV.

ἄμεινον δὲ μὴ ἅπαξ ἐκκενοῦν τὸ σύμμετρον, ἀλλὰ εἰς δύο μερίζοντας
3 ἡμέρας. Καὶ μέντοι κἀπὶ τῶν πλευριτικῶν ἡ κατὰ εὐθὺ τοῦ πά-
σχοντος φλεβοτομία τὴν ὠφέλειαν ἐναργεστάτην ἐπεδείξατο πολ-
λάκις· ἡ δὲ ἐκ τῆς ἀντικειμένης χειρὸς ἢ παντελῶς ἀμυδρὰν, ἢ
μετὰ χρόνον, ὀδύνας τε πολλάκις ὀφθαλμῶν ἰσχυροτάτας ἐντὸς ὥρας
4 μιᾶς ἔπαυσεν ἡ κατὰ εὐθὺ φλεβὸς διαίρεσις. Ἐπὶ μὲν οὖν τῶν ὀφθαλ-
μῶν ἥ τε ὠμιαία καλουμένη φλὲψ ἥ τε ἀπὸ αὐτῆς ἀποσχιζομένη
κατὰ ἀγκῶνα τμηθεῖσα φανερὰν ἐν τάχει τὴν ὠφέλειαν ἐπιφέρουσιν·
ἐπὶ δὲ πλευρᾶς πεπονθυίας, ἢ πνεύμονος, ἢ διαφράγματος, ἢ
σπληνὸς, ἢ ἥπατός τε καὶ γαστρὸς ἡ διὰ μασχάλης ἐπὶ τὴν κατὰ
5 ἀγκῶνα διάρθρωσιν ἀφικνουμένη. Τέμνειν δὲ καὶ ταύτην μάλιστα
μὲν αὐτὴν τὴν ἔνδον· εἰ δὲ μὴ, τὴν ἀπὸ αὐτῆς ἀποσχιζομένην εἰς
τὴν καμπὴν τῆς διαρθρώσεως, ἣν ἴστε δήπου [τῇ] τῆς ὠμιαίας φλεβὸς

sang du bras gauche soulage considérablement quand la rate est en mau-
vais état; le mieux cependant est de ne pas évacuer d'un seul coup toute
la quantité de sang requise, mais de tirer cette quantité en deux jours.
3 Dans la pleurésie, la saignée du même côté que la partie affectée produit
souvent aussi un soulagement très-manifeste, tandis que celle du côté
opposé ne donne que des résultats extrêmement faibles, ou qui se font
attendre longtemps; l'incision de la veine du côté de la partie affectée
arrête souvent aussi, en moins d'une heure, de très-fortes douleurs des
4 yeux. Ainsi, en cas d'affection des yeux, la saignée de la veine appelée *sca-
pulaire,* ainsi que celle du rameau qui s'en détache au pli du bras, pro-
duisent rapidement un soulagement manifeste; si le côté, le poumon,
le diaphragme, la rate, le foie ou l'estomac, sont affectés, la saignée de
la veine qui se rend à l'articulation du coude en passant par l'aisselle a
5 le même résultat. S'il s'agit de cette veine, on incisera de préférence le
tronc même qui se trouve du côté intérieur, sinon le rameau qui s'en
détache pour se rendre au pli du coude, et qui, ainsi que vous le savez
très-bien, se réunit avec le rameau qui se détache de la veine *scapulaire;*

1. ἐκκενοῦντες σύμμ. ABV; ἐκκενοῦντος σύμμ. C 1ª m. — 2. μέν. γε κ. Gal. — 3. ἐνεργ. ABCV. — Ib. ἀπεδ. V. — 4. πάντως Gal. — 5. χρόνου B. — 13. ἣν om. Gal. — Ib. [τῇ] conj.; om. Codd.; μικρὸν ἔμπροσθεν ἀπό Gal.

ἀποσχιζομένῃ συνάπλουσαν· τρεῖς γὰρ οὗτοι τόποι τῆς κατὰ ἀγκῶνα
φλεβοτομίας εἰσὶν, ὅ τε ἔνδον, καὶ ὁ ἔξω, καὶ ὁ μέσος. Ὁ μὲν οὖν 6
ἔνδον ἐπὶ τῶν κάτω τοῦ τραχήλου πεπονθότων ὠφέλιμος· ὁ δὲ ἐκτὸς
ἐπὶ τῶν κατὰ τοῦτον, ἢ πρόσωπον, ἢ κεφαλήν. Ὁ μέσος δὲ τόπος 7
ἐνίοτε μὲν ἀμφοτέρας ἔχει τὰς ἀποσχιζομένας φλέβας εἰς τὸ πρόσω
τῆς χειρὸς ἐκτεινομένας, εἶτα ἐνταῦθα συναπλομένας, ἐνίοτε δὲ διὰ
ταχέων εἰς ταὐτὸν ἀλλήλαις ἰούσας κατὰ τὴν καμπὴν τῆς διαρθρώ-
σεως, ἔστι δὲ ὅτε σαφῆ μὲν τὴν ἑτέραν αὐτῶν, ἀσαφῆ δὲ τὴν ἑτέραν.
Ὅταν οὖν, ἀφανεστέρας οὔσης τῆς οἰκείας τῷ πάσχοντι μορίῳ φλε- 8
βὸς, ἐπί τινα τῶν μέσων ἥκῃς, πειρῶ τὴν ἀποσχιζομένην τῆς οἰ-
κείας τέμνειν μᾶλλον· ἔστι δὲ ὅτε καὶ τὰς κατωτέρω τῆς κατὰ
ἀγκῶνα διαρθρώσεως, αἳ κατὰ τὸν πῆχύν εἰσιν, ἃς διαιρεῖν οὐδὲν
κωλύει, μὴ φαινομένων τῶν κατὰ ἀγκῶνα, καὶ τούτων αὐτῶν τὰς
κατὰ εὐθὺ τοῖς πεπονθόσιν. Ἡ δὲ ἐν ταῖς χερσὶ φλεβοτομία κατορ- 9

car il y a trois régions du pli du coude où l'on peut faire la saignée : la
première est du côté interne, la seconde à l'extérieur, et la troisième au
milieu. La saignée du côté interne convient quand les organes placés au- 6
dessous du cou sont malades, et celle du côté extérieur en cas d'affection
des organes du cou lui-même, de la face ou de la tête. Dans la région 7
moyenne, on voit quelquefois les deux rameaux se rendre à la partie
antérieure du bras, pour se réunir ensuite; d'autres fois, ils se réu-
nissent promptement au pli de l'articulation; d'autres fois enfin, l'un est
apparent, tandis que l'autre ne l'est pas. Si la veine qui convient à la 8
partie affectée est peu apparente, et si vous avez recours à l'un des ra-
meaux du milieu, tâchez d'inciser de préférence celui qui se détache de
la veine qu'on aurait dû saigner; quelquefois aussi on peut saigner les
veines de l'avant-bras au-dessous de l'articulation du coude; en effet,
rien n'empêche de les inciser, si celles du pli du coude ne sont pas vi-
sibles; mais, dans ce cas aussi, on prendra les veines du même côté que
la partie affectée. Si la saignée du bras est faite convenablement, ce n'est 9

1. ἀποσχιζομένην Codd.; ἀποσχίζεσθαι τὴν προειρημένην Gal. — Ib. συνάπλ. αὐτήν Gal. — Ib. τόποι Gal. (*Hum.*); τρόποι Codd., Gal. — 4. τῶν ὑπὲρ τούτων Gal. — Ib. προσώπου ἢ κεφαλῆς Gal. — 5. μέν om. AC. — Ib. ἀμφοτέρας om. BV. — 6. εἶτα ..... συναπλ. om. ABCV. Ras. — 9. ἀσαφεστέρας Gal. — 11. κατωτέρας Gal. — 12. ὅσαι Gal. — Ib. ἃς om. Gal.

θουμένη μὲν οὐδὲν ἔχει μέγα· σφάλματα δὲ κατὰ τὴν ἁμαρτηθεῖσαν
ἐκδέχεται τρία, κατὰ μὲν τὴν μέσην νευρίου συνδιαιρουμένου, κατὰ
δὲ τὴν ὠμιαίαν κεφαλῆς νευρώδους μυὸς, κατὰ δὲ τὴν ἔνδον τῆς
ὑποκειμένης ἀρτηρίας τῇ φλεβὶ, καὶ εἴ τις ἀρτηρίαν ἑτέρωθι φλε-
10 βοτομούμενος [ἢ] κατὰ τοῦτο τὸ χωρίον ἐτμήθη. Μάλισlα μὲν οὖν
χρὴ φυλάτlεσθαι τέμνειν αὐτήν· καταλαβούσης δὲ ἀνάγκης τινὸς,
ἐπισκοπεῖσθαι δύο ταῦτα· τὴν μὲν διαδῆσαι, κατὰ ὃ μάλισlα μέρος
ὁ τῆς ἀρτηρίας διασημαίνει σφυγμός· διαδησάντων δὲ, εἰ κατὰ
μηδὲν ἐμπεφύσηται χωρίον· ἐμφυσηθέντος δὲ, αὐτίκα τε λύειν τὸν
δεσμὸν, προσlειλαντάς τε τὸ ἐμφυσηθὲν αὖθις ἐπιδεῖν, ἐκείνῳ
πρώτῳ τῷ χωρίῳ περιβάλλοντας τὴν ἀρχὴν, ἵνα ἐσlὶν ἡ ὑπὸ τὴν
ἔσω κεφαλὴν τοῦ βραχίονος ἀρτηρία, πειρᾶσθαί τε τέμνειν τὴν
11 φλέβα κατωτέρω μᾶλλον· ἀποχωρεῖ γὰρ ἐνταῦθα τῆς ἀρτηρίας. Τῇ
μέσῃ δὲ φλεβὶ τοιοῦτο μὲν οὐδὲν ἀγγεῖον ὑπόκειται, νευρίον δὲ,

pas une opération bien importante; mais on peut commettre trois fautes:
diviser un petit nerf, si on saigne la veine médiane; piquer la tête d'un
muscle tendineux, si c'est la veine scapulaire; couper l'artère située
au-dessous de la veine, si l'on saigne au côté interne, ou enfin couper
10 une artère, quand on saigne dans un autre endroit que celui-là. On évi-
tera surtout d'inciser la veine interne; si quelque motif vous y oblige,
vous ferez attention aux deux points suivants : entourer le bras d'une
bande à l'endroit où l'on distingue le mieux les pulsations de l'artère,
et, après avoir appliqué la bande, examiner s'il se montre quelque part
du gonflement; s'il en existe, on desserrera la bande; on réprimera
le gonflement, et on appliquera une nouvelle bande en plaçant l'un
des chefs sur l'endroit où est située l'artère qui se trouve sous le condyle
interne de l'humérus; ensuite on tâchera d'inciser la veine au-dessous,
11 puisque c'est là qu'elle s'éloigne de l'artère. Sous la veine *médiane*, il ne
se trouve aucune artère; mais, comme je l'ai déjà dit, il existe, au mi-

1. μέν om. AB. — 4. φλεβί] Après ce mot A 2ª m. BCV Ras. ont en titre : Ὅτι δεῖ παραφυλάτlεσθαι τέμνειν τὴν μασχαλιαίαν φλέβα ἐκτὸς ἀνάγκης διὰ τὴν ὑποκειμένην ἀρτηρίαν. B aj. encore ϛ'. — 5. [ἢ] conj.; om. Codd., Ras. — 9. ἐμπεφύσηται χωρίον om. C. — 10. προσlείλαντα V. — 11. περιβάλλοντα Codd. — 12. τε om. V. — 14. τοιοῦτον A.

*ὡς ἔφην, ἀξιόλογον κατὰ τὸ μέσον τῆς καμπῆς, οὗ μόνον ψαῦσαι
χρὴ φυλάτlεσθαι.* Τὴν *δὲ ὠμιαίαν φλέϐα κατὰ πάντα τρόπον ἀκίν-* 12
*δυνον τέμνειν· ἤδη μέντοι κἀπὶ ταύτῃ τινὲς ὠδυνήθησαν τὸν κατὰ
τῆς κερκίδος ἐπικείμενον μῦν· ἔσlιν οἷς δὲ καὶ φλεγμονή τις ἠκο-
λούθησε, καὶ μέχρι πολλοῦ χρόνου τὸ ἄλγημα· τῶν δὲ οὕτω πα-
θόντων οὐδεὶς ἅπαξ διῃρέθη τὸ ἀγγεῖον, ἀλλὰ μετὰ τὴν τῆς πρώτης
καθέσεως ἀποτυχίαν δεύτερον καὶ τρίτον, ἐνίοτε δὲ καὶ τέταρτον
ἐπικαθέντων, ὥσlε ἐκ τοῦ πολλάκις νυγῆναι τὴν κεφαλὴν τοῦ μυὸς
αἱ συμπάθειαι συνέσlησαν· μεγίσlης δὲ εἰς ἅπαξ γενομένης διαι-
ρέσεως, οὐδεὶς οὔτε ἐφλέγμηνεν, οὔτε ὠδυνήθη· διὸ ταύτην μὲν χρὴ
τέμνειν ἀφειδῶς, μετὰ πολλῆς δὲ ἀσφαλείας καὶ περισκέψεως τὴν
ἔνδον, ἀποχωρεῖν δὲ πειρᾶσθαι τῆς κατὰ τὸ νεῦρον θέσεως ἐν τῷ
τὴν μέσην διαιρεῖν.* Ὥσπερ *δὲ τὰ εἰρημένα πάντα μόρια ταῖς κατὰ* 13

lieu du pli du coude un petit nerf important, qu'on doit éviter même de
toucher. La veine *scapulaire* ne présente aucun danger, de quelque ma- 12
nière qu'on l'incise; cependant on a vu quelques individus, après la
saignée de cette veine, éprouver des douleurs au muscle qui couvre le
radius; chez d'autres, il s'en est même suivi de l'inflammation, et les
douleurs persistèrent pendant longtemps; chez aucun de ces sujets, le
vaisseau n'avait été incisé du premier coup, mais, après avoir manqué
une première fois la saignée, on s'était repris une seconde, une troi-
sième, quelquefois même une quatrième fois, de manière à produire
des affections consécutives par la piqûre répétée de la tête du muscle;
mais, quand on a fait du premier coup une très-large ouverture, il ne s'est
jamais manifesté ni inflammation, ni douleur; on incisera donc cette
veine sans crainte; pour la veine du côté interne, au contraire, on usera
de beaucoup de prudence et de circonspection; pour celle du milieu,
on tâchera d'éloigner l'incision du point où elle est placée sur le nerf.
Toutes les parties énumérées plus haut étant soulagées par les saignées 13

1. *οὐ* ABV; *ὅν* B corr. — 2. *φυλάτlεσθαι*] Après ce mot A 2ᵉ m. BCV Ras. ont en titre : *Ὅτι κατὰ πάντα τρόπον ἀκίνδυνός ἐσlιν ἡ θέσις καὶ ἡ τομὴ τῆς ὠμιαίας φλεϐός*, et B a de plus *ζʹ* et recule ainsi de deux le numéro des chapitres suivants. — 7. *καταθέσεως* Codd. — 8. *ἐπικαθέντων Syn.*; *ἐπικαταθέντων* ABCV. — 8-9. *μυὸς ἀσυμπάθειαι* BV. — 12. *ἔνδον*] *μέσην Syn.* — 12-13. *τῆς*............ *διαιρεῖν*] *τῆς κάτω Syn.*

ἀγκῶνα φλεβοτομίαις, ὡς εἴρηται, γινομέναις ὠφελεῖται, κατὰ τὸν
αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων ἐστὶ ταῖς ἐπὶ ἰγνύας τε καὶ
σφυρῶν· ἔστι δὲ τῶν εἰρημένων κατωτέρω τά τε κατὰ ἰσχίον καὶ
14 κύστιν καὶ μήτραν. Νεφροὶ δὲ ἐπαμφοτερίζουσι, κάτω μὲν ὄντες
ἤδη τῶν πρότερον εἰρημένων, ἄνω δὲ τῶν δεύτερον· διὸ καὶ ταῖς
ἐπὶ ἀγκῶνος ἐνίοτε φλεβοτομίαις ὑπακούουσιν, ὅταν ἥ τε φλεγμονὴ
πρόσφατος ᾖ καὶ πλῆθος αἵματος· ἐπὶ ὧν δὲ ἡ διάθεσίς ἐστιν ἣν
ἰδίως καλοῦσι νεφρῖτιν, τὴν κατὰ ἰγνύαν ἐπὶ τούτων χρὴ τέμνειν,
15 ἢ πάντως γε τὰς κατὰ σφυρὰ φλέβας. Αἱ δὲ τῆς μήτρας φλεγμοναὶ
μᾶλλον ἔτι νεφρῶν ὑπὸ τῶν ἐν τοῖς σκέλεσι φλεβῶν ὠφελοῦνται·
ταῖς γὰρ ἐπὶ ἀγκῶνος κενώσεσι καὶ ἄλλο τι πρόσεστι μοχθηρόν·
ἐπέχουσι γὰρ τὰς ἐμμήνους καθάρσεις, ἀντισπῶσαι τὸ αἷμα πρὸς
τὰ τοῦ σώματος ὑψηλότερα· ταῖς δὲ ἀπὸ τῶν σκελῶν καὶ προτρέ-
16 πειν ὑπάρχει τὰ καταμήνια. Οἶδα δὲ καὶ ἰσχιάδας ἡμέρᾳ μιᾷ θε-

au pli du bras, faites comme je viens de le décrire, les organes situés
plus bas le sont par celles de la fosse poplitée, ou des malléoles : or les
14 organes situés plus bas sont la hanche, la vessie et la matrice. Les reins
tiennent de la nature des uns et des autres organes; car ils sont situés
plus bas que les organes énumérés en premier lieu, et plus haut que
ceux que nous avons nommés ensuite : pour cette raison, les maladies
des reins cèdent quelquefois aux saignées du pli du bras, si l'inflamma-
tion est récente et s'il y a surabondance de sang; mais, chez les malades
qui sont atteints de l'affection appelée proprement *néphrite* (gravelle),
on incisera la veine de la fosse poplitée, ou, du moins, celles des mal-
15 léoles. Les inflammations de la matrice se trouvent encore mieux que
celles des reins de la saignée aux jambes; car, pour la matrice, les éva-
cuations au pli du coude ont encore un autre inconvénient particu-
lier, celui de supprimer les règles, en attirant, par leur action ré-
vulsive, le sang vers les parties supérieures du corps, tandis que les
saignées aux jambes ont même la propriété de provoquer les règles.
16 Je sais aussi que des sciatiques, qui ne tenaient pas au refroidisse-

2. ὑπὸ ἰγνύας A 2ª m. BC 2ª m. V; ἐπιγόνας A; ἐπ' ἰγνύων Gal. — 3. σφυρά ABC 1ª m. V. — 5. προτέρων ABCV. — Ib. δευτέρων ABCV. — 6. ὑπό BC. — 8. τούτῳ BV; τούτου Gal. — 11. ὑπό BV. — 12. τάς om. ABCV. — 14. ἐν ἡμ. Gal.

*ραπευθείσας ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσεως, ὅσαι μὴ διὰ ψύξιν,
ἀλλὰ πεπληρωμένων αἵματος τῶν κατὰ ἰσχίον ἀγγείων ἐγένοντο·
διὸ καὶ συμφορωτέρα τῆς ἀπὸ τῶν σφυρῶν φλεβοτομίας ἡ ἀπὸ τῆς
ἰγνύας ἐστὶ τοῖς οὕτω διακειμένοις· ἀποχάραξις δὲ αὐτοὺς οὐδὲν
ὀνίνησι σαφές. Συνελόντι γε μὴν εἰπεῖν, τὰς μὲν ἀρχομένας φλεγμο- 17
νὰς ἀντισπαστικῶς χρὴ κενοῦν· τὰς δὲ κεχρονισμένας ἐξ αὐτῶν,
εἰ οἷόν τε, τῶν πεπονθότων· εἰ δὲ μὴ, τῶν ἐγγυτάτω τούτοις· ἐπὶ
μὲν γὰρ τῶν ἀρχομένων ἀποστρέψαι χρὴ τὸ ἐπιῤῥέον· ἐπὶ δὲ τῶν
κεχρονισμένων αὐτὸ μόνον ἐκκενῶσαι τὸ ἐσφηνωμένον ἐν τῷ πε-
πονθότι μορίῳ· κενωθήσεται δὲ ἄριστα τοῦτο διὰ τῶν συνημμένων
φλεβῶν ταῖς κατὰ αὐτό. Τούτῳ τῷ λογισμῷ καὶ ἡ πεῖρα μαρτυρεῖ, 18
καὶ διὰ τοῦτο ὅσα κατὰ φάρυγγα καὶ ἀρτηρίαν φλεγμαίνει μεγάλως
ἐν ἀρχῇ μὲν ἡ κατὰ ἀγκῶνα φλεβοτομία, μετὰ ἐκείνην δὲ ἡ ἀπὸ
αὐτῆς τῆς γλώττης βοηθεῖ γενναίως, ἐντεμνομένων ἀμφοτέρων τῶν*

ment, mais à la réplétion par le sang des veines de la hanche, ont
été guéries en un jour par une émission sanguine pratiquée aux jambes;
c'est aussi à cause de cette replétion des veines que la saignée à la
fosse poplitée est plus utile dans ce cas que celle qu'on pratique aux
malléoles, tandis que la scarification ne produit aucun effet appréciable.
Pour le dire en un mot, on pratiquera une émission sanguine révulsive 17
au début d'une inflammation; mais, si l'inflammation dure déjà depuis
longtemps, on saignera, s'il est possible, les organes affectés eux-mêmes,
ou, du moins, les parties qui en sont les plus rapprochées : en effet, dans
les inflammations commençantes, il faut dériver ce qui afflue, tandis que,
dans les inflammations chroniques, il s'agit uniquement d'évacuer ce qui
est fortement enclavé dans la partie affectée; et cela se fait le mieux par
la voie des veines qui s'abouchent avec celles de la partie elle-même.
L'expérience confirme ce raisonnement; c'est pour ce motif que toutes 18
les inflammations de la gorge et de la trachée artère sont, au début, no-
tablement amendées par la saignée du pli du bras; mais, après cette opé-
ration, la saignée à la langue est un remède très-efficace, si on ouvre à

2. *ἐγίνοιτο* ABC; *γίνοιτο* V. — 3. *συμφορώτερον* Gal. — 4. *ἀποχαράξεις* ABCV. — 7. *ἐγγυτάτω τούτων* Gal. — 11. *αὐτῷ* ABC 1ª m. V. — Ib. *ἡ* om. A. — 13. *κατὰ ἐκείνην* B. — Ib. *ἐπί* C. Gal.

19 ὑπὸ αὐτῇ Φλεϐῶν. Οὕτω δὲ καὶ τὰ κατὰ ὀφθαλμοὺς σκιῤῥώδη λεί-
ψανα τῶν Φλεγμονῶν ἡ παρὰ τὸν μέγαν κανθὸν Φλὲψ ὀνίνησι διαι-
ρουμένη, καθάπερ γε τὰ τῆς κεφαλῆς βάρη καὶ τὰς διὰ πλῆθος
ὀδύνας κεχρονικυίας ἐν αὐτῇ κουφίζειν εἴωθε σαφῶς ἡ ἐν μετώπῳ
Φλὲψ τμηθεῖσα· τὰς δὲ ἀρχομένας τε καὶ ἀκμαζούσας ἡ ἐπὶ ἰνίον
ἀντίσπασις διὰ σικύας, ἐνίοτε μὲν αὐτῆς μόνης, ἐνίοτε δὲ καὶ μετὰ
20 ἀμυχῶν γινομένης· προκεκενῶσθαι δὲ χρὴ τὸ σύμπαν σῶμα. Κατὰ
δὲ τὸν αὐτὸν λόγον τὰς ὄπισθεν τῆς κεφαλῆς ὀδύνας ἀρχομένας τε
21 καὶ ἀκμαζούσας ἡ ἐν μετώπῳ Φλὲψ ὠφελεῖ διαιρουμένη. Ἐπὶ ὧν δὲ
σωμάτων οὐδὲν μὲν πάσχει μόριον οὐδέπω, Φθάνομεν δὲ κενοῦν,
ἦρος εἰσϐάλλοντος, ἐπὶ τούτων, εἰ μὲν, εἰθισμένου τἀνθρώπου νο-
σήμασιν ἁλίσκεσθαι πυρετώδεσιν ὥρᾳ θέρους, ἐκκενῶσαι τὴν χο-
ρηγίαν αὐτῶν ἐφιέμεθα, πᾶν μέρος εἰς ἀφαίρεσιν αἵματος ὁμότιμόν

19 la fois les deux veines qui se trouvent sous cet organe. De même, ouvrir
la veine du grand angle de l'œil convient dans les engorgements *squir-
reux* qui restent après les ophthalmies; de même encore, ouvrir la veine
du front soulage habituellement d'une manière notable la pesanteur et
les douleurs chroniques de la tête qui tiennent à la pléthore; tandis que,
si ces affections sont à leur début, ou à leur acmé, c'est la révulsion vers
l'occiput qui les guérit; on la pratique à l'aide de ventouses sèches, ou sca-
20 rifiées; cependant, il faut qu'auparavant on ait évacué tout le corps. De
la même manière, l'incision de la veine du front soulage les douleurs de
la partie postérieure de la tête, quand elles sont à leur début, ou à leur
21 acmé. Quand aucune partie du corps n'est le siége d'une affection quel-
conque, mais que nous voulons faire une médecine préventive par une
déplétion au commencement du printemps, aucune des parties dont on
peut tirer du sang ne mérite la préférence sur les autres, s'il s'agit, bien
entendu, d'un individu qui est habituellement attaqué en été de maladies
fébriles, et chez lequel nous voulons évacuer les matières qui les pro-
duisent; il en est de même pour un goutteux, dont toutes les articulations

1. ἐπὶ αὐτῆς Gal. — Ib. τά om. ABCV. — Ib. τοὺς ὀφθ. Gal. — 3. τά om. C. — 4. ἐν τῷ μετώπῳ Gal. — 5. καὶ τὰς ἀκμ. Gal. — Ib. ἰνίου Gal.; ἐνίου C. — 8. τάς om. Gal. — Ib. τε om. Gal. — 10. μέν om. Gal. — Ib. οὐδέπως A. — Ib. καινοῦσθαι A. — 11. εἰ] ἐπί Gal.

*ἐστιν, ὥσπερ γε καὶ εἰ ἀρθριτικός τις εἴη, πᾶσι τοῖς ἄρθροις πε-
πονθώς· οἷς δέ τι μέρος ἐξαιρέτως ἐνοχλεῖται μὴ προκενωθεῖσιν,
οὐ χρὴ ποιεῖσθαι τὴν κένωσιν ὁμότιμον ἐξ ἁπάντων τῶν μορίων,
ἀλλὰ ὡς ἐπὶ τῶν ἀρχομένων ἤδη πάσχειν· διὸ τοὺς μὲν ποδαγρι-
κοὺς ἀπὸ ἀγκῶνος χρὴ κενοῦν, ἐπιλήπτους δὲ καὶ σκοτωματικοὺς
ἀπὸ τῶν σκελῶν μᾶλλον. Εἰ δὲ διὰ αἱμοῤῥοΐδος ἐπίσχεσιν ἐπὶ φλε-* 22
*βοτομίαν ἥκοις, εἰ μὲν ἐπέχειν αὐτὴν βούλοιο, τὰς ἐν ταῖς χερσίν·
εἰ δὲ προτρέψαι, τὰς ἐν τοῖς σκέλεσι χρὴ τέμνειν· ἀλλὰ ἐπί γε
τῶν ἐπεσχημένων τὰ καταμήνια τὰς ἐν σκέλεσι διὰ παντός· ἀεὶ
γὰρ χρὴ ταῦτα προτρέπειν. Συμβαίνει μέντοι ἐνίοτε καὶ τὰς μήτρας* 23
*ἐξ ἀναβρώσεως αἱμοῤῥαγεῖν, ἐπὶ ὧν οὐκ ἔτι ὁ αὐτὸς σκοπὸς τῆς θε-
ραπείας ἐστίν· οὐ γὰρ φέρεσθαι τὸ αἷμα, καθάπερ ἐπὶ τῶν κατα-
μηνίων, ἀλλὰ παντάπασι στῆναι βουλόμεθα. Εἶδον δέ ποτε κατὰ* 24
τῆς ἔνδον φλεβὸς τῶν ἐν ἀγκῶνι νευρίον ἐπικείμενον ἔν τινος ἀνα-

sont sujettes à être prises; si, au contraire, il s'agit d'un individu dont
une partie déterminée sera affectée de préférence, si l'on n'a pas fait
préalablement de déplétion, on ne saignera pas sans discernement une
partie quelconque, mais on suivra la même règle que chez ceux qui
commencent déjà à être affectés; pour cette raison on pratiquera la
saignée au pli du coude chez les individus sujets à la podagre, et
aux jambes chez ceux qui sont menacés d'épilepsie ou de vertige. Si l'on 22
a recours à la saignée pour remédier aux hémorroïdes supprimées,
on doit, si l'on veut les supprimer [pour toujours], saigner au bras;
si, au contraire, on veut les provoquer, on saignera aux jambes;
mais, quand les règles sont supprimées, on incisera toujours les veines
des jambes, car on doit toujours provoquer cet écoulement. Cependant 23
il arrive quelquefois qu'il se fait une hémorragie utérine par érosion;
dans ce cas, le traitement n'a plus le même but, puisqu'alors nous ne
désirons plus que le sang coule comme lorsqu'il s'agissait des règles,
mais qu'il s'arrête complétement. J'ai vu un jour, en disséquant un singe, 24
qu'un petit nerf croisait la veine placée du côté interne du pli du coude;

3. *ὁμότιμον* om. Codd. — Ib. *τῶν μορίων* om. Gal. — 4-5. *ποδαλγικ.* Codd. — 5. *ἐπιληπτικούς* Gal. — 8. *ἐπεί* ABCV. — 9. *τά* om. Gal. — Ib. *ἀεί* ex em.; *εἰ* Codd. — 10. *μέντοι*] *μή* ABCV; *ἢ* B corr. — 12. *τῶν*] *τῆς* Gal.

τομῇ πιθήκου, καὶ αὖθις ἐπὶ ἑτέρου κατὰ τῆς ὁμοζυγούσης αὐτῇ
25 *φλεβὸς ὡσαύτως. Καὶ τούτων ἡ Θέα σπάνιος οὖσα χρήσιμος ἐπί*
τινων ἰατρῶν ἐγκαλουμένων γέγονεν, ὡς τεμόντων νεῦρον, ἐπειδὴ
μετὰ τὴν τομὴν εὐθέως ᾔσθοντο ναρκώδους διαθέσεως οἱ τμηθέντες
ἐν τῷ μήκει τῆς χειρὸς, ἔν τε τῷ μετὰ ταῦτα παντὶ χρόνῳ παρέ-
26 *μενε τὸ πάθημα τοῦτο τοῖς φλεβοτομηθεῖσιν. Δηλώσας οὖν ἐγὼ*
τοῖς ἐγκαλοῦσιν ἰδιότητα κατασκευῆς σώματος γίνεσθαί ποτε τοιαύ-
την, ἠλευθέρωσα τοῦ ψόγου τοὺς ἰατρούς.

ϛʹ. *Τίς καιρὸς φλεβοτομίας καὶ ἐπαφαιρέσεως;*

1 *Σπεύδειν δὲ χρὴ κενοῦν ἐπὶ ὧν ἐστι χρεία κενώσεως, εἰ μὴ*
διαφθορά τις εἴη γεγονυῖα τῆς ἐν τῇ γαστρὶ πεττομένης τροφῆς, ἢ
2 *καὶ βραδυπεψία τις, ἢ σιτία περιεχόμενα κατὰ αὐτήν. Ἀλλὰ ἐπεὶ*
πολλάκις ἤδη πέμπτην, ἢ ἕκτην ἄγοντος τοῦ νοσοῦντος ἀπὸ τῆς

une autre fois, chez un autre singe, j'ai vu la même chose pour la veine
25 qui forme une paire avec celle-là. Cette observation constitue un cas rare;
elle me fut utile lorsqu'on reprocha à certains médecins d'avoir coupé un
nerf, les malades ayant éprouvé, immédiatement après la saignée, un
engourdissement dans toute la longueur du bras, accident qui persista
26 ensuite durant tout le reste de leur vie. Ayant montré aux gens qui fai-
saient ces reproches qu'une pareille structure particulière du corps se
rencontrait quelquefois, je mis les médecins à l'abri du blâme.

6. QUEL EST LE TEMPS OPPORTUN POUR FAIRE LA SAIGNÉE ET POUR LA RÉITÉRER.

1 Quand une déplétion est nécessaire, il faut se hâter de la faire, à
moins qu'il n'y ait dans l'estomac quelque corruption des aliments qui
s'y digèrent, que la digestion ne se fasse lentement, ou que cet organe
2 ne contienne des aliments. Mais, comme souvent le malade est déjà arrivé
au cinquième ou au sixième jour de la maladie quand nous sommes

1. *ὁμοζύγου* C. — 2. *σπανίως οὖσα* C; om. Gal. — 3. *τεμνόντων* ABCV. — 4. *καὶ μετά* Gal. — Ib. *ναρκώδη διάθεσιν* Gal. — 5. *τε*] *δέ* Gal. — Ib. *ταῦτα τῷ* (*τό* C; *τοῦ* 2ª m.) *παντί* Codd. — Ch. 6; l. 10. *διαφορά* AB text. CV. — Ib. *πεπτομένης* BV Gal. — 11. *καί* om. Gal. — Ib. *ἢ καὶ σιτία* Gal.

ἀρχῆς, ἐπὶ τὴν θεραπείαν αὐτοῦ καλούμεθα, καλῶς ἂν ἔχοι καὶ τότε φλεβοτομεῖν, εἰ παρελείφθη τοῦ βοηθήματος ὁ πρῶτος καιρός· ἐν ᾗ γὰρ ἂν ἡμέρᾳ τοὺς σκοποὺς τῆς φλεβοτομίας ἐπὶ τοῦ κάμνοντος εὑρίσκῃς, ἐν ἐκείνῃ προσάξεις τὸ βοήθημα, κἂν εἰκοστὴν ἡμέραν, εἰ οὕτως ἔτυχεν, ἀπὸ τῆς ἀρχῆς ἄγοι. Τίνες δὲ ἦσαν οἱ σκοποί; μέγα 3 *τὸ νόσημα καὶ ῥώμη δυνάμεως, ὑπεξῃρημένης ἡλικίας παιδικῆς καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ἱκανῶς θερμοῦ· ἐπεὶ δὲ προκαταλύεται, τοῦ χρόνου προϊόντος, ἡ δύναμις ἐν τοῖς πλείστοις νοσήμασι, διὰ τοῦτο ὁ τῆς φλεβοτομίας καιρὸς ἀναιρεῖται τῷ πλήθει τῶν ἡμερῶν, οὐ πρώτως τοῦτο ἐργαζομένων, ἀλλὰ διὰ μέσου τοῦ καταλῦσαι τὴν δύναμιν, ὥστε, κἂν τῇ δευτέρᾳ μετὰ τὴν ἀρχὴν ἡμέρᾳ φαίνηται καταλυομένη ποτὲ ἡ δύναμις, ἀφεξόμεθα τῆς φλεβοτομίας. Φλεβο-* 4 *τομήσεις δὲ ἐν πάσῃ μὲν ἡμέρας ὥρᾳ, πάσῃ δὲ νυκτὸς, σκοπὸν ἔχων, ἐπὶ μὲν τῶν πυρεττόντων τὴν παρακμὴν τῶν κατὰ μέρος*

appelés pour le traiter, il conviendra de faire une saignée même à cette époque, lorsque la première occasion pour administrer ce moyen de traitement aura été négligée; car on doit se servir de cet agent thérapeutique, quand on reconnaît chez les malades les indications qui l'exigent, quel que soit le jour où ces indications se présentent, même si le malade en était, par exemple, au vingtième jour. Or quelles étaient ces in- 3 dications? la gravité de la maladie et l'intégrité des forces, en faisant une exception pour l'enfance et pour une chaleur excessive de l'air ambiant; mais, comme, par la longueur du temps, les forces s'abattent dans la plupart des maladies avant qu'on ait fait une saignée, le nombre des jours détruit l'opportunité pour la saignée, non pas directement, mais indirectement, par suite de l'abattement des forces; si donc on trouve, au deuxième jour de la maladie, que les forces sont abattues, on s'abstiendra de saigner. On saignera à toute heure du jour ou de la nuit, en pre- 4 nant pour indication, chez les fébricitants, le déclin des accès partiels, et,

1-2. *καὶ τότε* om. Gal. — 2. *εἰ καὶ* Gal. — Ib. *παραληφθῇ* ABV; *παραλειφθῇ* C. — 6. *νόσημα ῥώμη τῆς δυνάμεως* Gal. — Ib. *τῆς ἡλικίας* Gal. — 8. *ἐν* om. ABCV. — 8-9. *τοῖς..... φλεβ.* om. A 1ª m. — 9. *ὁ* om. ABCV. — 10. *οὐ* om. AB text. CV. — 12-13 *Φλεβοτομῆσαι εἰς* AC 1ª m.; *Φλεβοτομῆσαι εἰ* BV. — 13. *ἐν πάσῃ Syn.*, Aët.; *ἐν ἁπάσῃ* ABCV.

*παροξυσμῶν, ἐπὶ δὲ τῶν ἤτοι διὰ ὀφθαλμίαν, ἢ διὰ ἄλλο τι τοιοῦτο
χωρὶς πυρετοῦ δεομένων τοῦ βοηθήματος, τὸ μέγεθος τῆς ὀδύνης,
ἢ φλεγμονῆς, ἢ ὅλης τῆς διαθέσεως, ἐπὶ ᾗ τῆς φλεβοτομίας ἐσΊὶ*
5 *χρεία. Μηδενὸς δὲ τοιούτου κατεπείγοντος, ἢ κωλύοντος, ἄμεινόν
ἐσΊιν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τῶν ὕπνων ἐξανασΊῆ-
ναι, προγρηγορήσαντας δὲ χρόνον ὡς ὥρας μιᾶς· καὶ λούειν δέ*
6 *τινας ἄμεινον· εἰ δὲ τοῦτο, καὶ προπεριπατήσαντας ἐνίους. Ἐπὶ
ὧν γοῦν ἦρος εἰσβάλλοντος ἐπὶ φλεβοτομίαν κατερχόμεθα διὰ προσ-
δοκίαν πυρετῶν, ἢ τινων παθῶν, οἶδα φλεβοτομήσας ἐνίους καὶ*
7 *μετὰ τὸ πρᾶξαί τινα τῶν συνήθων ἔργων. Ὅ γε μὴν τῆς ἐπαφαι-
ρέσεως καιρὸς, ἐπὶ ὧν μὲν ἁπλῶς κενῶσαι βουλόμεθα, καὶ κατὰ
τὴν αὐτὴν ἡμέραν γινέσθω· ἐπὶ ὧν δὲ ἀντισπάσαι, κἂν εἰ δύο ταῖς
ἐφεξῆς ἡμέραις γίνεται, βέλτιόν ἐσΊιν.*

quand la saignée est réclamée par une ophthalmie, ou par quelque autre maladie semblable non fébrile, on prendra pour indication la gravité de la douleur, de l'inflammation, ou de toute la maladie pour laquelle on
5 a besoin de saigner. Si l'on n'est ni pressé, ni empêché par quelque circonstance semblable, le mieux est de saigner le matin, non pas aussitôt qu'on s'éveille, mais à peu près une heure après; il est bon aussi de donner un bain à certains individus, et, s'il en est ainsi, il n'est pas
6 moins avantageux de leur faire faire auparavant une promenade. Quant aux individus chez lesquels nous avons recours à une saignée au commencement du printemps, parce que nous soupçonnons l'approche d'une fièvre, ou de quelque autre maladie, je me rappelle en avoir saigné quelques-uns même après qu'ils s'étaient livrés à une partie de leurs occu-
7 pations habituelles. Pour réitérer la saignée, le temps opportun est le jour même [où l'on a fait la première], si l'on veut simplement opérer une déplétion; tandis que, s'il s'agit d'une révulsion, il vaut mieux que la seconde saignée ait lieu l'un des deux jours suivants.

1. *τοιοῦτον* BV Gal. — 2. *αὐτῆς τῆς ὀδ.* Gal. — 3. *ἐν ᾗ* Gal. — 4. *χρεία*] *λείπει τι* C 2ª m. — Ib. *δέ* om. ABCV; — 6. *προγρηγορήσαντες* Gal. — Ib. *ὡς* om. ABCV. — 8. *γοῦν*] *δέ* Gal. — Ib. *εἰσβαλόντος* Gal. — Ib. *κατερχόμεθα* ex em.; *καὶ ἐρχόμεθα* AC; *καὶ ἀρχόμεθα* BV; *ἔρχεσθαι* Gal. — 9. *ἢ τινων παθῶν* om. Gal. — 11-12. *βουλόμεθα..... ἀντισπάσαι* om. Gal. — 12. *εἰ* ex em.; *οἱ* ABCV; om. Gal. — 13. *γίνηται* BCV; *γένηται* Gal.

ζʹ. Ποῖα τῶν ἐν τοῖς μέρεσιν ἀγγεῖα διαιρετέον; Ἐκ τῶν Ἀντύλλου, ἐκ τοῦ βʹ λόγου Τῶν κενουμένων βοηθημάτων.

Ἀπὸ μετώπου τὴν ἀφαίρεσιν ποιούμενοι, τὴν εὐθεῖαν ἐπὶ μετώ- 1
που διαιροῦμεν φλέϐα, ἐπὶ δὲ τῶν πλείστων κατὰ τὰ ἄνω μέρη
τοῦ μετώπου καὶ πρὸς τῷ βρέγματι, ἔνθα ὑοειδῶς ἡ φλὲψ σχί-
ζεται· δεῖ δὲ παρὰ αὐτὴν τὴν σχίσιν ἐν τῷ κάτω μέρει ποιεῖν τὴν
διαίρεσιν· τὰς δὲ ἐν τοῖς κανθοῖς ἐγγὺς τῆς ὀφρύος πολὺ ἀνωτέρω
τῶν κανθῶν. Ὄπισθεν δὲ τῶν ὤτων διαιρετέον τὴν ἀντικειμένην τῷ 2
τραγανῷ τοῦ ὠτός. Ὑπὸ δὲ τῆς γλώττης, εἰ μὴ ἀμφοτέρας διαι- 3
ροῦμεν, τὴν ὑπερ|έχουσαν κατὰ μέγεθος τὴν δεξιὰν τεμοῦμεν· κατὰ 128
δὲ χεῖρα κατὰ νώτου τῆς χειρὸς τὴν οὖσαν μεταξὺ τοῦ μέσου καὶ
παραμέσου δακτύλου· κατὰ δὲ ἰγνύαν τὴν μεσωτάτην· κατὰ δὲ

7. QUELS SONT LES VAISSEAUX QU'ON DOIT OUVRIR DANS LES DIVERSES PARTIES DU CORPS. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES MOYENS ÉVACUANTS*.

Si nous faisons la saignée au front, nous incisons la veine droite de 1
cette région, le plus souvent vers la partie supérieure du front près du bregma, là ou la veine se bifurque; on fera l'incision près de la bifurcation elle-même à sa partie inférieure; on incisera les veines du grand angle de l'œil, près de la paupière, beaucoup au-dessus de l'angle lui-
même. Derrière les oreilles, on ouvrira la veine qui est opposée au carti- 2
lage de cette partie. Si nous saignons sous la langue et sans couper les 3
deux veines à la fois, nous prendrons celle qui est plus volumineuse que l'autre, c'est-à-dire la droite; à la main nous divisons celle de la face dorsale qui se trouve placée entre le doigt du milieu et le doigt annulaire; on prend, à la fosse poplitée, celle qui se rapproche le plus du milieu; à la malléole, celles du côté intérieur; et, si quelques-unes sont

Ch. 7. Tit. *Τῶν κενουμένων βοηθημάτων* ex em.; *τοῦ κενουμένων βοηθήματος* B; *τοῦ κενουμένου βοηθήματος* AMV; *τοῦ κενομένου βοηθήματος* C. — 1-2. *μετώπῳ* BCMV Gal. — 3. *ἔνθα ὁ εἰδώς* BV. — 4. *κάτω* om. A. — Ib. *ποιητέον* ABCV. — 6. *τῶν ὤτων* ex em. Matth.; *τὸν νῶτον* ABM text. V; *τοῦ ὠτός* CM marg. Gal. — 7. *τραγαλῷ* B text. — 9. *νῶτον* Gal.

Matth. 128.

*σφυρὸν τὰς ἔνδον, καὶ, εἴ γε εἶεν αἱ μὲν ἔμπροσθεν τοῦ σφυροῦ,
αἱ δὲ ὄπισθεν, τὰς ἔμπροσθεν· διὰ μέντοι τὴν μικρότητα τῶν ἀγ-
4 γείων τὰ πολλὰ οὐκ ἐπὶ ἡμῖν ἐσ7ιν ἃ βουλόμεθα διελεῖν. Ἐπὶ δὲ
τῶν κατὰ ἀγκῶνα καὶ τὰ ἐν τούτῳ διαιρούμενα ἀγγεῖα ἐξετάσεως
5 ποικιλωτέρας χρήζει. Κἀνταῦθα δὲ, εἰ μὲν μὴ ἐπὶ ἡμῖν εἴη τὸ τῆς
ἐκλογῆς, ἤτοι ἑνὸς μόνου ἀγγείου ὑποπίπ7οντος, ἢ καὶ τῶν ἄλλων
μὲν εὑρισκομένων, ἑνὸς δέ τινος ἐπιτηδειοτέρου, τὴν ἀφαίρεσιν
6 ἀπὸ τοῦδε ἐξ ἀνάγκης ποιησόμεθα. Εἰ δὲ, ὥσπερ κατὰ φύσιν καὶ
ἐπὶ τῶν πλείσ7ων, ἐπιτήδεια εἴη τὰ τρία καὶ φανερὰ, τό τε ἄνω
τὸ κατὰ τὸν μῦν, καὶ τὸ μέσον, καὶ τὸ πρὸς τῇ ἀποφύσει τοῦ βρα-
χίονος, ὃ δὴ καὶ ἀρτηριῶδές ἐσ7ι, διακρινοῦμεν, ποῖον αὐτῶν ἐπὶ
7 τίνων διαιρετέον. Ἐπὶ μὲν τῶν λιποθυμικῶν, ἢ ἐπὶ ὧν κεκάκωται
σ7όμαχος, ἢ τὰ τῆς δυνάμεως ὕποπ7ά ἐσ7ι, τὸ ἄνω διαιρετέον ἀγ-*

situées devant la malléole et d'autres derrière, on préfère les antérieures;
mais le plus souvent la petitesse des vaisseaux nous empêche de choisir
4 ceux que nous voulons. Quant à la saignée du pli du bras, les vaisseaux
qu'on incise dans cette région ont besoin d'une distinction plus détaillée.
5 Là, en effet, s'il n'est pas en notre pouvoir de choisir, soit qu'un seul
vaisseau proémine, soit que les autres étant également apparents, un
seul d'entre eux convienne mieux pour le cas donné, nous prendrons
6 nécessairement ce vaisseau pour faire la déplétion. Si, au contraire,
comme cela est naturel et comme cela a lieu sur la plupart des sujets,
les trois vaisseaux sont tous apparents et se prêtent également bien à
l'opération, le vaisseau supérieur qui est placé sur le muscle, le vaisseau
moyen et celui qui est placé près de l'apophyse de l'humérus, vaisseau
qui est, en outre, de la nature des artères, nous déterminerons quel est
7 le vaisseau qu'il faut inciser dans chaque cas particulier. Chez les in-
dividus sujets aux défaillances, ou dont l'orifice de l'estomac est malade,
ou chez lesquels nous nous défions de l'état des forces, nous piquerons

1. *σφυρῶν* Codd. — Ib. *καὶ τάς* C. — Ib. *εἰενεμέν* AB text. M text. V. — 4. *τά*] *τῶν* C 2ª m. — Ib. *δ' ἐν τούτῳ* C 2ª m.; *δὲ τούτῳ* 1ª m.; *δ' ἐνταῦθα* C 2ª m. (p). — Ib. *διαιρουμένων ἀγΓείων* C 2ª m. — 5. *Κἀντ. δεῖ μέν* ABM text. V; *Κἀντ. εἰ μὴ μέν* C. — 6. *ἤ* ex. em.; *εἰ* Codd. — 8-9. *δὲ κ. φ. ὡς ἐπί* Gal. — 11. *ὁ δέ* CM text.; *τὸ δέ* M marg. — Ib. *ἀρτηριῶδες* M interl.; *ἀρτηριώδης* ABCMV. — 12. *ὧν τι κάκωται* CM; *ὧν τι κεκάκ.* Gal. — 13. *ὕποπ7ον* ABC 1ª m. V.

γεῖον· ἐπὶ δὲ τῶν ἀθρόας ἀφαιρέσεως χρῃζόντων καὶ κενώσεως εὐ-
τόνου τὸ μέσον· ἐπὶ δὲ τῶν ξενισμοῦ καὶ μεταποιήσεως χρῃζόντων,
ὥσπερ ἐπιληπτικῶν, μαινομέ|νων, σκοτωματικῶν, τὸ κάτω. Φυλα- 8 129
κτέον δὲ τὸ μὲν ἄνω ἐπὶ τῶν συνεστραμμένους καὶ περιγεγραμμένους
τοὺς μῦς ἐχόντων· ἐπὶ ὧν [δὲ] καὶ ἡ κυρτότης τῶν μυῶν ἐπιπίπτει
τοῖς ἀγγείοις, μικρὸν ἀνωτέρω τῆς καμπῆς διαιρετέον ἐστὶ τὸ ἀγ-
γεῖον. Ἐπὶ δὲ τῶν κατίσχνων φυλακτέον τὸ κάτω, καὶ ἐπὶ ὧν εὔρω- 9
στόν τε καὶ σφόδρα μέγα ἐστίν· ὁ γὰρ φόβος γίνεται περὶ τὴν δύ-
ναμιν, μεγάλης ἐμβληθείσης τῆς διαιρέσεως, καί, εἰ τοῦτο φεύγοντες
μικρὰν ἐμβάλλοιμεν τὴν διαίρεσιν, θρομβώσεις γίνονται καὶ ἀνευ-
ρύσματα ἐπὶ χρόνον ἱκανὸν καὶ παραμένοντα, ἔπειτα δὲ παυό-
μενα. Ἐπὶ δὲ τῶν σφόδρα πιμελωδῶν καὶ φλεβοτομουμένων κατά 10
τινα στοχασμὸν τὸ ἄνω διαιρετέον· ὅ τε γὰρ μῦς πλαδαρὸς ὤν, ἄνω
ἀποκεχώρηκε πάμπολυ τοῦ ἀγγείου, καὶ τὰ νεῦρα πλεῖστον ἀφέ-
στηκε κατὰ τοῦτο τὸ μέρος, ὥστε, κἂν βαθυτάτην ποιήσηταί τις

le vaisseau supérieur; chez ceux qui ont besoin d'une déplétion abondante et subite, et d'une évacuation considérable, nous prendrons celui du milieu, et le vaisseau inférieur chez ceux qui ont besoin de rénovation et de transformation, comme les épileptiques, les maniaques et les
gens sujets au vertige. On se gardera de la veine supérieure, quand les 8
muscles sont ramassés et bien circonscrits; quand la convexité des muscles tombe sur le vaisseau, on fera l'incision un peu au-dessus du pli du
bras. On doit éviter de saigner la veine inférieure chez les gens très- 9
maigres et chez ceux où elle est développée et très-saillante; car, si, dans ce cas, nous faisons une grande incision, il y aura à craindre pour les forces, et, si, pour éviter cet inconvénient, nous faisons une petite incision, il se formera des thrombus et des dilatations qui persisteront
pendant longtemps pour cesser plus tard. Chez les individus très-gras, et 10
qu'on saigne, en quelque sorte, en devinant [la place de la veine], on piquera le vaisseau qui est en haut; car le muscle, étant [chez ces individus] pétri d'humidité, s'écarte en haut beaucoup de la veine; les nerfs en sont aussi très-éloignés à la région supérieure, de façon que, même

5. [δέ] ex em.; om. Codd. — 13. στόμαχον AB text. MV.

τὴν διαίρεσιν ἐξεπίτηδες, μὴ ἂν ἀφικέσθαι, ἡ δὲ φλὲψ ἐπὶ πάντων
ἅπαξ ἁπλῶς ἀπίμελος καὶ ἀσκέπαστος καὶ εὔσχιστος καὶ εὔρους
11 *ἐστίν. Ἀφέστηκε δὲ καὶ ἡ μέση φλὲψ πολὺ τῶν ὑπὸ αὐτῇ νεύρων,*
ἀλλὰ ἐπὶ πολλῶν, πρὶν ἐλθεῖν εἰς τὴν καμπὴν, σχίζεται εἰς πολλὰ,
130 *ἢ εἰς δύο, ὧν* | *τὸ μὲν ἄνω, τὸ δὲ κάτω χωρεῖ· διόπερ ἐν ταῖς λε-*
γομέναις μὲν πρὸς ἀφὴν, γινομέναις δὲ κατὰ στοχασμὸν φλεβοτο-
μίαις πάσχουσιν ἐπιφλεβοτομοῦντες· διὰ γὰρ τὸ λεπτοτάτας ἐν
ταῖς σχίσεσι τὰς σχισθείσας εἶναι φλέβας καὶ ἀφανεῖς γίνεσθαι εἰς
12 *ἀτοπίαν ἐμπίπτουσιν. Οὐ διαιρετέον .οὖν τήνδε τὴν φλέβα· γίνεται*
γάρ τις καὶ ἄλλη πλάνη ἐκ τῆς ἐπιδέσεως τῆς πρὸ φλεβοτομίας
γινομένης· τὸ γὰρ δέρμα ἰσχυρῶς τεινόμενον κατὰ τὴν μεσότητα
τῆς καμπῆς διὰ τὸ ἀνατείνεσθαι πρὸς τὸν τοῦ βραχίονος μῦν φαν-
τασίαν ἀγγείου πολλάκις ἀποτελεῖ· φευκτέον τὸ τοιοῦτο.

si on fait à dessein une incision très-profonde, on ne les atteindra pas;
mais la veine, pour le dire en peu de mots, est toujours à découvert, dé-
11 pourvue de graisse, aisée à couper et procure un écoulement facile. La
veine médiane est aussi très-éloignée des nerfs placés sous elle; mais
souvent elle se divise en plusieurs rameaux avant d'arriver au pli du
bras, ou bien en deux, dont l'un se dirige en haut et l'autre en bas; c'est
là le motif pour lequel, dans les saignées qu'on nomme *saignées au tact*,
mais qui se font en devinant, on commet des erreurs, en enfonçant l'ins-
trument à plusieurs reprises, car, les veines étant très-petites et devenant
très-peu apparentes là où elles se bifurquent, on tombe sur des endroits
12 impropres à la saignée. On ne doit donc pas inciser cette veine, car elle
donne encore lieu à une autre erreur, qui tient à l'appareil qu'on ap-
plique avant la saignée; en effet, la peau, qui se tend fortement au mi-
lieu du pli du coude, présente souvent l'aspect d'une veine parce qu'elle
est attirée vers le muscle du bras; il faut éviter cela.

1. *μίαν ἀφ.* ABC 1ª m. M text. V. — 2. *ἀπίμελος* om. C. — 3. *αὐτήν* ACM. — 10. *πρό* ex em. Matth.; *πρός* Codd. — 11. *τεινόμενον* om. C. — 12. *μῦν* om. BV. — 13. *φευκτέον οὖν* C 2ª m. — Ib. *τοιοῦτον* AV.

η'. Τίς καιρὸς Φλεβοτομίας ἐν τοῖς ἐπὶ μέρους καιροῖς; Ἐκ τῶν Ἡροδότου, ἐκ τοῦ Περὶ κενουμένων βοηθημάτων.

Ἐν τοῖς ἐπὶ μέρους καιροῖς περὶ μὲν τὰς ἀρχὰς τῶν ἐπισημα- 1
σιῶν ἀνεπιτήδειος Φλεβοτομία, ἐκτὸς εἰ μὴ μέγα τι κακὸν τοῖς πυ-
ρετοῖς συνεισβάλλοι, ὡς πνιγμὸς, ἢ σπασμὸς, ἢ ἐξάγουσα ὀδύνη·
εἰ μέντοι μηδὲν ἔξωθεν ἐπείγοι, περιμενετέον τοὺς τῆς ἀνέσεως
καιροὺς, καὶ, μακρῶν μὲν ὄντων τῶν διαλειμμάτων, ἐν τῇ παντελεῖ
Φλεβοτομητέον ἀνέσει· ῥᾶον γὰρ αἱ δυνάμεις εὐσΊαθοῦσαι τῶν ἀφαι-
ρετικῶν ἀνέχονται βοηθημάτων, καὶ παρίσΊανται κατὰ τὸ ἀν|δρικὸν 131
αὐτοῖς, καὶ μονονουχὶ τοῖς βοηθήμασι χεῖρας ὀρέγουσιν· ἐν πολλῇ
γοῦν τὰ ὅλα γίνεται μεταβολῇ· ἐν δὲ τοῖς παροξυσμοῖς ὑποπεπΊω-
κυῖαι τοῦ παρηγορήσοντος μόνου προσδέονται. Εἰ δὲ βραχὺς ὁ 2

8. QUEL EST LE TEMPS OPPORTUN POUR LA SAIGNÉE AUX PÉRIODES PARTIELLES [DE LA FIÈVRE]. — TIRÉ D'HÉRODOTE, DU LIVRE *DES MOYENS ÉVACUANTS.*

Eu égard aux périodes partielles de la fièvre, le commencement de 1
l'accès ne se prête pas à la saignée, à moins qu'il n'y ait quelque accident
grave qui fasse invasion en même temps que la fièvre, comme un étouffe-
ment, des convulsions, une douleur qui met le malade hors de lui-même;
mais, si aucun accident étranger à la fièvre ne nous presse, nous atten-
drons l'époque de la rémission, et, si les intervalles entre les accès sont
longs, nous saignerons quand la rémission sera complète, parce que les
forces, étant en bon état à cette époque, résistent mieux aux moyens
déplétifs, leur prêtent un puissant secours et leur tendent, en quelque
sorte, la main; l'essentiel donc, dans le traitement, consiste [alors] à pro-
duire un grand changement; pendant les accès, au contraire, les forces
sont abattues et n'exigent, pour cette raison, qu'un moyen sédatif. Si la 2

Ch. 8. Tit. *ἐπὶ μέρους* ex em. Matth.; *ἐπὶ μέρος* Codd.; de même l. 1. — Ib. *καιροῖς* om. BV. — 2. *ἡ φλεβοτ.* B. — 2-3. *πυρέτΊουσι* A 2ª m. CM. — 3. *ἐξάγουσα* dans A est récrit sur un mot illisible. — 6. *ἀνέσει · αἱ γάρ* B text.; *ἀνεσιραι γὰρ αἱ* B corr. V; *ἀνεσιραιον γὰρ αἱ* A; *ἀεσιραιον γὰρ αἱ* M. text.; *ῥᾶον* marg. — Ib. *εὐσΊαθοῦσα* AB; *εὐπαθοῦσαι* V 1ª m. — 8. *αὐτοῖς* ex em. Matth.; *αὐταῖς* Codd. — 10. *παρηγορήσαντος* AC.

Matth. 131.

τῆς ἀνέσεως χρόνος εἴη, τὴν μὲν παντελῆ φθαστέον ἄνεσιν· ἀρξα-
μένους δὲ ἀνίεσθαι φλεβοτομητέον· περιέσται γὰρ ἡμῖν διαστή-
σασιν ὀλίγον χρόνον ἀνέντας τρέφειν, τῶν ἀφαιρετικῶν καὶ ἐν
πυρετοῖς ἔστιν ὅτε καλῶς προσαγομένων, τῶν δὲ προσθετικῶν
οὐδέποτε· ἄτοπον οὖν, τὸν τῆς τροφῆς καιρὸν εἰς τὸν τῆς φλεβο-
3 τομίας ἀποδαπανῆσαι. Κἂν τὰ τῆς ἐπισημασίας διαδραμόντα στάσιν
ποιήσηται, ἀγνοῶνται δὲ οἱ διαδεχόμενοι καιροὶ αὐτῆς, χάριν τῆς
ἐπισημασίας ἐν τούτῳ τῷ χρόνῳ φλεβοτομητέον· ἀποπαύσεται γὰρ
τὸ ἐλλεῖπον· τρέχουσαν μὲν γὰρ ἐπισημασίαν πρὸς ἄνεσιν ἐπι-
θεωρητέον, μένουσαν δὲ κινητέον καὶ μᾶλλον διὰ τοῦ τοιούτου
4 βοηθήματος. Ἐπὶ δὲ τῶν ἐν ἀδιακόπῳ συνεχείᾳ νοσούντων ὁ αὐτὸς
φλεβοτομίας καὶ τροφῆς καιρός· μικρὸν γὰρ πρόσθεν τῆς τοῦ σώ-
5 ματος ἀποθεραπείας ἀφαιρεῖν τὸ αἷμα. Εἰ δὲ συνεχεῖς μὲν εἶεν οἱ
πυρετοὶ, ἔκδηλον δέ τινα παροξυσμὸν φέροιεν, κατὰ ὃν προστι-

durée de la rémission est courte, on agira avant qu'elle ne soit complète,
et on saignera les malades quand la fièvre commence à baisser; nous
aurons ainsi le temps de les nourrir pendant la rémission, en mettant
quelque intervalle entre l'alimentation et la saignée; car on peut quel-
quefois user avec succès, pendant la fièvre, des moyens déplétifs, mais
jamais des moyens réplétifs; il n'est donc pas raisonnable de prendre,
3 pour saigner, le temps destiné à nourrir les malades. Si une exacerbation
intercurrente cause du trouble, mais qu'on ignore le temps où elle re-
prendra, il faut, à cause de cette exacerbation, saigner quand la rémis-
sion n'est pas encore tout à fait déclarée; en effet, l'indication deviendra
complète, car, ou l'exacerbation baisse, et cela équivaut à une rémission,
4 ou elle persiste, et alors on doit la précipiter, surtout par la saignée. Dans
une fièvre continue, sans intermission ou rémission, le temps pour la
saignée est le même que celui pour donner de la nourriture, car il faut
tirer du sang un peu de temps avant de s'occuper à restaurer le corps.
5 Si les fièvres sont continues, mais en présentant une exacerbation mani-
feste, et qu'après avoir augmenté en intensité par cette exacerbation, elles

3. ἀνέντα τρέφειν BC. — 7. ἀγνοῶνται ex em. Matth.; ἀγνοοῦνται ACMV; ἀγνοῦνται B. — Ib. τῆς om. C 1ª m. — 9. τό om. B. — Ib. πρός M marg.; om. AB (avec lac.) CM text. V. — 10. μὲν οὖσαν ABC 1ª m. MV.

θέντες ἐπὶ τοῦ αὐτοῦ μεγέθους μένουσι, ποιούμενοι τεταγμένας ἢ
καὶ ἀτάκτους τὰς προσβολὰς, ἀποθεωρητέον, ὡς ἔνι μάλιστα, μὴ
κατὰ τὰς | ἐπιθέσεις τῶν ἐπισημασιῶν τὰς ἀφαιρέσεις ποιεῖσθαι, 132
ἀλλὰ κατὰ τοὺς διομαλισμούς· οὗτος γὰρ καὶ πρὸς τροφὴν καιρὸς
ἐπιτήδειος.

θ'. Τίνα πρὸ τῆς διαιρέσεως ποιητέον; [Ἐκ τῶν] Ἀντύλλου, ἐκ τοῦ β' λόγου Τῶν κενουμένων βοηθημάτων.

Διαδετέον τὸν βραχίονα πρὸ τῆς διαιρέσεως τελαμῶνι εὐτόνῳ, 1
πλάτος ἔχοντι ὅσον δακτύλων δύο, ἢ ὀλίγῳ πλατύτερον. Ἐπὶ μὲν 2
οὖν τῶν ἐσφαιρωμένους καὶ περιγεγραμμένους ἐχόντων τοὺς ἐν τοῖς
βραχίοσι μῦς κατωτέρω περιβλητέον τὸν τελαμῶνα, καὶ μάλιστα
εἰ ἐπιμήκεις εἶεν οἱ φλεβοτομούμενοι· ἱκανὸν γὰρ τούτοις τὸ τοῦ
μήκους διάστημα ἀπὸ τοῦ μυὸς ἐπὶ τὴν καμπὴν τοῦ ἀγκῶνος. ἐπὶ
δὲ τῶν μικρῶν πάνυ, ὁμοίως δὲ τοὺς μῦς συνεστραμμένους ἐχόντων

persistent dans cette même intensité, avec des accès réguliers ou irréguliers, on s'efforcera, autant que possible, d'administrer les déplétions, non à l'époque de l'augmentation amenée par l'accès, mais à celle où l'intensité persiste au même degré; car c'est là aussi le temps pour donner de la nourriture.

9. CE QU'IL FAUT FAIRE AVANT LA SAIGNÉE. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES MOYENS ÉVACUANTS*.

Avant la saignée, on entourera le bras d'une bande solide de la lar- 1
geur d'environ deux doigts, ou un peu plus. Quand les muscles du bras 2
sont saillants et ont des contours bien dessinés, on appliquera la bande
au-dessous d'eux, surtout si ceux qu'on saigne sont d'une taille élancée;
dans ce cas, en effet, la distance qui existe entre le pli du coude et le
muscle est suffisante; chez les gens très-petits et qui ont également des

1. τεταγμένως M Gal. — Ib. εἰ AB text. CV. — 2. ἀτάκτως M Gal. — 2-3. μὴ....... ποιεῖσθαι om. C. — 4. ἀλλὰ μᾶλλον κατὰ B text., supprimé après coup. — Ib. διορισμούς Gal. — Ib. καιρὸς om. C. — Ch. 9. Tit. Ἐκ τῶν ex em.; om. Codd. — 7. ὀλίγον BV. — 12. μικρῶν οὐ πάνυ M marg.

ἡ μὲν ἀνωτέρω διάσφιγξις ἄχρησΊος, δεῖ δὲ ὀλίγον κατωτέρω τῆς
μεσότητος τοῦ μυὸς τὴν ἀπόσφιγξιν ποιεῖσθαι, τάσσοντας τὸν τε-
3 λαμῶνα κατὰ τὰ τελευταῖα τοῦ μυός. Ἐπὶ δὲ τῶν γυναικῶν καὶ τῶν
τοὺς μῦς πλαδαροὺς ἐχόντων οὐδὲν κωλύει τὸ κατὰ μέσον τοῦ μυὸς
περιβάλλειν, ἀλλά, εἰ μὲν κατωτέρω τοῦ μυὸς παντός, ἢ ἐν τοῖς
κάτω μέρεσιν αὐτοῦ διασφίγγοιμεν, ἔξεσΊιν ἡμῖν καὶ εὐτόνῳ σφόδρα
χρῆσθαι τῇ διασφίγξει, ὅσον ἐπὶ τοῖς μέρεσι τοῖς διασφιγγομένοις·
133 οὐ | μὴν χρήσιμον· ἐπὶ γὰρ τῇ διασφίγξει ἀδηλότερά τε γίνεται τὰ
4 ἀγγεῖα, καὶ ναρκώδης καὶ ἐπώδυνος ἡ χείρ. Εἰ δὲ κατὰ μεσότητα
τοῦ μυὸς γένοιτο ἡ διάσφιγξις, οὐδὲ ὅλως χρὴ πιέζειν, καὶ μάλισΊα
ἐπὶ γυναικῶν καὶ τῶν τρυφερῶν· θλιβείσης γὰρ τῆς κοιλίας τοῦ
μυός, ὑπόσφαγμα γίνεται κατὰ τὸν βραχίονα πολλάκις· ἐνίοις δὲ
5 καὶ ἐρυσίπελας καὶ ἀπόσΊημα ἐπακολουθεῖ. Δεῖ δὲ σΊοχάζεσθαι,
μὴ ὁ περιδεόμενος τελαμὼν περισΊρέψῃ τὸ δέρμα τοῦ ἀγκῶνος,
ἀλλὰ τηρήσῃ τὴν φυσικὴν αὐτοῦ θέσιν, ἵνα μή, ἐπιλυθέντος, ἀποβᾶν

muscles saillants, il est inutile d'appliquer la bande au-dessus, mais on placera la ligature un peu au-dessous du milieu du muscle, en passant la
3 bande sur son extrémité. Chez les femmes et chez les individus qui ont les muscles pétris d'humidité, rien n'empêche de faire la ligature sur le milieu du muscle; si on applique l'appareil tout à fait au-dessous du muscle, ou sur sa partie inférieure, on pourra serrer très-fortement, sans que les parties sur lesquelles on agit y mettent obstacle; seulement cela ne sert à rien, car la ligature rend les vaisseaux moins apparents, engourdit et endo-
4 lorit le bras. Si on applique l'appareil sur le milieu du muscle, il ne faut pas serrer du tout, principalement chez les femmes et chez les sujets délicats, car, si le ventre du muscle est froissé, il se forme souvent une ecchymose au bras; chez quelques individus cette compression donne
5 lieu à un érésipèle, ou à un abcès. On tâchera d'éviter aussi que la bande dont on entoure le bras ne plisse la peau du pli du coude; elle doit, au contraire, lui conserver sa position naturelle, afin que la peau, quand

5. περιβ..... παντός om. A 1ª m. — 7. διασφίγξει, ὅσον ex em.; διὰ σφίγξεως ὅν A; διασφίγξει ὅν BCMV; dans B ὅν est effacé après coup. — 12. ὑπόσφιγμα ABC 1ª m. M 1ª m. V. — Ib. ἐνίους C; ἐνίοτε V. — 13. σΊοχάσθαι. M. — 14. μή] καί C. — 15. τηρήσει ABC 1ª m. V.

εἰς τὴν ἰδίαν αὐτοῦ χώραν τὸ δέρμα ἐπιλάϐῃ τὴν ῥύσιν τοῦ αἵματος, παραλλασσούσης τῆς ἐν τῷ δέρματι διαιρέσεως τὴν τοῦ ἀγγείου διαί-
ρεσιν. Ὅσοι δὲ ἐπὶ τῶν ἀφανῶν ἀγγείων κατωτέρω τοῦ ἀγκῶνος 6
διασφίγγουσιν οὐ προσηκόντως ποιοῦσιν· οὐδέποτε γὰρ ἐπὶ οὐδενὸς μέρους ἐκ τῆς κατωτέρω διασφίγξεως ἐκυρτώθη τὰ ἀγγεῖα· οὐδὲ μὴν οὐδὲ ὅσοι σπόγγοις προπυριῶσι τὰ κατὰ τὸν ἀγκῶνα
ἀνύουσί τι· οὐ γὰρ ἂν κυρτωθείη, εἰ μὴ ἐκ τῆς διασφίγξεως. Δεῖ δὲ 7
μετὰ τὴν διάδεσιν τὰς χεῖρας τρίϐειν πρὸς ἀλλήλας καὶ διακρατεῖν
τι ἐν τῇ χειρί. Ἐπὶ δὲ τῶν ἀπὸ τοῦ μετώπου φλεϐοτομουμένων, ἢ 8
κανθῶν, ἢ γλώσσης, ἢ παρὰ τὰ ὦτα, χρὴ τελαμῶνα περιϐάλλειν τῷ τραχήλῳ, τὸν δὲ κάμνοντα κελεῦσαι τὴν ἀριστερὰν χεῖρα ἢ δεξιὰν τάξαι κατὰ τὸ γένειον, ἢ πᾶσαν, [ἢ τὸν] ἀντίχειρον δάκτυλον
μόνον, ἔπει|τα τὸν τελαμῶνα κατὰ τῶν δακτύλων σφίγγειν· οὕτω 134
γὰρ ὁ μὲν βρόγχος οὐκ ἀποληφθήσεται, τὰ δὲ ἑκατέρωθεν ἀγγεῖα τὰ τείνοντα ἐπὶ τὴν κεφαλὴν θλιϐόμενα ἐν τοῖς ἐπάνω διοιδήσει

on défait la bande, en reprenant sa position propre, n'intercepte pas l'écoulement du sang, en détruisant le parallélisme de l'incision de la
peau et de celle du vaisseau. Dans le cas où les vaisseaux ne sont pas 6
apparents, si on applique une bande au-dessous du pli du coude, on n'agit pas comme il faut, car jamais, dans aucune partie, une bande ne fait gonfler les vaisseaux qui sont placés au-dessus d'elle; faire préalablement des fomentations avec des éponges au pli du bras, ne produit non plus aucun effet, car les vaisseaux ne se gonfleront par aucun autre
moyen que par l'application d'une bande. Après avoir appliqué l'appareil, 7
on frottera les mains l'une contre l'autre et on y tiendra quelque chose.
Quand on saigne au front, à l'angle de l'œil, à la langue, ou près des 8
oreilles, on entourera le cou d'une bande, et on ordonnera au malade de placer sa main gauche, ou sa main droite sous le menton, soit tout entière, soit le pouce seulement; ensuite on serrera la bande sur les doigts; de cette manière, la trachée artère ne sera pas interceptée, et les vaisseaux qui, de chaque côté, se rendent à la tête, se gonfleront à leur partie

1. αὐτοῦ om. M. — 10. γλώσσης παρά BV. — 12. εἰ πᾶσαν ABCV. — Ib. [ἢ τόν] conj.; om. Codd. — Ib. δακτύλων codd. — 15. διοδεύσει B corr.

Matth. 134.
9 μέρεσιν. Ἐπὶ δὲ τῶν ἀτόνων, ἢ παρέτων, παρεστὼς ὑπηρέτης ὑπο-
10 βαλλέτω τὴν χεῖρα τῷ γενείῳ. Ἀπὸ δὲ χειρὸς ποιουμένων τὴν ἀφαί-
ρεσιν, εἰ καταιονῆσαι δέοι πρόσθεν αὐτὴν, εἰς θερμὸν χαλάσαι
μετὰ τοῦ διασφίγγειν· ἀπὸ δὲ ἰγνύας, ἡ μὲν διάσφιγξις ὑπὲρ τοῦ
γόνατος ἐν τῷ μηρῷ· γινέσθω δὲ ἡ ἀφαίρεσις, εἰ οἷόν τε, ἐν βα-
11 λανείῳ, ἢ καὶ προπυριασθείσης. Περιπατείτω δὲ μετὰ τὴν διά-
σφιγξιν ὁ κάμνων, καὶ μελλόντων δὲ διαιρεῖν, ὀρθὸς ἐπὶ μόνου
12 τοῦ σκέλους ἐρειδέσθω. Τὰ δὲ αὐτὰ καὶ ἐπὶ σφυροῦ γινέσθω, τῆς
διασφίγξεως μικρὸν ἀνωτέρω τῶν σφυρῶν παραλαμβανομένης.

ι'. Πῶς φλεβοτομητέον; Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Ποτὲ μὲν καταπείροντες, ποτὲ δὲ ἀναπείροντες φλεβοτομοῦμεν,
καταπείροντες μὲν, ἐπειδὰν ἄδηλα ᾖ τὰ ἀγγεῖα· ἀναπείροντες δὲ,

9 supérieure par l'effet de la pression. Chez les individus faibles, ou para-
lytiques, il faut qu'un aide, placé près du malade, mette sa main au-
10 dessous du menton. Si on fait une saignée à la main, et s'il est néces-
saire de bassiner préalablement cette partie, on la placera dans de l'eau
chaude, sans négliger pour cela l'application de l'appareil; si on saigne
à la fosse poplitée, on appliquera la bande à la cuisse, au-dessus du ge-
nou, et, si cela est possible, on doit saigner dans un bain, ou après avoir
11 fait des fomentations. Après l'application de l'appareil, le malade se pro-
mènera; quand on est sur le point de faire l'incision, il se tiendra droit,
12 en s'appuyant uniquement sur la jambe. On agira de même quand on
saigne aux malléoles, en appliquant toutefois la bande un peu au-dessus
de ces parties.

10. COMMENT IL FAUT EXÉCUTER LA SAIGNÉE. — TIRÉ DU MÊME LIVRE.

1 On saigne, tantôt en enfonçant l'instrument, tantôt en le relevant; en
l'enfonçant, quand les vaisseaux ne sont pas apparents, et en le relevant,

1. ἀτόπων A 2ª m. CM. — 2. ποιουμένων ex em.; ποιούμενον A; ποιούμενοι A 2ª m. BCMV. — 3. καταιονῆσαι δέοι ex em.; κατεωνίσαι δέοι M marg.; κατεώνισε δὲ οἱ ABMV.; κατεώνησε δὲ οἱ C. — 4. σφίγγειν CM. — 6. ἢ om. C. — 8. σφυρῶν A. — Ch. 10; l. 10. καταπήροντες ABC 1ª m. MV; de même l. 11. — Ib. ἀναπείροντες ex em. Matth.; ἀναπήροντες CM; ἀνακήρ. ABV; ἀνακείρ. Aët.; de même l. 11 où A a aussi ἀναπήροντες.

ἐπειδὰν σφόδρα ἐπιπόλαια. Δεῖ δὲ μὴ ὅλον διαιρεῖν τὸ ἀγγεῖον. 2
ἀνατρεχόντων γὰρ αὐτοῦ τῶν | μερῶν, ἡ ῥύσις οὐ γίνεται μετὰ ἀκον- 135
τισμοῦ· μηδὲ τὸ κάτω μέρος τοῦ ἀγγείου διαιρεῖν, ἀλλὰ τὸ ἀνωτέρω· λέγω δὲ κάτω μὲν τὸ πρὸς τὴν ἀπόφυσιν τοῦ βραχίονος κάτω νεῦον, ἄνω δὲ τὸ πρὸς τὴν κερκίδα· τοῦ μὲν γὰρ ἄνω διαιρεθέντος μέρους, εὔμορφος ἐξακοντισμὸς γίνεται τοῦ αἵματος· τῶν δὲ κάτω διαιρεθέντων, οὐδὲν ἀπακοντίζει.

ια'. Πότε καὶ ποίῳ μεγέθει καὶ σχήματι τῆς διαιρέσεως χρησΊέον; Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐπὶ μὲν κενώσεως δεομένων ἀθρόας μεγάλην ἐμϐλητέον τὴν διαί- 1
ρεσιν, ἐπὶ ὧν δὲ δεῖ περισπάσαι καὶ ἀποτρέψαι φορὰν αἵματος, οἷον ἐπὶ τῶν αἷμα ἀναγόντων, ἢ αἱμοῤῥαγούντων ἐκ ῥινῶν, ἢ ἄλλου τινὸς μέρους, μικρὰν σφόδρα· οὐ γὰρ κενώσεως δέονται, κενούμενοι

quand ils sont très-près de la surface. Il ne faut pas diviser entièrement 2
le vaisseau, car, dans ce cas, les deux extrémités se retirent et le sang ne sort pas en jet; on ne doit pas piquer non plus la partie inférieure du vaisseau, mais la partie supérieure; or j'appelle inférieure celle qui se trouve du côté de l'apophyse de l'humérus et qui est tournée vers l'extrémité inférieure du membre, et supérieure celle qui est du côté du radius; en effet, si on pique la partie supérieure, le sang jaillit avec élégance, mais, si on coupe l'inférieure, il ne jaillit pas du tout.

11. QUAND IL FAUT EXÉCUTER LA SAIGNÉE, ET QUELLE DOIT ÊTRE LA GRANDEUR ET LA FORME DE L'INCISION. — TIRÉ DU MÊME LIVRE.

Quand une déplétion abondante et subite est nécessaire, on fera une 1
grande incision; mais elle doit être très-petite, quand il s'agit de détourner et de dériver l'afflux du sang, comme chez les individus qui crachent du sang, ou qui ont une hémorragie, que le sang vienne du nez, ou de quelque autre partie; en effet, ces malades n'ont pas besoin d'évacuation,

1. ἐπειδὰν ᾖ φανερά Aët. — 4-5. μὲν τὸ.... κάτω om. C. — CH. 11. Tit. Ἐκ τοῦ αὐτοῦ λόγου om. A. — 8. ἀθρόας M marg., Aët.; ἀθρόως ABCM text. V. — 9. δέ om C 1ª m. — Ib. ἀποσΊρέψαι MV. — 10. ἤ... ῥινῶν conj.; ἢ αἱμοῤῥ. ἐπὶ τῶν ἐκ ῥινῶν ABMV; ἐπὶ τῶν ἐκ ῥινῶν C; ἢ ῥινῶν αἱμοῤῥ. Aët.

Matth. 135-136.

ὑπὸ τοῦ πάθους, ἀλλὰ ἀνθολκῆς· δεῖ οὖν ἐπὶ τούτων πολλῷ χρόνῳ
2 ῥεῖν ἀπὸ τῆς φλεβὸς τὸ αἷμα. Ἔτι μικρᾷ μὲν χρηστέον ἐπὶ τῶν
μικρῶν ἀγγείων, μεγάλῃ δὲ ἐπὶ τῶν μεγάλων· εἰ γὰρ ἐπὶ μεγάλῳ
τις ἀγγείῳ μικρὰν ποιοῖτο διαίρεσιν, ἐνθρόμβωσις ἐξ ἀνάγκης γί-
3 νεται. Σχήματά γε μὴν διαιρέσεως τρία, τὸ μὲν ἐπικάρσιον, τὸ δὲ
εὐθὺ οὐχὶ κεῖρον, ἀλλὰ σχίζον τὴν φλέβα, τὸ δὲ μεταξὺ τούτων τὸ
4 λοξόν. Τῷ μὲν οὖν ἐπικαρσίῳ χρηστέον ἐπὶ ὧν οὐδὲ ὅλως ἐπαφαι-
ρεῖν δοκιμάζομεν· καμφθέντος γὰρ τοῦ ἀγκῶνος, εὐθὺς παρακολ-
5 136 λήσεως τυγχάνει. Τὸ | δὲ λοξὸν ἐπιτήδειον τῇ ἐπαφαιρέσει· ἐν γὰρ
6 τῇ καμπῇ τοῦ ἀγκῶνος οὐκ ἀκριβῶς μύει τὰ χείλη. Τὸ δὲ ἐπίμηκες
σχῆμα ἐπιτήδειον ἐπὶ ὧν οὐ μόνον τῆς αὐτῆς ἡμέρας ἐπαφαιροῦμεν,
ἀλλὰ καὶ ἐπὶ τῆς τρίτης, ἢ καὶ τετάρτης· καμφθέντος γὰρ τοῦ
ἀγκῶνος, ἐπὶ πλεῖστον ἀσύμπτωτα μένει τὰ χείλη.

puisque la maladie en produit une, mais de révulsion; on laissera donc,
2 dans ce cas, le sang couler longtemps de la veine. Nous pratiquons en-
core une petite incision, quand les vaisseaux sont petits, et une grande,
quand ils sont grands, car, si on fait une petite incision à un grand vais-
seau, on ne saurait éviter qu'un thrombus n'intercepte le cours du sang.
3 L'incision peut avoir trois directions: la transversale, la droite, qui ne
coupe pas le vaisseau en travers, mais le fend en long, et l'oblique, qui
4 est intermédiaire entre ces deux. Nous pratiquons l'incision transver-
sale, quand nous n'avons nulle intention de réitérer la saignée, parce
5 que, le bras une fois fléchi, la plaie s'agglutine de suite. L'incision oblique
convient quand on désire réitérer la saignée, car, pendant la flexion du
6 bras, les lèvres de la plaie ne se touchent pas exactement. L'incision droite
convient aussi lorsqu'on doit avoir de nouveau recours à la saignée, non-
seulement le même jour, mais aussi le troisième ou le quatrième, car,
en fléchissant le bras, les lèvres de la plaie restent notablement écartées
l'une de l'autre.

4. ποιείτω ABV. — 5. γε om. B. — 6. κῆρον BV; κηρόν AM text. — 6-7. τούτων λοξόν CM. — 7. Τῷ μὲν οὖν ἐπικαρσίῳ Aët.; τὸ μὲν οὖν ἐπικάρσιον ABMV; τὸ μὲν ἐπικάρσιον C. — 7-8. ἐπαφαίρεσιν λαβεῖν Aët. — 8-9. εὐθὺς... τυγχ.] παρατίθεται τὰ χείλη τῆς διαιρέσεως Aët. — 10. μύει ex em. Matth.; μυεῖται Codd. — 12. μετὰ μίαν ἢ δύο ἡμέρας Aët.

ιβ'. Τίνα προσμηχανητέον πρὸς τὴν τοῦ αἵματος εὔροιαν; Ἐκ τοῦ αὐτοῦ λόγου.

Εἰ μὲν διὰ σφίγξιν βιαιοτέραν ἡ ῥύσις ἐπέχοιτο, ταύτην ἀνε- 1
τέον. Εἰ δὲ, παρατραπέντος τοῦ δέρματος, ἐπικαλυφθείη ἡ τοῦ 2
ἀγγείου διαίρεσις διὰ ἀφυΐαν τῆς ἐπιδέσεως, μετασχηματιστέον τὸν
ἀγκῶνα παντοίως καὶ ἐπὶ τὸ πρηνὲς καὶ ὕπτιον, καὶ ἐκτεταμένον
καὶ συνηγμένον, μέχρις ἂν ἐν τούτῳ τῷ σχήματι καταστῇ, ὡς τὴν
εὔροιαν ἐπακολουθῆσαι, τῆς διαιρέσεως τοῦ ἀγγείου κατὰ εὐθὺ γε-
νομένης τῇ τοῦ δέρματος διαιρέσει. Μικρᾶς δὲ τομῆς ἐμβληθείσης, 3
ἐπιδιαιρετέον αὐτήν. Δειλίας δὲ ἐπιλαμβανούσης τὴν ῥύσιν, ἐπιτη- 4
δευτέον, ὅπως ἀψοφητὶ ῥέῃ· παύονται γὰρ τοῦ ἀγῶνος, εἰ μὴ νομὴν
νομίζοιεν φέρεσθαι. Τῆς λιποθυμίας δὲ ἐνοχλούσης, κατακειμένων 5
ἀφαιρετέον, καὶ τὸν στόμαχον σπαρακτέον ἐμέτοις τε καὶ καθέσει

12. QUELLES MANOEUVRES IL FAUT EMPLOYER POUR FACILITER L'ÉCOULEMENT DU SANG. — TIRÉ DU MÊME LIVRE.

Si l'écoulement s'arrête parce qu'on a trop serré la bande, on la relâ- 1
chera. Si, par l'effet d'un appareil mal appliqué, la peau a été déplacée 2
et recouvre l'ouverture de la veine, on changera la position du coude de
toutes les façons, le portant tantôt dans la pronation, tantôt dans la su-
pination, tantôt dans l'extension, tantôt dans la flexion, jusqu'à ce qu'il
se trouve dans une position qui facilite l'écoulement, en rétablissant la
correspondance directe de l'ouverture de la veine avec celle de la peau.
Quand on fait une incision trop petite, on doit l'agrandir. Quand c'est la 3-4
peur qui arrête l'écoulement, on fera en sorte que le sang coule sans faire
de bruit, car les malades cessent d'avoir peur quand ils pensent que l'écou-
lement est arrêté. Si c'est une défaillance qui gêne le succès de l'opé- 5
ration, il faut saigner en couchant les malades, leur irriter l'œsophage
par des vomissements et par l'intromission des doigts, les rappeler à eux

CH. 12; l. 1. *βιαιοτέραν* ex em.; *βιαιστέραν* ACM; *βιεστέραν* BV. — 4. *ἐντεταμένον* C. — 5. *καὶ συνηγμένον* om. V. — Ib. *τῷ* om. C. — 8-9. *ἐπιτηδευτέον* ex em. Matth.; *ἐπιτηδέστερον* Codd. — 10. *νομίζοι ἐμφέρεσθαι* Codd. — 11. *καὶ τόν* om. A 1ª m. — Ib. *παρακτέον* ABV. — Ib. *καθέσεσι* M.

Matth. 136-137.

137 δακτύλων, καὶ ὀσφραντοῖς ἀνακτη|τέον, καὶ τὰ ἄκρα διαδετέον, ἵνα
6 σφόδρα ἐνοχλοῖτο. Θρομβώσεως δὲ ἐνοχλούσης καὶ ἐπεχούσης τὴν ῥύσιν, δεῖ τοῖς λιχανοῖς δακτύλοις τῶν δύο χειρῶν διαλύειν τὸν θρόμβον, καὶ κατὰ συμπίεσιν ἐκθλίβειν, καὶ ἔλαιον καταχεῖν, καὶ
7 ἔτι μᾶλλον ὄξος· διαλυτικὸν γὰρ τῶν θρόμβων. Εἰ δὲ διὰ ψύξιν ἐπέχοιτο, ἤτοι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος, ἢ διὰ πάθος ψυχρὸν, οἷόν ἐστιν ἐπιληψία καὶ ἀποπληξία καὶ τὰ τοιαῦτα, πυριᾶν τὸ μέρος, καταιονᾶν, τρίβειν, λιπαίνειν, καὶ ὅλως εἰς τὴν ἐναντίαν ἕξιν
8 καθιστᾶν. Πιμελὴ δὲ καὶ σὰρξ ἐπὶ τῶν καταπιμέλων καὶ κατασάρκων ἐκπηδᾷ διὰ τῆς διαιρέσεως καὶ ἐπιλαμβάνει· ἁπλοῦς δὲ ἐπὶ τούτοις λόγος· ἢ γὰρ ἀφαιρεῖν τὸ ἀναδραμὸν, ἢ παραστέλλειν χρή.

ιγ'. Περὶ ἀρτηριοτομίας. Ἐκ τῶν Γαληνοῦ.

1 Καὶ ἀρτηρίας τοῖς ἰατροῖς ἔθος ἐστὶ διαιρεῖν, τὰς μὲν ἐν τοῖς

par des médicaments qu'on leur fait respirer, et serrer leurs extrémités
6 avec des bandes, quand ils sont fortement incommodés. Si c'est un thrombus qui fait obstacle et qui arrête l'écoulement, on écrasera ce thrombus avec les doigts indicateurs des deux mains, on le fera disparaître par la compression et on versera dessus de l'huile, ou mieux encore du vinaigre,
7 car ce liquide dissout les caillots. Si l'écoulement est entravé par un refroidissement, que cela tienne au froid de l'air, ou à une affection froide, comme l'épilepsie, l'apoplexie et les autres affections semblables, on fera des fomentations, des affusions, des frictions et des onctions sur la
8 partie; en un mot, on la ramènera à un état contraire. La graisse et la chair s'échappent à travers la plaie, chez les malades très-gras et très-charnus, et interceptent l'écoulement; ce qu'il faut faire dans ce cas est bien simple; il suffit d'enlever ou de refouler ce qui s'échappe.

13. DE LA SAIGNÉE ARTÉRIELLE. — TIRÉ DE GALIEN.

1 Les médecins ont l'habitude d'inciser aussi les artères; celles des

1. διαιτητέον C. — Ib. ἵνα om. ABM text. V. — 2. ἐνοχλεῖτο ACV. — 5. διαλυκτιοκόν (sic) A. — 10. αἱρέσεως ABC 1ª m. MV. — Ib. ἁπλῶς C. — Ch. 13. Tit. ἀρτηρίας ABC 1ª m. V. — 12. ἀρτηριοτομίας ABC 1ª m. V.

κροτάφοις ἐπὶ τοῖς ἐν ὀφθαλμοῖς ῥεύμασιν ὅσα θερμὰ καὶ πνευματώδη, τὰς δὲ ὄπισθεν τῶν ὤτων ἐπὶ τῶν σκοτωματικῶν μάλιστα καὶ ὅσοι χρονίοις ἀλγήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. Ἤδη δὲ καὶ διὰ ἄλλα πάθη περὶ τὴν κεφαλὴν συνιστά- 2
μενα χρόνια κέχρηνται τῇ ἀρτηριοτομίᾳ τῶν ὤτων ὄπισθεν· οὐ μὴν ἐπὶ ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι, καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας· ἔνθα γὰρ ἐνοχλεῖ θερμὸν αἷμα καὶ πνευματῶδες ἐν ταῖς ἀρτηρίαις ἠθροισμένον, ἐνταῦθα χρεία τῶν κοινῶν τῷ πάσχοντι μορίῳ τεμνομένων ἀρτηριῶν, ἀλλὰ διὰ τὸ δυσεπίσχετον τῆς αἱμοῤῥαγίας οὐ τολμῶσιν οἱ ἰατροὶ διαιρεῖν τὰς ἀρτηρίας, καὶ ὅτι, τῆς διαιρέσεως εἰς οὐλὴν ἰούσης, ἀνεύρυσμα γίνεται. Τὰς μὲν οὖν ἀξιολόγους κατὰ 3
τὸ μέγεθος ἀρτηρίας διὰ ταῦτα φεύγουσιν οἱ ἰατροὶ, τὰς δὲ μικρὰς ὡς οὐδὲν μέγα δυναμένας ἀνύσαι, καίτοι καὶ αὗται πολλάκις ἡμῖν

tempes, dans les fluxions chaudes des yeux compliquées de pneumatose, et celles qui sont situées derrière les oreilles, surtout chez les malades attaqués de vertige, ou chez ceux qui ont un mal de tête chronique chaud avec pneumatose. On incise aussi les artères derrière les oreilles pour 2
d'autres maladies chroniques qui se forment à la tête, mais on n'a pas encore eu recours à ce moyen de traitement, dans une affection de quelque autre partie, quoique la plupart d'entre elles aient plutôt besoin de ce remède que d'une saignée veineuse, car, si l'on est incommodé par une accumulation de sang chaud et mêlé d'air dans les artères, il est utile d'ouvrir les artères qui communiquent avec la partie affectée; mais, à cause de la difficulté d'arrêter l'écoulement du sang, les médecins n'osent pas saigner les artères, et aussi parce qu'à l'époque de la cicatrisation il peut se former un anévrisme. Pour ces raisons, les méde- 3
cins respectent les artères d'un grand calibre; ils négligent les petites, croyant que la saignée de ces petits vaisseaux ne saurait produire un très-grand effet, bien que nous ayons vu souvent que la saignée de ces artères

1. *τῶν..... ῥευμάτων* Aët. — 2. *ἐπὶ σκοτοματικοῖς* Gal. — 3. *χρονίως* C. — 5. *τῇ*] *τινες* Gal. — 6-7. *τὸ βοήθημα* BV; *τῇ ἀρτηριοτομίᾳ τῶν ὤτων* C. — 7. *καίτοι*] *καί* ABV. — 10. *αἱμοῤῥαγίας*] *ἀρτηρίας* Gal. — Ib. *οὐ* om. A 1ª m. — 12. *γίν. ἐπί τινων* Aët. — 13. *ταύτας* ABCV. — 14. *αὗται* Gal.

ὤφθησαν οὐ μικρὰν ὠφέλειαν ἐπιφέρουσαι μετὰ καὶ τοῦ συνουλοῦ-
4 *σθαι χωρὶς ἀνευρύσματος. Καὶ μέντοι κἂν μείζων ᾖ τις ἀρτηρία, καὶ αὐτὴ χωρὶς ἀνευρύσματος ἐπουλοῦται διαιρεθεῖσα πᾶσα, καὶ πολλάκις γε τοῦτο αὐτὸ τὸν ἐκ τῆς αἱμοῤῥαγίας κίνδυνον ἰάσατο· φαίνεται γὰρ σαφῶς, ὅταν ὅλη διὰ ὅλης ἑαυτῆς ἐγκαρσία διακοπῇ, τῶν μερῶν ἑκατέρων ἀνασπωμένων ἑκατέρωσε, τὸ μὲν ἄνω τοῦ*
5 *μορίου, τὸ δὲ κάτω. Ἐγὼ δὲ προτραπεὶς ὑπό τινων ὀνειράτων ἐναργῶς μοι γενομένων διεῖλον τὴν ἐν τῷ μεταξὺ λιχανοῦ τε καὶ μεγάλου δακτύλου τῆς δεξιᾶς χειρὸς ἀρτηρίαν ἐπέτρεψά τε ῥεῖν, ἄχρις ἂν αὐτομάτως παύσηται τὸ αἷμα, κελεύσαντος οὕτω τοῦ ὀνεί-*
6 *ρατος. Ἐῤῥύη μὲν οὖν οὐδὲ ὅλη λίτρα, παραχρῆμα δὲ ἐπαύσατο τὸ χρόνιον ἄλγημα κατὰ ἐκεῖνο μάλιστα τὸ μέρος ἐρεῖδον, ἔνθα*
7 *συμβάλλει τῷ διαφράγματι τὸ ἧπαρ. Ἑτέρῳ δὲ, τραύματος ἐν σφυρῷ γενομένου, διαιρεθείσης ἀρτηρίας, οὐκ ἐπαύετο μὲν ἡ φορὰ τοῦ αἵματος, ἄχρι κληθεὶς ἐγὼ διέτεμον ὅλην αὐτὴν, εἶτα τῷ διὰ τῆς*

procurait un avantage assez notable; ajoutez à cela que la cicatrisation a
4 lieu sans anévrisme. Cependant, quand une artère est plus volumineuse, elle se cicatrise aussi sans anévrisme, si on la coupe en entier, et souvent cette manière d'agir a remédié en même temps au danger qu'amène l'écoulement du sang; en effet, quand une artère est complétement divisée transversalement, on voit manifestement que chacune des deux extrémités éprouve de son côté une rétraction, et qu'une partie de l'artère est placée
5 en haut et l'autre en bas. Moi-même, engagé par certains songes qui m'apparurent clairement, j'ai divisé l'artère située entre l'indicateur et le pouce de la main droite et je laissai couler le sang jusqu'à ce qu'il s'ar-
6 rêtât de lui-même, le songe me l'ayant ainsi prescrit. Il s'écoula un peu moins d'une livre de sang, ce qui fit cesser aussitôt la douleur chronique
7 fixée surtout à la région où le foie touche au diaphragme. Chez un autre malade, où l'on avait fait une incision aux malléoles et coupé l'artère, l'écoulement du sang ne s'arrêta pas avant qu'on m'eût appelé et que

2. *κἂν*] *καί* ABV. — Ib. *μείζων ἀρτηρία ᾖ* Gal. — 3. *συνουλοῦται* Gal. — 4. *γε* om. Gal. — 5. *ὅτε* Gal. — Ib. *ἐγκαρσίως* C Gal. — 7. *ὀνειράτων δυοῖν* Gal. — 9. *ἐπιτρέψαι ῥεῖν* ABCV. — 11. *Ἐῤῥύει* ABCV. — 12. *τό* om. Gal. — 13. *ἐν τῷ σφυρῷ* Gal.; *ἐν σφυρῶν* A; om. BV. — 14. *ἐπαύσατο* A.

*ἀλόης καὶ μάννης καὶ τοῦ λευκοῦ τῶν ᾠῶν ἐχρησάμην Φαρμάκῳ,
λαγῴαις ἀπαλαῖς ἀναλαμβανομένῳ θριξὶ, καὶ χωρὶς μὲν ἀνευρύ-
σματος ἐθεραπεύθη τὸ τραῦμα, περισαρκωθέντος τοῦ σ7όματος τῆς
ἀρτηρίας. Ὁ δὲ ἄνθρωπος ἐτῶν ἤδη τεσσάρων ἐκ διαλειμμάτων οὐ* 8
μακρῶν ὀδυνώμενος ἰσχίον ἐξ ἐκείνου τελέως ὑγιὴς ἐγένετο. Ταῦτα 9
*οὖν ἔπεισέ με πολλάκις ἐν ἄκροις τε τοῖς κώλοις, καὶ μέντοι καὶ
κατὰ τὴν κεφαλὴν ἀρτηρίας διαιρεῖν ἐπὶ πᾶσιν ἀλγήμασιν, ὅσα
μοι διὰ θερμὴν οὐσίαν, ἢ πνευματώδη, τὴν γένεσιν ἔχειν ἔδοξε,
καὶ μάλισ7α κατὰ τοὺς ὑμένας, ὧν τὸ ἄλγημα νυγματῶδές τέ ἐσ7ι
καὶ πλατυνόμενον ἠρέμα, τῆς μὲν νυγματώδους αἰσθήσεως κατὰ ἕν
τι μέρος ὡς ἂν κέντρον τοῦ πεπονθότος τόπου γινομένης, τάσεως
δὲ αἴσθησιν ἴσχοντος τοῦ περὶ τὸ κέντρον μορίου παντός.*

j'eusse complétement divisé le vaisseau, et employé ensuite le médicament
fait avec de l'aloès, de la poussière d'encens et du blanc d'œuf, que j'ap-
pliquai sur des poils fins de lièvre; la plaie se guérit sans anévrisme,
l'ouverture de l'artère ayant été obstruée de tous côtés par de la chair.
Cet homme, qui éprouvait déjà depuis quatre ans, à des intervalles assez 8
rapprochés, des douleurs à la hanche, fut guéri complétement. Ce fait 9
m'engagea à ouvrir souvent les artères aux extrémités des membres, aussi
bien qu'à la tête, pour toutes les douleurs qui me semblaient provenir
d'une substance chaude, ou mêlée d'air, surtout quand ces douleurs
avaient leur siége dans les membranes, cas dans lequel elles sont pun-
gitives et s'étendent lentement; le sentiment de piqûre offre alors le ca-
ractère d'une pointe fixée au centre de la partie affectée, tandis que
toute la région qui environne cette pointe est le siége d'un sentiment de
tension.

2. *ἀπαλαιαῖς* A; *ἀπάσαις* BV; om. Gal. — 5. *μικρῶν* C Gal. — Ib. *οὐδυνώμενος* A. — 6. *ἔπειθέ* A; *ἔπεισάν* C. — 8. *μή* A 2ª m.; *μηδαμήν* 1ª m.; om. Gal. — Ib. *διὰ θερμήν* om. A 1ª m. — 9. *κατά* om. ABC 1ª m. V. — Ib. *νυμακτῶδές* A. — 10. *ἀτρέμα* Gal. — Ib. *αἰσθήσεως*] *οὐσίας* B. text. V. — 11. *κέντρου* ABC. — 12. *σ7άσεως* AB text. C 1ª m. V. — 12. *μορίου*] *τοῦ μυός* Gal.

ιδʹ. Περὶ ἀρτηριοτομίας. Ἐκ τῶν Ἀντύλλου, ἐκ τοῦ βʹ λόγου Τῶν κενουμένων βοηθημάτων.

1 Διαιροῦμεν δὲ ἀρτηρίαν, εἰ μὲν οἷόν τε εἴη, τὴν ὑπὸ τὴν κορυφὴν κατὰ τὸ ἰνίον μεταξὺ τῶν τενόντων· εἰ δὲ μή, τὴν παρὰ τὰ ὄπισθεν τῶν ὤτων, ἢ τὰς ἑκατέρωθεν τῆς κορυφῆς τὰς κατὰ τὸ
138 βρέγμα· συμβάλλουσι δὲ κατὰ τὴν | σΊεφανιαίαν καὶ μέσην ῥαφήν.
2 Αἱ δὲ ἀπὸ τῶν κροτάφων ἐπὶ μέτωπον τείνουσαι διὰ τοῦτο παραιτητέαι, διότι κατὰ μυὸς ἔχουσι τὴν θέσιν· ῥᾴδιον [μὲν] γὰρ ἀκινδύνως διελεῖν αὐτάς, παρακελευομένους τῷ ἀρτηριοτομουμένῳ κινεῖν τὴν γνάθον καὶ συνερείδειν· ἐν τούτῳ γὰρ οἱ μύες οἱ κροταφῖται ὅλοι διὰ ὅλων κινοῦνται προφανῶς· ἔξεσΊιν οὖν ἀπονεύοντας τοῦ κινουμένου μέρους ἐν τῷ κατὰ τὸ μέτωπον ἀτρεμοῦντι ἀκινήτως ποιεῖν τὴν διαίρεσιν, ἀλλὰ οὔτε πολὺ φέρεται καὶ ἀθρόον ἐξ αὐτῶν τὸ αἷμα διὰ τὴν μικρότητα, οὔτε μετὰ πολλοῦ πνεύματος· φλεβώδεις

14. DE LA SAIGNÉE ARTÉRIELLE. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES MOYENS ÉVACUANTS.*

1 Nous divisons, s'il est possible, l'artère qui se trouve à la nuque, derrière le sommet de la tête, entre les grands tendons; si cela ne se peut pas, nous prenons celle qui est placée derrière les oreilles, ou celles qui sont placées des deux côtés du sommet de la tête, au niveau du bregma, lesquelles se réunissent aux sutures coronaire et moyenne.
2 On évitera celles qui se rendent des tempes au front, parce qu'elles sont situées sur un muscle; il est facile en effet de les couper sans danger, en recommandant à celui qui subit l'opération de mouvoir et de serrer la mâchoire; car, pendant cette manœuvre, les muscles temporaux sont manifestement mis en mouvement dans leur totalité; on peut donc, en s'écartant de la partie mobile, faire l'incision, sans être gêné par le mouvement, à la partie du front qui est en repos; mais le sang ne s'écoule ni en grande quantité, ni beaucoup à la fois, à cause de la petitesse du vaisseau, et ce sang n'est pas non plus mélangé de beaucoup d'air, car ces artères se rapprochent de la nature des veines; d'où il résulte donc

Ch. 14; l. 3. *τά*] *τό* M. — 4. *συμβαίνουσι* M. — Ib. *μέσην* om. BV. — 6. [*μέν*] conj. Dübner; om. Codd. — 10. *ἀκινήτῳ* BCMV. — 12. *σμικρότητα* A.

γάρ εἰσιν· οὐ κατὰ πολὺ οὖν φλεϐοτομήσεως ἐντεῦθεν ἀφαίρεσις
διαφορωτέρα. Αἱ δὲ ἔμπροσθεν τῶν ὤτων κατὰ τὴν ἀνάσΊασιν τῶν 3
μασητήρων μυῶν εἰσι μὲν εὔρωσΊοι σφόδρα, ὀλιγάκις δὲ καὶ οὐκ
ἀκινδύνως διαιροῦνται διὰ τὴν γειτνίασιν τῶν μυῶν καὶ διὰ τὴν
ἐπιπλοκὴν τῶν ἐκεῖθεν ὑμένων. Δεῖ δὲ ἐπὶ τῶν κατὰ τὸ ἰνίον ἄχρι 4
ὀσΊέου διακόπΊειν τὴν ἀρτηρίαν, καὶ ξέειν τὸ ὀσΊοῦν, ὥσΊε σάρκα
ἐξ αὐτοῦ ἀναφῦσαι, καὶ μεσολαϐῆσαι τὰ σΊόματα τῆς ἀρτηρίας καὶ
ἀποφράξαι. Βέλτιον δὲ ἐκλαϐεῖν ὥσπερ κιρσὸν, καὶ ὑποϐάλλοντας 5
ἤτοι ἀμφίμηλον, ἤ τι τοιοῦτο, διαιρεῖν μὴ πολλὴν, ἀλλὰ ἐκ μέρους
τὸ ἀγγεῖον, μετὰ δὲ τὴν αὐτάρκη ῥύσιν ἐπισπάσασθαι διὰ τῆς ὑπο-
ϐολῆς τοῦ ἀμφιμήλου κατὰ ποσὸν ἔξω τὸ ἀγ|γεῖον, καὶ τὸ μέσον 139
ἐκκόπΊειν· οὕτω γὰρ οὔτε συμφυήσεται, οὔτε ἐκ τῆς αἱμοῤῥαγίας
ἕπεται κίνδυνος, ἀνατρεχόντων εἰς τὴν σάρκα τῶν σΊομίων.

que la déplétion à cet endroit ne vaudra pas beaucoup mieux qu'une
saignée ordinaire. Les artères placées au-devant des oreilles, à l'ori- 3
gine des muscles masséters, sont très-volumineuses, il est vrai, mais on
ne les incise que rarement, et non sans danger, à cause de la proxi-
mité des muscles et de l'intrication des membranes dans cette région.
On doit inciser les artères de l'occiput en allant jusque sur l'os et en le 4
râclant de manière que la surface de cet os engendre de la chair; on
saisira ensuite les orifices de l'artère [entre les mors d'une pince], et on
les serrera. Il est plus convénable encore d'isoler l'artère comme une 5
varice, en plaçant dessous, soit une sonde à deux boutons, soit quelque
autre instrument analogue, et de faire au vaisseau une incision petite et
partielle; quand il s'est écoulé assez de sang, on attirera légèrement le
vaisseau à l'extérieur, à l'aide de la sonde à deux boutons, qu'on a pla-
cée dessous, et on excisera la partie moyenne; de cette manière, l'artère
ne se réunira pas, et il n'y a pas de danger d'hémorragie, parce qu'il
y a rétraction des orifices du vaisseau dans la chair.

1. φλεϐοτομήσεως e conj. Dübner; φλεϐοτομήσεις Codd. — 5. κατὰ τὸ ἰνίον ex. em. Matth.; κατὰ τινίων ACV; κατατινίων M; κατὰ τηνίων B. — 8. ὑποϐάλλοντες C. — 9. ἀμφίμιλον ABCMV. — 10-11. ὑπερϐολῆς BV. — 11. ἀμφιμύλου ABCV; ἀμφιμίλου M. — Ib. καὶ τὸ μέσον om. BV.

ιε'. Περὶ σικύας. Ἐκ τῶν Γαληνοῦ.

1 Σικύαι προκενωθέντων χρήσιμοι· πληθωρικῶν γὰρ ὑπαρχόν-
2 των, οὐ χρησόμεθα ταύταις. Τῷ δὲ αὐτῷ λόγῳ κἀπὶ τῶν κατὰ τὸν
ἐγκέφαλον καὶ τὰς μήνιγγας φλεγμονῶν οὐ χρησόμεθα σικύαις ἐν
ἀρχῇ τῶν παθῶν, ὥσπερ οὐδὲ ἐπὶ ἄλλου μορίου φλεγμαίνοντος
οὐδενὸς, ἀλλὰ ὅταν μὴ ἐπιῤῥέῃ μηδὲν ἔτι καὶ προκενώσωμεν ὅλον
τὸ σῶμα, χρεία τε γενηθῇ ἢ κινῆσαί τι καὶ μοχλεῦσαι κατὰ τὸ
3 φλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἐπισπάσασθαι. Γινομένων δὲ ἔτι τῶν
παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς
συνεχέσιν αὐτῶν ἐπιβάλλειν τὴν σικύαν ἀντισπάσεως ἕνεκα· κατὰ
τὴν ἀρχὴν δὲ τοῖς ἀποκρουστικοῖς χρηστέον.

15. DES VENTOUSES. — TIRÉ DE GALIEN.

1 Les ventouses sont utiles après qu'on a fait préalablement une déplé-
tion, car, si le corps est surchargé d'humeurs, on n'emploiera pas de
2 ventouses. Pour la même raison, on n'y recourra non plus ni dans les
inflammations du cerveau et des méninges, ni dans les inflammations
d'aucune autre partie, au début de la maladie, mais quand il n'y a plus
aucun afflux, qu'on a pratiqué d'abord une déplétion de tout le corps,
et qu'il est nécessaire de mettre en mouvement et de soutirer quelque
3 matière de la partie enflammée, ou de l'attirer vers l'extérieur. Quand,
au contraire, les maladies sont encore en voie de formation, on n'appli-
quera pas les ventouses aux organes eux-mêmes qui commencent à être
malades, mais aux parties qui communiquent avec eux, afin d'opérer
une révulsion; au début, on emploiera les médicaments répercussifs.

3. τάς om. ABCV Gal[a]. — 5. μή] μήτε Gal. — 6. γένηται Gal., Gal[a]. — Ib. ἤ Gal[a].; om. Codd. Gal. — Ib. τε Gal[a]. — 6-7. ἐκμοχλεῦσαι τῶν κατὰ τὸ φλεγμαῖνον Gal.; ἐκμοχλεῦσαι τὸ καταφλεγμαῖνον Gal[a]. — 7. ἐπιπάσασθαι V; ἀποσπάσασθαι Gal.; ἑλκύσαι *Syn.*, Aët., Paul. — Ib. Γενομένων ABCV Gal[a]. — Ib. δέ τι ABV. — 9. ἐπιβάλλειν] ἐπιθετέον Gal[a]. — Ib. ἕνεκεν Gal., Gal[a].

ιϛʹ. Περὶ σικύας. Ἐκ τῶν Ἀντύλλου, ἐκ τοῦ βʹ λόγου Τῶν κενουμένων βοηθημάτων.

Ἐπὶ μετρίας μὲν ὀδύνης καὶ τῶν παραπλησίων ἐλαφραῖς χρώ- 1
μεθα σικύαις ταῖς χωρὶς ἀμύξεως· ἐπὶ ὧν δὲ τονῶσαι βουλόμεθα,
σφοδραῖς· ταῖς δὲ μετὰ ἀμυχῶν ἐπὶ τῶν διασεσαγμένων μορίων
ὕλῃ καὶ τοῖς ὑπὸ διεφθορυίας ἐνοχλουμένοις ὕλης. Πρὸ δὲ τῆς προσ- 2
βολῆς τῶν σικυῶν δεῖ προμεμαλάχθαι τὴν γασΙέρα, ἢ πάντως
μηδεμίαν ὑπόνοιαν εἶναι περισσωμάτων ἐνοχλούντων, καὶ προησι-
τηκέναι δὲ πάντως, ἢ προϋδροποτηκέναι ἐπὶ κούφῃ τροφῇ καὶ
διῳκημένῃ. Δεῖ δὲ μάλισΙα, εἰ μέλλοιμεν ἀφαιρεῖν αἷμα, τὴν μὲν 3
πρώτην ὀλίγῳ πυρὶ χρῆσθαι· μετὰ δὲ τοῦτο, εἰ ἐρύθημα αὔταρκες
εἴη γεγονὸς ὑπὸ τῆς σικύας καὶ ὄγκος τοῦ μέρους, ἐγχαράσσειν· εἰ
δὲ μὴ, καὶ ἐκ τρίτου προσϐάλλειν, μέχρι ὀγκωθῇ καὶ ἐνερευθὲς

16. DES VENTOUSES. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES MOYENS ÉVACUANTS.*

Lorsqu'il existe une douleur modérée, ou quelque autre affection sem- 1
blable, on emploie des ventouses légèrement appliquées, sans scarifier;
mais, quand on veut tonifier, on applique fortement les ventouses; nous
scarifions, quand il y a des parties obstruées de matières, ou quand les
malades sont incommodés par une humeur corrompue. Avant d'appliquer 2
les ventouses, on doit relâcher le ventre, ou tout au moins avoir des rai-
sons de croire à l'absence de toutes superfluités nuisibles; le malade
doit aussi observer préalablement une abstinence absolue, ou boire de
l'eau après avoir pris des aliments légers et qui se sont bien distribués.
Si l'on veut tirer du sang, on emploiera surtout peu de feu à la première 3
application des ventouses; ensuite, quand la ventouse a donné lieu à une
rougeur et à un gonflement suffisants de la partie, on scarifiera; dans le
cas contraire, on appliquera la ventouse pour la troisième fois, jusqu'à

Ch. 16; l. 2. δέ om. A. — 4. ὑλικαὶ τοῖς BCM. — 4-5. προσϐολῆς ex em. Matth.; προϐολῆς Codd. — 6. ἐνοχλούντων om. BV. — 6-7. προσιτικέναι M marg.: προσετικέναι C 1^a m.; προεισιτικαίναι M; πρόεισί τι καιναί ABV. — 7. προϋδροποτικέναι Codd. — 8. διῳκημένους V. — 9. πυρὶ χρῆσθαι ex em.; περιχρῆσθαι Codd. — 10. ἐγαράσσειν A; ἐγχαράσεσιν BV.

Matth. 139-140.

γένηται τὸ μέρος· εἰ δὲ μηδὲ ὅλως ὄγκος, μηδὲ ἐρύθημα γένοιτο,
140 σπόγγοις πυριᾷν τὰ μέρη μέ|χρι φοινίξεως, κἄπειτα οὕτως ἐγχα-
4 ράσσειν. Εἰ δὲ προκαταμάθοι τις, ὅτι οὐ μέλλει τὰ σώματα ἐρυθραίνεσθαι, οἷον ἐπὶ τῶν καταπιμέλων τὸ ἐπιγάστριον, ἢ ἐπὶ τῶν κατεψυγμένων, καὶ ἐπὶ γυναικῶν τετοκυιῶν, πρὸ τῆς προσβολῆς
5 τῶν σικυῶν καταπλαστέον. Ἐνίοτε δὲ ὄγκος ἰσχυρὸς ἀπὸ τῶν κούφων σικυῶν γίνεται καὶ κατὰ τὴν χρόαν πελιδνότερος, μετά τε τὸ ἐγχαραχθῆναι ἢ βραχύ τι, ἢ οὐδὲν ἀποῤῥεῖ, τοῦ αἵματος παχυτέρου καὶ σαρκωδεστέρου τοῦ προεστῶτος ὄντος· χρὴ οὖν καὶ ἐπὶ τούτοις σπόγγοις μάλιστα πυριᾷν καὶ λεπτόν τε καὶ εὔρουν ἐργάζεσθαι τὸ
6 αἷμα. Φυλάττεσθαι δὲ δεῖ πλησίον τῶν μαστῶν σικύαν τιθέναι· ἐμπίπτοντες γὰρ εἰς αὐτὰς ἐνίοτε καὶ ἐνοιδοῦντες σφόδρα δυσχερῆ
7 τὴν ἄρσιν ποιοῦνται. Μετὰ δὲ τὴν προσβολὴν ἐκβολῆς ἔλαιον κα-
8 ταχέοντες... Προσβάλλειν [δὲ] δεῖ τὰς σικύας μετὰ μετρίου πυρός·

ce que la partie se gonfle et rougisse; s'il y a absence totale de gonflement et de rougeur, on fomentera les parties avec des éponges, jusqu'à
4 ce qu'elles rougissent; on pratiquera ensuite les scarifications. Si on sait d'avance que les parties ne rougiront pas, comme cela a lieu quand les téguments du ventre sont surchargés de graisse, ou chez les malades refroidis, et chez les femmes qui viennent d'accoucher, on mettra des
5 cataplasmes avant d'appliquer les ventouses. Quelquefois les ventouses sèches donnent lieu à un gonflement très-prononcé, mais d'une couleur plus ou moins livide; aussi, lorsqu'on scarifie, il s'écoule peu ou point de sang, parce que la partie de ce sang qui est en avant est plus ou moins épaisse et charnue; dans ce cas, on fomentera donc également avant tout avec des éponges, et on rendra le sang ténu et propre à couler facilement.
6 On évitera d'appliquer des ventouses au voisinage des seins, car ces organes tombent quelquefois dans les ventouses, et rendent fort difficile,
7 en se gonflant, l'enlèvement de ces instruments. Après l'application des
8 ventouses, on versera de l'huile dessus...... On applique les ventouses

4. οἷον] οἶνος ABVM text. — 7. δέ B text.— 8. τι οὐδέν V.— 9. καὶ σαρκωδ. om. BV.— 11. πλησίων AB text.— 12. γάρ Syn., Aët., Paul.; δέ Codd. — Ib. αὐτάς] τάς A; τὰς σικύας Aët. — Ib. ἐνιδ. AC 1ᵃ m. M.— 14. [δέ] ex em.; om. Codd.

εἰ γὰρ σφοδραὶ τεθεῖεν, τῇ τε ἀτμίδι ἐπιφλεγμαίνουσαι καὶ συν-
τείνουσαι τὰ σώματα, οὐδὲν ἄξιον λόγου ἐπισπῶνται. Ὅτι δὲ σχη- 9
ματίζειν οὕτω χρὴ τὰ μέρη, ὥσῖε μὴ ἐφίσῖασθαι ἐπὶ αὐτὰ τὸ αἷμα,
καὶ πα|χυνόμενον κώλυμα γίνεσθαι τῆς ἐκκρίσεως, ἀλλὰ ἀποῤῥεῖν 141
εἰς τὸ κάταντες, γνώριμόν ἐσῖιν. Μετὰ δὲ τὴν ἀφαίρεσιν τῶν σι- 10
κυῶν, εἰ μὲν αὔταρκες εἴη τὸ εἰλημμένον, ἀποθεραπεύσομεν τὰ
μέρη· εἰ δὲ μὴ, πάλιν προσβάλλομεν τὰς σικύας. Ἐπὶ δὲ κεφαλῆς 11
οὐ δεῖ μετὰ πυρὸς πολλοῦ προσβάλλειν τὰς σικύας· σφοδρῶς γὰρ
ἕλξουσι καὶ δυσαπόσπασῖοι γενήσονται, αἱ δὲ σύμμετροι τὸ δέον
ποιήσουσιν. Ὅταν δὲ δυσαπόσπασῖοι ὦσι, σπόγΓοις ἐκ θερμοῦ πε- 12
ριλαμβάνειν χρὴ τὰς σικύας· ἀνίεται γάρ· εἰ δὲ μηδὲ οὕτως ἀνεθείη,
τρυπᾶν χρὴ τὴν σικύαν. — Παρὰ δὲ τὴν ὕλην διαφοραί εἰσι σικυῶν 13
τρεῖς, ὑελαῖ, κεράτιναι, χαλκαῖ· αἱ γὰρ ἀργυραῖ ἄθετοι διὰ τὸ

en n'employant pas trop de feu; car, si on les applique fortement, elles
n'attirent presque rien, attendu que la vapeur augmente l'inflammation
des parties et les met dans un état de tension. C'est un fait générale- 9
ment reçu, qu'il faut mettre les parties dans une position telle, que le
sang ne se fixe pas sur elles, et ne devienne pas, en s'épaississant, un
obstacle à l'écoulement, mais dans une situation où ce liquide s'écoule
vers la partie déclive. Si, après avoir enlevé les ventouses, le sang tiré 10
est en quantité suffisante, on soumettra les parties à un traitement secon-
daire; dans le cas contraire, on applique de nouveau les ventouses. Quand 11
on pose des ventouses à la tête, on n'emploiera pas beaucoup de feu,
car elles tireraient très-fort et seraient difficiles à enlever; tandis que
des ventouses modérément appliquées produiront l'effet désiré. Lorsque 12
les ventouses sont difficiles à enlever, on les entoure d'éponges trem-
pées dans de l'eau chaude, car ainsi les parties se relâchent; et, si, même
avec ces moyens, elles ne se relâchent pas, il faut percer la ventouse.
— Il y a trois espèces de ventouses, eu égard à la matière : les ventouses 13
en verre, en corne et en bronze; car les ventouses en argent doivent être

6. ἀποθεραπεύσαμεν C 1ª m. — 8. πολλοῦ om. A. — Ib. γάρ om. A. — 10. ἐκ θερμοῦ *Syn.*, Aët., Paul.; ἐκ θ. καὶ ψυχροῦ Codd. — 11. ἀνίενται Paul. — Ib. ἀνεθεῖεν *Syn.*, Paul. — 12. Après σικύαν les mss. ont en titre Περὶ τῆς παρὰ τὴν ὕλην καὶ τὸ σχῆμα διαφορᾶς τῶν σικυῶν. B a de plus κεφ. ιθ'.

Matth. 141-142.

σφοδρῶς ἐκπυροῦσθαι, τῶν δὲ χαλκῶν πλείων ἐσ7ὶν ἡ χρῆσις.
14 Χρήσαιτο δὲ ἄν τις καὶ ταῖς ὑελαῖς, ἐπὶ ὧν κατανοεῖν χρὴ τὴν κέ-
νωσιν τοῦ αἵματος, καὶ ταῖς κερατίναις ἐπὶ κεφαλῆς, ὅταν ἐπινοή-
σωμεν δυσαποσπάσ7ους ἔσεσθαι τὰς χαλκᾶς, καὶ ἐπὶ τῶν δειλῶν
15 καταπλησσομένων πρὸς τὴν φλόγα. Παρὰ δὲ τὸ σχῆμα ἔσ7ι δια-
142 φορὰ μά|λισ7α ἐν ταῖς χαλκαῖς· εἰσὶ δὲ αἱ μὲν ὑψηλότεραι τῶν
ταπεινοτέρων ἑλκτικώτεραι· αἱ δὲ ταπεινότεραι ἐπὶ κεφαλῆς ἁρμο-
διώτεραι διὰ τὸ μὴ σφοδρῶς ἐπισπᾶσθαι, καὶ αἱ μὲν ἐπίπεδα ἔχου-
σαι τὰ χείλη χρησιμώτεραι κατὰ τῶν πλάτος ἐχόντων σωμάτων
τίθεσθαι· αἱ δὲ σεσιμωμέναι τὰ χείλη ἐπὶ τῶν κυρτῶν καὶ ἰσχνο-
κώλων· αἱ δὲ ὀξύσ7ομοι ἐπὶ ὧν κατασχασμῷ μὲν οὐ χρώμεθα,
κούφας δὲ προσάγοντες βιαίως ἑλκύσαι βουλόμεθα, συντελούσης
τῆς ὀξύτητος τῶν χειλῶν πρὸς τὸν βίαιον ἀποσπασμόν· ταῖς δὲ
16 ἀμβλυοχείλεσιν ἐπί τε τῶν ἄλλων καὶ μάλισ7α ἐπὶ κεφαλῆς. Ἡ δὲ

rejetées, attendu qu'elles développent une chaleur démesurée; l'usage des
14 ventouses en bronze est le plus répandu. On peut employer les ventouses
en verre chez les malades où il faut observer l'écoulement du sang, et
les ventouses en corne pour la tête, lorsqu'on a constaté que les ven-
touses en bronze s'enlèvent difficilement, ou encore chez les malades
15 peureux qui s'effraient à la vue de la flamme. C'est surtout pour les ven-
touses en bronze qu'il existe des différences dans la forme : les ventouses
hautes tirent plus fortement que celles qui sont basses; les ventouses
basses s'appliquent mieux à la tête, parce qu'elles ne tirent pas très-
fort; les ventouses à bords plats conviennent mieux pour les parties
étendues en largeur, celles à bords concaves pour les parties à surface
courbe ou étroites, celles à bords minces quand on veut non pas scarifier,
mais appliquer des ventouses sèches et tirer fortement, car l'exiguïté des
bords contribue à la force de l'attraction; enfin on applique les ventouses
à bords épais principalement à la tête, quoiqu'on les emploie aussi sur
16 d'autres parties. Le tirage des ventouses en bronze se fait à l'aide du feu;

2. δέ om. B. — Ib. ταῖς ὑάλαις M 1ª m.; τὰς ὑέλας AB; τὰς ὕλας V. — 4. δειλῶν ex em. Matth.; δήλων Codd. — 8. ἀπισπᾶσθαι A. — 9. τῶν] τό ABC 1ª m. MV. — Ib. πλάτινοσ7ος (sic) A 1ª. m. — 10. σεσιμωμέναι ex em.; σεσημωμέναι BC 2ª m. V; ἐσιμωμέναι M; ἐσημωμέναι AC. — 10-11. ἰσχνοκώλων ex em. Matth.; [illegible]όλων Codd. — 12. κοῦφα V.

ὁλκὴ τῶν μὲν χαλκῶν σικυῶν διὰ πυρὸς γίνεται· ὁμοίως δὲ καὶ τῶν ὑελῶν· ἡ δὲ τῶν κερατίνων ἄνευ πυρός· τέτρηνται γὰρ εἰς τὸ ἄκρον, καὶ προσβαλλόμεναι ἐκμυζόμεναι σφοδρῶς διὰ τοῦ τρήματος ἕλκουσιν· ἐπιλαμβάνεται δὲ εὐθὺς τὸ τρῆμα δακτύλῳ, ἢ κηρῷ.

ιζ'. Περὶ σικυῶν. Ἐκ τῶν Ἡροδότου, ἐκ τῶν Περὶ κενουμένων βοηθημάτων.

Σικύα δὲ δύναται κεφαλῆς ὕλην κενῶσαι, ὀδύνην λῦσαι, φλεγμο- 1
νὴν μειῶσαι, ἐμπνευματώ|σεις διαφορῆσαι, ὀρέξεις ἀνακαλέσα- 143
σθαι, ἄτονον καὶ λελυμένον στόμαχον τονῶσαι, λειποθυμίας ἀπαλλάξαι, τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν μεταστῆσαι, ῥεύματα ξηρᾶναι, αἱμοῤῥαγίας ἐπισχεῖν, ἐμμήνων ὑπομνῆσαι περιόδους, φθοροποιοὺς δυνάμεις ἑλκύσαι, ῥίγη παῦσαι, περιόδους λῦσαι, ἀπὸ

il en est de même pour les ventouses en verre; mais celui des ventouses en corne se fait sans feu; car elles sont percées à leur partie supérieure, et, en les appliquant, on aspire fortement à travers l'ouverture pour les faire tirer; puis on bouche immédiatement cette ouverture avec le doigt, ou avec de la cire.

17. DES VENTOUSES. — TIRÉ D'HÉRODOTE, DU TRAITÉ *SUR LES MOYENS DE DÉPLÉTION*.

Les ventouses peuvent évacuer les matières de la tête, supprimer la 1
douleur, diminuer l'inflammation, dissiper les accumulations de gaz, rappeler l'appétit, renforcer l'orifice de l'estomac, quand il est relâché, ou affaibli, faire cesser la défaillance, transporter les matières de la profondeur du corps vers la surface, dessécher les fluxions, arrêter les écoulements de sang, rappeler le retour des règles, attirer les substances délétères, chasser les frissons, résoudre les maladies périodiques, réveiller

Ch. 17; l. 6. *δέ* om. B. — Ib. *κεφαλῆς*] *τήν* Gal[a]. — 7-8. *ἀνακτήσασθαι* Gal[a]. — 8. *τονώδη ποιήσασθαι* Gal[a]. — 9. *μεταστῆναι* C; *μεταφέρειν* Gal[a]. — 10. *καὶ ξηρᾶναι καί* Gal[a]. — Ib. *καὶ ἐμμήνων* Gal[a]. — 11. *σφοροποιούς*! B text.; *φοδροποιούς*! A. — Ib. *περιόδους λῦσαι* om. BV.

Matth. 143.

καταφορᾶς διεγεῖραι, ὕπνους ἐργάσασθαι, βάρη κουφίσαι· αὗται δυνάμεις σικυῶν καὶ ὅσαι ταύταις παραπλήσιαι.

ιη'. Περὶ κατασχασμοῦ. Ἐκ τῶν Ἀντύλλου, ἐκ τῶν Περὶ κενουμένων βοηθημάτων.

1 Ἐγχαράσσομεν μέρη τοῦ σώματος τὰ φλεγμαίνοντα, καὶ τὰ
ἐσκληρυμμένα, ἢ διατεταμένα καὶ ἐπωδύνως ἔχοντα, ἢ ῥευματι-
σθέντα, ἤδη στάσιν εἰληφότος τοῦ ῥεύματος, ἢ δριμείας ὕλης παρα-
2 κειμένης. Δεῖ δὲ, εἰ δυνατὸν εἴη, ἢ λούσαντας οὕτως ἀποσχάζειν·
εἰ δὲ μὴ, καταιονᾷν ὕδατι θερμῷ μέχρι φοινίξεως, ἢ πυριᾷν διὰ
σπόγγων, ἢ παραβάλλειν ἡλίῳ ἢ πυρὶ [τὸ] ἀποσχασθησόμενον
3 μέρος. Ἐπιβλητέον δὲ τὰς ἀμυχὰς ἐπὶ μὲν τῶν σκελῶν καὶ ἐπιγα-
στρίου κατὰ τὴν εὐθυωρίαν, καὶ ἐπὶ θώρακος δὲ καὶ μεταφρένου καὶ
τραχήλου παραπλησίως· ἐπὶ κεφαλῆς δὲ κατὰ τὴν τῶν τριχῶν

les malades plongés dans le cataphora, produire du sommeil, soulager la lourdeur : tels sont les effets des ventouses, auxquels il faut ajouter tous ceux qui leur sont analogues.

18. DE LA SCARIFICATION. — TIRÉ D'ANTYLLUS, DU LIVRE *SUR LES MOYENS DE DÉPLÉTION*.

1 Nous scarifions les parties qui sont enflammées, endurcies, distendues
et frappées de douleurs, ou qui sont le siége de fluxions, lorsque la fluxion
2 a déjà trouvé un point d'arrêt, ou lorsqu'il y existe une matière âcre. On
prescrira, s'il est possible, un bain avant la scarification; si cela ne se
peut pas, des affusions d'eau chaude, jusqu'à ce que la partie rougisse;
ou bien on fomentera avec des éponges, ou on exposera au soleil, ou
3 au feu la partie qu'on va scarifier. Les scarifications seront faites aux
jambes et au ventre, ainsi qu'à la poitrine, au dos et au cou, en ligne
droite, à la tête, selon la direction des cheveux, et au front, transversa-

1. ὕπνον M. — Ib. βάρη] καὶ ἔμμηνα Gal[a]. — Ch. 18; l. 3. Ἐγχαράξομεν Gal[a]. — Ib. σώμ. ἤτοι φλεγμ. Gal[a]. — 3-4. καὶ τὰ ἐσκλ.] ἢ σκιῤῥούμενα Gal[a]. — 4. τεταμένα Gal[a]. — Ib. καί] ἢ Gal[a]. — 5. ἤδη Gal[a].; καὶ ἤδη BCMV; καὶ ἢ A. — Ib. εἰληφότος Gal[a].; εἰληφότος ἢ πεποιηκότος Codd. — Ib. ῥευματισμοῦ Gal[a]. — 8. [τὸ] ἀποσχ. ex em.; ἀποσχασθήσομε (lac.) B; ἀποσχασθήσομεν ACMV; ἀποσχάσομεν M marg. — 9. Ἐμβλητέον CV.

θέσιν, ἐπὶ δὲ | μετώπου πλαγίας. Ἶσαι δὲ ἔσ1ωσαν ἀλλήλαις κατὰ 4
τὸ μέγεθος αἱ ἀμυχαὶ, καὶ ἴσα ἔσ1ω τὰ μεταξὺ αὐτῶν διασ1ήματα. 144
Καὶ ἡ ἀρχὴ γενέσθω τῆς ἐγχαράξεως ἐκ τῶν κάτω μερῶν· οὕτω 5
γὰρ εἰς τοὺς ἐπὶ πόδας τόπους ὑποῤῥέον τὸ αἷμα οὐκ ἐπισκοτίσει
τῷ μέλλοντι ἑξῆς ἐγχαραχθήσεσθαι, ἥ τε θέσις τῶν ἀμυχῶν γι-
νέσθω κατὰ παραλλήλους σ1ίχους. Γινέσθω δὲ μὴ κατὰ πληγὴν ἡ 6
ἐγχάραξις, ἀλλὰ κατὰ συρμόν· ἀνώδυνος γὰρ οὕτω γενήσεται ἡ ἐγ-
χάραξις.

ιθʹ. Περὶ ἐγχαράξεως. Ἐκ τῶν Ἀπολλωνίου.

Καταμαθὼν, ὅτι εἰς τόνωσιν καὶ τὸ ὁπωσδήποτε παραφυλάσσειν 1
ἔχειν ἡ πλείσ1η γίνεται συνέργεια ἐκ τοῦ αἵματος, ὡς μὲν ἐπίπαν
πλεονάζοντος, ἔσ1ι δὲ ὅτε κατὰ τὴν ποιότητα ἐπὶ τὸ χεῖρον τρε-
πομένου, ἁρμόζειν ὑπέλαβον, πλεονάζοντος μὲν τὴν ἐλάτ1ωσιν,
διεφθορότος δὲ τὴν ἀλλοίωσιν. Τὸ μὲν οὖν φλέβας διαιρεῖν πολλά- 2
κις τοῦ ἔτους οὐκ ἐπιτήδειον ἡγούμην, ἐννοῶν, ὅτι ἅμα τῷ αἵματι

lement. Les incisions auront toutes la même grandeur et seront placées 4
à une distance égale les unes des autres. On commencera la scarification 5
sur les parties inférieures; car, de cette manière, le sang, en s'écoulant
en bas, ne cachera pas la partie qu'on va scarifier; on disposera aussi
les mouchetures sur des lignes parallèles. La scarification doit se faire, 6
non en enfonçant, mais en tirant horizontalement la lame devant soi;
car, de cette manière, l'opération sera exempte de douleur.

19. DE LA SCARIFICATION. — TIRÉ D'APOLLONIUS.

Sachant, d'une part, que c'est le sang qui exerce la plus grande in- 1
fluence sur la tonicité et aussi pour préserver d'un état [morbide] quel-
conque, et, d'une autre, que ce fluide est ordinairement en quantité
surabondante, et quelquefois détérioré sous le rapport de la qualité,
je jugeai qu'il fallait opérer une diminution en cas de surabondance,
et un changement en cas de corruption. Je pensai cependant qu'il ne 2
conviendrait pas d'ouvrir la veine plusieurs fois par an, car je savais

2. ἀμύξαι Codd. — 6. κατὰ τὴν πλ. ἔχειν τὸ αἷμα ἡ C 2ª m. — 12. τήν om. BV. — Ch. 19; l. 9-10. παραφυλακὴν A. — 13. διελεῖν Galª.

Matth. 144-145.

ϖολὺ συνεκκρίνεται τὸ ζωτικὸν ϖνεῦμα, τούτου δὲ ἀναλισκομένου,
145 ϖυκνότερον ὅ τε ὅλος ὄγκος κα|ταψύχεται, καὶ ϖάντα τὰ Φυσικὰ
3 ἔργα χείρω γίνεται. Ἐδοκίμασα οὖν ἀπὸ τῶν ἀκυροτάτων μερῶν,
οἷον ἀπὸ τῶν σκελῶν, κατὰ ἐγχάραξιν ϖοιεῖσθαι τὴν ἀφαίρεσιν,
4 μετροῦντας τῇ τε ἕξει τοῦ ἀνθρώπου καὶ τῇ χρείᾳ τὸ ϖλῆθος. Ἄρι-
στον δὲ τὸ βοήθημα εἴς τε τήρησιν τῆς ὑγείας καὶ εἰς ἀνάκτησιν,
5 ὁπότε ϖαρατραπείη ὑπὸ τοιῶνδέ τινων αἰτιῶν. Μηδεὶς μέντοι ὑπο-
λάβῃ με ἐκβάλλειν τὴν Φλεβοτομίαν· ἐγὼ γὰρ ἐκείνην μὲν ἐπὶ τῶν
μεγίστων καὶ κινδυνωδεστάτων ϖαθῶν ἀπολείπω, ἐπὶ ὧν ϖολὺ καὶ
ἀθροῦν αἷμα ἐκχέαι δεῖ· ϖρὸς γὰρ τὰς σφοδρότητας τῶν ϖαθῶν αἱ
ἀθροότητες τῶν κενώσεών εἰσι κατάλληλοι· ϖληθώραν δὲ σύμμε-
τρον μέλλουσάν τι ϖοιήσειν κακὸν καὶ ἤδη ϖαραπτομένην τῆς εἰς
τὸ νοσῶδες ϖαρατροπῆς ἐπὶ ταῖς ἀμυχαῖς ταραχθεῖσα κνήμη καὶ

qu'avec le sang il s'échappe une grande quantité d'air vital; que, par
l'épuisement de cet air, tout le corps se refroidit plus aisément, et que
3 toutes les fonctions naturelles s'accomplissent alors moins bien. Je m'avi-
sai donc de faire la déplétion à l'aide d'une scarification, aux parties les
moins importantes, comme, par exemple, aux jambes, en proportion-
nant la quantité du sang évacué à la complexion et au besoin de l'indi-
4 vidu. C'est là un excellent moyen pour conserver la santé, ou pour la
5 rétablir, quand elle a été déviée par quelque cause de ce genre. Que
personne cependant n'aille croire que je rejette la saignée; mais je la
réserve pour les maladies les plus graves et les plus périlleuses, où il
faut évacuer beaucoup des humeurs à la fois, car c'est contre les maladies
violentes que conviennent les déplétions qui enlèvent du premier coup
une grande quantité de sang; mais, quand il s'agit d'une pléthore mo-
dérée qui va produire quelque effet nuisible ou qui a déjà commencé à
faire tomber dans quelque état morbide, des scarifications pratiquées à
la jambe font disparaître cette prédisposition, en enlevant sans incon-

1. ϖολλῷ Gal[a]. — 2. ψυχικά Gal[a]. — 3. χεῖρον Gal[a]. — Ib. ἀκυροτέρων Gal[a]. — 6. τήριον C; σωτήριον 2[a] m. — 7. ϖαρατραπείη *Syn.*, Aët.; ϖαρατραπῇ V; ϖαρατραπῇ ἡ ACM; ϖαρατραπῇ ἡ B. — Ib. αἰτίων M. — 8. με om. C. — Ib. μέν] μή M. marg. — 11. ἀθροότητες ex em. Matth.; ἀθρότητες Codd. — Ib. κατάλληλα A 1[a] m. — 11-12. σύμμετρον om. BV.

ἐκδοῦσα ἄλυπον καὶ ὅσην θέλομεν τὴν ἐπίδοσιν τοῦ αἵματος ἐπι-
λύεται χωρὶς ἰσχυρᾶς τῆς περὶ τὸν ὄγκον συγκινήσεως. Πολλάκις 6
μέντοι πλεῖον τοῦ ἱκανοῦ συνάγεται, ὅθεν οὐκ ὀκνητέον, ὁσάκις ἂν
πλήθους σημεῖα προσπέσῃ, συναιρεῖν αὐτὸ τῷ δεδηλωμένῳ τρόπῳ·
συμφέρει γὰρ μὴ σφριγᾶν, μηδὲ διατείνεσθαι τὰ σπλάγχνα καὶ
τὰ ἐν ὅλῳ τῷ σώματι ἀγγεῖα, μᾶλλον δὲ ἐν ποσῷ τινι εἶναι χα-
λάσματι, ἵνα τὸ φυσικὸν εὐοδῇ πνεῦμα.

κ'. | Ὅτι ἡ ἐγχάραξις τὰς μὴ καλῶς καθαιρομένας ὠφελεῖ καὶ ἄλλα 146
πολλὰ πάθη.

Ταῖς γυναιξὶν, αἷς τὰ περὶ τὴν κάθαρσιν μὴ διευτύχηται, θαυ- 1
μασίως ἡ ἐγχάραξις βοηθεῖ· τὸ γὰρ ἐκεῖ ἐνδέον ταύτῃ κενοῦται,
δεῖ δὲ τὴν προθεσμίαν αὐτῆς περιμένειν, καὶ τότε, ἐὰν μηδὲν, ἢ
ὀλίγον ἀπαυτοματίζῃ, ἐπὶ ὅσον ἡ χρεία παρακαλεῖ, τῇ διὰ τῆς
ἀφαιρέσεως χρῆσθαι βοηθείᾳ. Τισὶ μέντοι καὶ συνήργησε γυναιξὶν 2

vénient et dans la proportion qu'on désire la surabondance du sang;
de cette opération il ne résultera pas même un trouble notable dans
le corps. Souvent il s'accumule plus de sang qu'il n'en faut; on ne 6
doit donc pas, toutes les fois qu'il se présentera des signes de plé-
thore, négliger de détruire cet état de la manière indiquée plus haut;
car les viscères, aussi bien que les vaisseaux qui se trouvent dans tout
le corps, ne doivent pas être dans un état de turgescence ou de disten-
sion; ils doivent, au contraire, se trouver plutôt dans un relâchement
modéré, afin que le pneuma naturel chemine facilement.

20. QUE LA SCARIFICATION CONVIENT AUX FEMMES MAL RÉGLÉES, ET DANS PLUSIEURS AUTRES AFFECTIONS.

La scarification soulage admirablement les femmes mal réglées; car 1
le sang que les règles n'enlèvent pas, cette opération l'évacue; mais
on doit attendre l'époque des règles, et alors, quand le sang ne paraît
pas, ou paraît peu, on appliquera le traitement déplétif dans la mesure
que le cas exige. Chez quelques femmes, ce traitement contribue aussi 2

1. *ἐπίδησιν* ABC 1ª m. MV. — 3. *οὐνητέον* ABC. — 4. *συνερεῖν* A; *συναναιρεῖν* B corr. V. — 6. *πολλῷ* C. — Ch. 20; l. 10-11. *μηδενὶ ὀλίγον* ABC 1ª m. V. — 11. *ἐπαυτοματίζει* A. — 12. *χρῆσθαι*] *χρεία* C.

Matth. 146-147.

εἰς τὸ ἔθος τῆς ἐμμήνου ἀποκαταστῆναι καθάρσεως· ἡ γὰρ ἐπὶ τὰ
3 κάτω μέρη συνεχῶς ἀγωγὴ τοῦ αἵματος ῥοπὴν ἐμποιεῖ αὐτῷ. Ἐγὼ
μέντοι καὶ τὰς λίαν πρεσβυτέρας, αἷς ἐκ πολλοῦ οὐδὲν ἔμμηνον
φέρεται, ὅταν ἐν σωματικῷ τινι γένωνται ἐνοχλήματι, διὰ τῆς
τοιαύτης κουφίζω θεραπείας· ἴδιος γὰρ γυναικῶν αὕτη πολὺ τὸ
δυναμικὸν ἔχει, ὅτι μιμεῖται τὸν τῆς φυσικῆς ἐκκρίσεως τρόπον.
4 Κενοῦν δὲ εἴωθα ἐνίοτε μὲν διὰ σμιλίου, ἐνίοτε δὲ διὰ βδελλῶν
5 προσβολῆς. Καὶ ὀφθαλμοὺς δέ τις ὑπὸ ῥεύματος ἀπαύστου ἐκ πολ-
λοῦ χρόνου διαλελυμασμένος ἰάθη διὰ τῆς τοιαύτης βοηθείας, χρη-
σαμένων ἡμῶν καὶ τῇ ἄλλῃ τοπικῇ περὶ τοὺς ὀφθαλμοὺς καὶ ὅλου
6 τοῦ σώματος ἐπιμελείᾳ. Καὶ πρεσβύτης τις πρῶτον μὲν ἐκ διαλειμ-
μάτων μακρῶν, εἶτα δὲ καὶ βραχέων, ὑπὸ πνιγώδους περὶ τὸν πνεύ-
7 147 μονα στενοχωρίας ἐνοχλούμενος ἐθεραπεύθη τῷ | ὁμοίῳ τρόπῳ. Κε-
νοῦν δὲ δεῖ ὅσον ἐμφαίνεται καλῶς ἔχειν, καὶ φυλακτέον ψύξιν,

à rappeler l'habitude de l'écoulement mensuel; car l'appel continuel du
sang vers les parties inférieures lui imprime une tendance à couler
3 dans cette direction. Cependant je soulage aussi par ce traitement les
femmes qui sont déjà parvenues à un âge très-avancé, et chez lesquelles
la menstruation a cessé depuis longtemps, quand elles éprouvent quelque
incommodité corporelle; car ce moyen est spécialement d'une grande
efficacité chez les femmes, attendu qu'il imite l'évacuation naturelle.
4 J'ai l'habitude de faire la déplétion quelquefois à l'aide d'un petit cou-
5 teau, et d'autres fois en appliquant des sangsues. Un individu, dont les
yeux étaient depuis longtemps gravement lésés par une fluxion qui ne
tarissait pas, fut guéri à l'aide de ce moyen de traitement, auquel fut
joint l'autre traitement, c'est-à-dire les topiques pour les yeux et le ré-
6 gime de tout le corps. Un vieillard, incommodé par un resserrement du
poumon accompagné de suffocation à des intervalles d'abord éloignés,
7 puis plus rapprochés, fut guéri de la même manière. On continue à
tirer du sang aussi longtemps que l'évacuation produit un effet évidem-

4. σώματι καί τινι C. — 5. αὐτή A. B; διαλελοιμασμένους M. — 12. βραχέων ex em. Matth.; βραχέως Codd. — 14. φυλακτυκτέον (sic) A.
— 9. διαλελυμασμένος ex em. Matth.; διαλελοιμασμένος ACV; διαλελοισμένος

τροφήν τε σύμμετρον ἐπὶ τρεῖς ἢ τέσσαρας ἡμέρας διδόναι. Καὶ 8
λοιμοῦ δὲ κατασχόντος ἰσχυροῦ τὴν Ἀσίαν, κατὰ ὃν πολλοὶ διεφθά-
ρησαν, ὑποπεσὼν κἀγὼ τῇ νόσῳ, κατὰ τὴν δευτέραν ἡμέραν ἀνέ-
σεως γενομένης, κατακνισθεὶς τὸ σκέλος ὡς δύο λίτρας αἵματος
ἀπέκρουσα, καὶ διὰ τοῦτο τὸν κίνδυνον ἀπέφυγον. Πολλοὶ οὖν καὶ 9
ἄλλοι χρησάμενοι τῷ βοηθήματι διεσώθησαν· πλήθους γὰρ ἦν
σημεῖα, καὶ ἐσώζοντο μάλιστα οἱ δαψιλῶς τὸ αἷμα κενοῦντες. Ἔτι 10
τοίνυν κεφαλαλγίας συμμέτρους ἀναιρεῖ, παρισθμίων φλεγμονὰς,
περὶ πλευρὸν ὀδύνας προσκαίρους· τὰ δὲ χρονιώτερα τῶν τοιούτων
συμπτωμάτων ταῖς τοπικαῖς ἐγχαράξεσι διαλύομεν. Καὶ δὴ καὶ τοὺς 11
ἐκ νόσων ἀναλαμβάνοντας καὶ δυσχερῶς εἰς τὴν κατὰ φύσιν ἑαυτοῖς
ἕξιν ἀφικνουμένους οὐδὲν οὕτως ἐπὶ τὴν προσήκουσαν εὐτροφίαν
ἄγει, ὡς ἡ διὰ ἐγχαράξεως ἀποκένωσις τοῦ αἵματος.

ment salutaire; on évitera le refroidissement et on donnera pendant trois
ou quatre jours des aliments en quantité modérée. Une peste grave, qui 8
fit mourir beaucoup de monde, ayant envahi l'Asie, je fus attaqué moi-
même de la maladie; je profitai d'une rémission qui se présenta le deuxième
jour pour me scarifier la jambe, de manière à enlever environ deux livres
de sang : ce fut là ce qui me fit échapper au danger. Plusieurs autres 9
malades furent également sauvés en employant le même moyen, car il y
avait des signes de pléthore, et ce furent surtout les malades auxquels on
tira abondamment du sang qui réchappèrent. La scarification [aux jambes] 10
guérit encore les douleurs de tête de gravité moyenne, les inflammations
des amygdales et les fortes douleurs de côté; mais, quand ces accidents
ont déjà duré quelque temps, on les fait disparaître à l'aide des scarifi-
cations locales. Enfin, rien, en vérité, ne rend aussi facilement un em- 11
bonpoint convenable aux convalescents qui reprennent difficilement leur
complexion naturelle, que l'évacuation du sang à l'aide de la scarifi-
cation.

2. Ἀσίαν] ἴασιν! V. — 6. χρησάμενοι τὸ βοήθημα ABM 3ª m. V; χρησάμενοι M. 2ª m. — 8. παρίσθμιον ABC 1ª m. M 1ª m. V. — 9. πλευρῶν Codd. — Ib. δέ om. B. — 11. δυσκαίρως C. — 12. ἀφικνουμένων ABV; ἀφικνουμένην C. — Ib. εὐστροφίαν ABC 1ª m. MV. — 13. ἀποκενώσεως A 1ª m.

κα'. Περὶ βδελλῶν. Ἐκ τῶν Ἀντύλλου, ἐκ τοῦ Περὶ κενουμένων βοηθημάτων.

1 Θηρῶντές τινες τὰς βδέλλας κατακλείουσι, καὶ ταῖς αὐταῖς ἐπὶ
148 πολλοῖς χρῶνται· αὖ|ται γὰρ ἐκ μελετῆς οὖσαι ῥᾳδίως ἅπΊονται
2 τῆς σαρκὸς, τῶν ἄλλων ἐνίοτε ξενιζομένων. Δεῖ δὲ τὰς μὲν ἐκ τῆς
πείρας προσάγειν εὐθὺς, τὰς δὲ νῦν συνειλεγμένας φυλάτΊειν ἡμέραν,
αἷμα ὀλίγον εἰς διατροφὴν ἐμβάλλοντας· οὕτω γὰρ διαπνευσθήσεται
3 τὸ ἰῶδες αὐτῶν. Ἐπὶ δὲ τῆς χρείας τὸ βδελλιζόμενον μέρος προεκνι-
τρούσθω καὶ καταχριέσθω αἵματι ζώου τινὸς, ἢ ἀργίλλῳ ὑγρᾷ, ἢ
4 πυριάσθω, ἢ κνάσθω τοῖς ὄνυξιν· ἑτοιμότερον γὰρ ἅψονται. Δεῖ
δὲ ἐμβάλλειν αὐτὰς εἰς ὕδωρ χλιαρὸν καὶ καθαρὸν εἰς ἀγγεῖον εὐρὺ
καὶ μέγα, ὅπως διακινηθεῖσαι τὸν ἰὸν ἀποθῶνται, ἔπειτα σπόγγῳ

21. DES SANGSUES. — TIRÉ D'ANTYLLUS, DU LIVRE *SUR LES MOYENS DE DÉPLÉTION.*

1 Quelques personnes vont à la pêche des sangsues et les mettent en
réserve pour qu'elles servent plusieurs fois; car ces sangsues prennent
facilement, attendu qu'elles sont exercées, tandis que les autres sont
2 quelquefois désorientées. On appliquera immédiatement les sangsues
exercées, mais on conservera pendant un jour celles qu'on vient de pê-
cher, en leur jetant un peu de sang pour se nourrir en attendant; de
3 cette manière leur venin s'évaporera. Quand on veut s'en servir, on
frottera préalablement la partie sur laquelle on veut les appliquer avec
de la soude brute, et on l'enduira du sang de quelque animal, ou de
terre glaise humide, ou bien on fera des fomentations, ou on la grattera
avec les ongles; grâce à ces préparatifs, elles prendront plus prompte-
4 ment. On doit les jeter dans un vase grand et large, contenant de l'eau
pure et tiède, afin qu'elles perdent leur venin par le mouvement; on les

Ch. 21; l. 1-2. ἐπὶ πολλοῖς αὐταῖς χρῶνται Gal[a].; τ. αὐτ. ἐπὶ πολὺν χρόντε A; τ. αὐτ. ἐπὶ πολὺν χρόνον τε BC 1[a] m. MV; πολλῶν χρῶνται M marg. — 4. δὲ νέον εἰλημμένας Gal[a]. — Ib. ἡμέραις BCMV; ἡμέραν μίαν C 2[a] m. Gal[a]. — 5. διαπιεσθήσεται Gal[a]. — 6. βδελλισθησόμενον Gal[a]. — 7. ὑγρῷ Codd. — 9. ἐμβαλεῖν Gal[a]. — Ib. καθαρὸν ἀγΓεῖον Gal[a].

περιλαβόντες αὐτὰς καὶ τὸ γλοιῶδες ἀποκαθάραντες διὰ τῶν χειρῶν
προσάξομεν· μετὰ δὲ τὸ ἐμφῦναι πάσας ἔλαιον χλιαρὸν ἐπιχέομεν
τῷ μορίῳ, ὥστε μὴ ψυγῆναι. Ἐπὶ δὲ χειρῶν ἢ ποδῶν αὐτὸ τὸ μέρος 5
ἐμβάλλειν χρὴ τῷ ὕδατι, ἔνθα εἰσὶν αἱ βδέλλαι. Εἰ δὲ, διαπληρω- 6
θεισῶν αὐτῶν, ἔτι χρῆσθαι δέοι, ἢ ὀλίγαι παρεῖεν αἱ βδέλλαι, ἢ
ὀλίγαι ἅψαιντο, μετὰ τὸ πληρωθῆναι ψαλίζειν χρὴ τὰς οὐρὰς αὐ-
τῶν· ἐκχεομένου γὰρ τοῦ αἵματος, ἕλκουσαι οὐ παύονται, μέχρις
ἂν ἡμεῖς ἅλας, ἢ νίτρον, ἢ σποδὸν προσπάσωμεν αὐτῶν τοῖς στό-
μασιν. Μετὰ δὲ τὸ ἀποπεσεῖν, εἰ μὲν ὁ τόπος δέχοιτο σικύαν, τὸ 7
ἰῶδες διὰ προσθέσεως αὐτῆς ἀφελκυστέον, σφοδρῶς κολλῶντας καὶ
ταχέως ἀποσπῶντας· εἰ δὲ μὴ, πυριατέον σπόγγοις. | Τὰ δὲ στό- 8 149
μια εἰ μὲν ὑποδακρύοι, μάννῃ, ἢ κυμίνῳ, ἢ ἀλεύρῳ ἐπιπαστέον,

saisit ensuite avec une éponge, on essuie ce qu'elles ont de visqueux et
on les applique avec les mains; quand toutes ont pris, on verse de l'huile
tiède sur la partie, afin qu'elle ne se refroidisse pas. S'il s'agit des bras 5
ou des jambes, on place la partie dans l'eau où se trouvent les sangsues.
Si l'on est obligé de les employer encore quand elles se sont déjà rem- 6
plies, ou si on n'en a qu'un petit nombre, ou si quelques-unes seulement
ont pris, on leur coupera la queue avec des ciseaux dès qu'elles seront
pleines; de cette manière, le sang s'écoule et elles ne cessent de tirer,
jusqu'à ce qu'on leur saupoudre le suçoir avec du sel, de la soude brute,
ou de la cendre. Quand elles sont tombées, on doit, si la partie se prête 7
à l'application d'une ventouse, attirer le venin à l'aide de cet instrument,
en l'appliquant fortement et en l'enlevant rapidement; mais, si cela ne se
peut pas, on fera des fomentations avec des éponges. Si les piqûres faites 8
par les sangsues laissent suinter un peu de sang, on les saupoudrera
de poussière d'encens, de cumin, ou de farine, et ensuite on les enve-

1. γλινῶδες ABV; λιγνυῶδες Aét. — 2. προσέξομεν Gal[a]. — 4. ἐμβαλεῖν Gal[a].; ἐκβάλλειν V. — 5. χρήσασθαι ACM. — Ib. παριέναι Codd. — 6. μετὰ τὸ πληρ. om. CM text. — 8. προσπάσσωμεν CMV Gal[a]. — 10. προσθέσεως ex em.; προθέσεως ABV; ἀποθέσεως CM. — Ib. ἐφελκυστέον V; ἐξέλκειν Gal[a]. — Ib. κολλῶντες A 1[a] m. — 11. σπόγγοις] σώματος C 1[a] m. — 11-12. σώματα Gal[a].; σώματα καὶ στόμια Codd. — 12. ὑποδακρύοι ex em. Matth.; ὑποδακρύει Codd. Gal. — Ib. μάννῃ ex em. Matth.; μάννει Codd.

Matth. 149.

9 ἔπειτα ἐρίῳ ἐλαιοϐραχεῖ κατειλητέον. Εἰ δὲ αἱμοῤῥαγοῖ, ὀθόνια ἐπιϐλητέον, ἢ ἀράχνια ἐξ ὄξους, ἢ κηκῖδα κεκαυμένην, ἢ σπόγγον καινὸν ἀποϐαφέντα εἰς ϖίσσαν ὑγρὰν καὶ καυθέντα, ἔπειτα χαρτίον
10 ὄξει βεϐρεγμένον ἐπιθετέον καὶ ἐπιδετέον. Ταῦτα δὲ ϖοιεῖν ἐπὶ τῶν μέσων· ἐπὶ γὰρ τῶν κώλων καὶ μόνος ἐπίδεσμος αὐτάρκης ϖρὸς
11 τὸ ἐπισχεῖν τὸ αἷμα. Λύειν δὲ τῆς ἐπιούσης, καὶ, εἰ μὲν εἴη τὸ
12 αἷμα σταλὲν, ἀπονίπτειν· εἰ δὲ μὴ, τοῖς αὐτοῖς χρῆσθαι. Γινώσκειν δὲ χρὴ, ὡς αἱ βδέλλαι οὐ τὸ ἐκ βάθους ἕλκουσιν αἷμα, ἀλλὰ αὐτὸ
13 τὸ ϖαρακείμενον ταῖς σαρξὶν ἐκμύζουσιν. Χρώμεθα δὲ αὐταῖς ἐπὶ τῶν δεδοικότων τὰς ἀμυχὰς, ἢ ἐπὶ ὧν μορίων ἀνάρμοστός ἐστι σικύα
14 διὰ σμικρότητα τῶν μορίων, ἢ σκολιότητα καὶ ἀνωμαλίαν. Ἀποσπῶμεν δὲ τὰς βδέλλας, ὅταν εἰκάσωμεν τὸ ἥμισυ μέρος εἱλκύσθαι τοῦ αἵματος, ὅπερ ὑπολαμϐάνομεν δεῖν κενωθῆναι, καὶ μετὰ ταῦτα

9 loppera de laine trempée d'huile. S'il y a une hémorragie, on appliquera des linges, ou des toiles d'araignée trempées dans du vinaigre, ou la noix de galle torréfiée, ou une éponge neuve imbibée de goudron et brûlée ensuite, on mettra par-dessus du papyrus trempé dans du vinaigre
10 et on l'assujettira avec un bandage. C'est là ce qu'il faut faire quand il s'agit des parties centrales du corps; car, sur les membres, le bandage
11 seul suffit pour arrêter le sang. Le lendemain on défera le bandage, et, si le sang s'est arrêté, on lavera la partie; sinon, on aura recours aux
12 moyens susdits. On doit savoir que les sangsues ne tirent pas le sang de la profondeur du corps, mais qu'elles sucent seulement celui qui se trouve
13 dans les chairs mêmes. On emploie les sangsues chez les individus qui ont peur des scarifications, ou sur les parties qui n'admettent pas l'application d'une ventouse, à cause de leur petitesse, de leur courbure, ou de
14 leur inégalité. Nous enlevons les sangsues quand nous supposons qu'elles ont tiré la moitié du sang que nous avions jugé devoir être évacué; nous laissons ensuite couler le sang, jusqu'à ce qu'une quantité suffi-

1. ἐλαίῳ βραχεῖ Codd. — Ib. κατειλητέον ex em.; κατειλιτέον AMV; κατειλικτέον C Gal[a].; καταλειτέον B; καταλιτέον corr. — Ib. αἱμοῤῥαγοίη M marg. Gal[a]. — Ib. ὀθόνια Gal[a].; τούς ABM; om. CV; ὀθόνην κεκαυμένην Aët. — 7. ἀποπίπτειν M text.; ἐπιπίπτειν C. — 8. ἐν τῷ βάθει Gal[a]. — Ib. αὐτό Gal[a].; om. Codd. — 9. εἰσμύζουσιν Gal[a]. — 10. ἐστιν ἡ σικύα V.

ἐπὶ τοσοῦτον ἐῶμεν ἀποῤῥεῖν, ἕως ἂν τὸ αὔταρκες ἀποκριθῇ. Ἐπεὶ 15
δὲ τὸ μόριον ψύχεται ὑπό τε τῶν βδελλῶν φύσει ψυχρῶν | οὐσῶν, 150
καὶ ὑπὸ τοῦ περιέχοντος, ἀποπυριᾶν αὐτὸ χρὴ καὶ ἀναθερμαίνειν, τήν τε ῥύσιν τοῦ αἵματος ἐπέχειν οὐ διὰ τῶν ψυχόντων, ἀλλὰ διὰ τῶν στυφόντων καὶ παρεμπλασσόντων, ὡς εἴρηται.

κβ'. Περὶ βδελλῶν, Μενεμάχου.

Προσβάλλονται τοῖς πεπονθόσι τόποις αἱ βδέλλαι, ἢ τοῖς 1
σύνεγγυς ἀλιπέσιν· ἀποστρέφει γὰρ αὐτῶν τὴν ὄρεξιν τὸ ἔλαιον· εἰς στενότητα δὲ καλάμου στενοῦ μὴ διανταίως τετρημένου καθιέμε-
ναι, ἢ πῶμα καλαμίσκου, ἤ τι ὅμοιον. Τὸ δὲ πλῆθος αὐτῶν ληπτέον 2
ἐκ δύο μεγεθῶν, τοῦ τε τόπου καὶ τοῦ πάθους. Ἀφαιροῖντο δὲ ἄν, 3
ἐλαίου θερμοῦ τοῖς χείλεσιν αὐτῶν παραστaχθέντος· τὸ δὲ δηκτικὸν
τῶν ἁλῶν ἐπὶ τῶν ἑλκουμένων ἐκκλιτέον. Τὸ δὲ μετὰ τὴν ἀφαίρεσιν 4
ἐπιῤῥέον | ἐπιτεθεὶς ἐπέχει δάκτυλος. Τὸ δὲ πλῆθος τῆς ἐκκρίσεως 151 5

sante se soit écoulée. Comme la partie se refroidit aussi bien par le froid 15
naturel des sangsues que par l'effet de l'air ambiant, il faut la fomenter, la réchauffer et arrêter le sang, non avec des réfrigérants, mais à l'aide de moyens astringents et qui bouchent les pores, comme nous l'avons déjà dit.

22. DES SANGSUES. — TIRÉ DE MÉNÉMAQUE.

On applique les sangsues aux parties malades elles-mêmes, ou à des 1
parties voisines exemptes de graisse, car la graisse leur ôte l'appétit; à cet effet, on les place dans une plume étroite qui n'est pas percée aux deux extrémités, ou dans le couvercle d'un tuyau, ou dans quelque instrument
semblable. Le nombre doit être proportionné à deux circonstances, le 2
volume de la partie affectée et la gravité de la maladie. On les enlèvera, 3
en laissant couler goutte à goutte de l'huile chaude sur leurs suçoirs, car il faut éviter d'appliquer du sel sur les plaies à cause de ses qualités
mordantes. Le sang, qui continue à couler après qu'on les a ôtées, s'ar- 4
rête, si on met le doigt sur la piqûre. On évalue la quantité du sang 5

2. τε Gal[a].; om. Codd. — Ch. 22; πόμα Codd. — 12. ἑλκομένων Codd. — l. 8. διαντέως ABC 1[a] m. MV. — 9. Ib. ἐκκλητέον ABC 1[a] m. MV.

Matth. 151.

ἐμφαίνεται μὲν καὶ τῇ διορθώσει τῶν βδελλῶν· ἐναργέστερον δὲ γίνεται συναχθὲν, ὅταν χωρισθεῖσαι τῶν σωμάτων ἀπεμέσωσι τὸ
6 αἷμα. Στραγγῶς δὲ αὐτῶν ἐμφυομένων, ἀμυκτέον ἐπιπολαίως τοὺς τόπους, οἷς προσάγονται· γευσάμεναι γὰρ αἵματος ὀρέγονται μᾶλλον αὐτοῦ.

κγ'. Τίνας δεῖ καθαίρειν, καὶ ποίοις καθαρτηρίοις, καὶ πότε; Ἐκ τῶν Γαληνοῦ.

1 Τοὺς ὑγιεινὰ τὰ σώματα ἔχοντας ἐργῶδες καθαίρειν· καὶ γὰρ ἰλιγγιῶσι καὶ στροφοῦνται, καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ, καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται, γίνεται δὲ ταῦτα πάντα, τοῦ καθαρτικοῦ φαρμάκου τὸν οἰκεῖον μὲν ἕλκειν ἐφιεμένου χυμὸν, τῷ δὲ ἀπορεῖν αὐτοῦ τὸ αἷμα καὶ τὰς σάρκας συντήκοντος,
2 ἵνα ἐξ ἐκείνων ἕλκῃ τὸ οἰκεῖον. Τοὺς δὲ ὑγιαίνοντας μὲν ἔτι, νοσήσοντας δὲ, εἰ μὴ κενωθεῖεν, φθάνειν χρὴ κενοῦν, εἰσβάλλοντος

évacué, en les effilant, mais on l'évalue encore mieux, quand on rassemble le sang qu'elles vomissent après avoir été détachées des parties.
6 Si elles tardent à prendre, on scarifiera superficiellement les parties, car, lorsqu'elles ont goûté du sang, elles le recherchent plus avidement.

23. QUELLES SONT LES GENS QU'IL FAUT PURGER, À L'AIDE DE QUELS MOYENS IL FAUT LE FAIRE, ET DANS QUELLES CIRCONSTANCES. — TIRÉ DE GALIEN.

1 C'est une chose fâcheuse que de purger les gens qui ont le corps sain, car ils sont pris de vertige et de coliques, et la purgation marche difficilement chez eux; ils sont, en outre, sujets à s'affaiblir rapidement; et tout cela arrive, parce que le médicament purgatif tâche d'attirer l'humeur avec laquelle il a de l'affinité et qu'à défaut de cette humeur il fond le
2 sang et les chairs pour l'en tirer. Quant aux gens qui sont encore bien portants, mais qui tomberaient malades si l'on n'opérait chez eux une déplétion, on se hâtera d'en pratiquer une, au commencement du prin-

3. Στράγγος Codd. — Ch. 23; l. 6. ὑγιεινῶς Gal. — 7-8. προσχωρεῖ X. — 9. τοῦ om. Gal. — Ib. μέν om. J Gal[a]. — 10. τὸ δ' ἀποῤῥεῖν ABCV. — Ib. συντήκει Gal.; συντείνοντος X. — 11. ἐκείνου X. — Ib. δέ] μέν ABCV. — 11-12. νοσήσαντας ABCJV. — 12. δ' ἂν εἰ X Gal[a].

ἦρος, ἤτοι διὰ φλεβοτομίας, εἰ πληθωρικοῖς ἁλίσκοιντο νοσήμασιν,
ἢ διὰ καθάρσεως, εἰ τοῖς κατὰ διαφθοράν. Ἡμεῖς γοῦν καὶ ποδά- 3
γραν καὶ ἀρθρῖτιν ἀρχομένην καὶ μήπω περὶ τοῖς ἄρθροις εἰργα-
σμένην πώρους ἐκ τῆς τοιαύτης κενώσεως ἐτῶν ἤδη πολλῶν ἐκωλύ-
σαμεν γίνεσθαι. Κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπιληψίαν, ἀποπληξίαν, 4
μελαγχολίαν, καὶ ἄλλα τοιαῦτα χρόνια πάθη διὰ τῆς εἰρημένης
κενώσεως ἐπὶ πολλῶν ἀνθρώπων ἐπαύσαμεν. Ἐνίοις μὲν οὖν συμ- 5
φέρει κενοῦσθαι τοὺς φλεγματώδεις χυμοὺς, ἐνίοις δὲ τοὺς πικροχό-
λους, ἐνίοις δὲ τοὺς μελαγχολικοὺς, ἐνίοις δὲ τὸ ὀρῶδες περίτΊωμα
κατὰ τὴν τῶν εἰθισμένων αὐτοῖς γίνεσθαι παθῶν οὐσίαν. Αὐτίκα 6
μελαγχολίᾳ τις ἁλίσκεται κατὰ ἕκασΊον ἔτος, εἰ μὴ καθαρθείη, καὶ
καθαίρω γε αὐτὸν οὐκ ἦρος μόνον, ἀλλὰ καὶ φθινοπώρου. Οὕτω δὲ 7

temps, soit à l'aide de la saignée, quand ils sont habituellement pris de
maladies tenant à la pléthore, soit à l'aide d'une purgation, quand ces
maladies tiennent à la corruption des humeurs. Pendant plusieurs années 3
j'ai empêché, à l'aide d'une pareille déplétion, le développement de la
podagre, ou d'une goutte commençante, quand ces maladies n'avaient
pas encore produit des *tophi* autour des articulations. J'ai arrêté, de la 4
même manière, chez plusieurs individus, l'épilepsie, l'apoplexie, la
mélancolie et d'autres maladies chroniques semblables, à l'aide de la
déplétion dont nous venons de parler. Chez quelques-uns, il est utile 5
d'évacuer les humeurs pituiteuses; chez d'autres, la bile amère; chez
d'autres encore, l'atrabile; chez d'autres enfin, les superfluités séreuses
selon la nature des maladies dont ils souffrent habituellement. Je con- 6
nais, par exemple, un homme qui est pris, chaque année, de mélanco-
lie, à moins qu'on ne le purge, et je le purge non-seulement au prin-
temps, mais aussi en automne. De même, j'opère, chaque année, au 7

1. εἰ τοῖς πληθ. Gal[a]. — Ib. ἁλίσκοντο AP; ἁλίσκονται GX Gal. — 2. εἰ] ἢ P; ἐν G. — Ib. διαφοράν GP. — 2-3. ποδάγραν, ἀρθρ. G. — 3. ἀρχ. ἔτι Gal. — 4. πόρους ABCGJVPX; πόνους X corr. — Ib. ἐτῶν δὴ πολλ. C 2[a] m. GPJX Gal[a].; τῶν δή πολλ. ABCV; om. J. — 5. γενέσθαι Gal. — Ib. τε Gal. — Ib. αἵματος πλύσιν, ἐπιλ. Gal. — 6. καὶ ἄλλα τὰ τοι. Gal.; ἀλλά τε τοιαῦτα Gal[a].; ἄλλα τοι. ABCV. — 7. ἐπαυσάμην VP. — 9. τό om. ABC 1[a] m. GJVP Gal. — 10. κατά γε Gal. — Ib. ἠθροισμένων B text. — Ib. γενέσθαι X. — Ib. οἷον αὐτίκα Gal.; Αὐτίκα καί Gal[a]. — 11. μελαγχολίαν ABC 2[a] m. V. — 12. καθαίρος A 1[a] m.; καθαίρων BV. — Ib. γε] δέ J. — Ib. καί om. Gal.

καὶ γυναῖκά τινα κατὰ ἕκασlον ἔτος, εἰσβάλλοντος ἦρος, ὁμοίως
κενῶ, καρκινώδη διάθεσιν ἐν μασlῷ ἔχουσαν, ἣν ἰασάμην, ἰσχυρῶς
κενώσας διὰ Φαρμάκου καθαίροντος μέλανα, καὶ, εἰ παραλειφθείη
8 *ποτὲ ἡ κάθαρσις, ὀδύνη διὰ βάθους αὐτῇ γίνεται. Ἐλέφαντα δὲ*
ἀρχόμενον ἑτέρῳ τὰ μὲν πρῶτα διά τε Φλεβοτομίας καὶ καθάρσεως
ἰασάμην· ἑκάσlου δὲ ἔτους αὖθις ἀρκεῖ καὶ τούτῳ μία κάθαρσις·
9 *ἐλλειφθείσης δὲ αὐτῆς, αὐτίκα τὸ πάθος ἐπισημαίνει. Τὰ μὲν οὖν*
τοιαῦτα νοσήματα καθάρσεως χρήζει μελάνων χυμῶν, ἐπιληπlικὰ
δὲ καὶ ἀποπληκτικὰ καὶ ἀσθματικὰ τῶν Φλεγματωδῶν, ἀρθριτικὰ
δὲ τὰ μὲν ἅμα θερμασίᾳ πολλῇ τῶν πικροχόλων, τὰ δὲ σὺν ὄγκοις
10 *ψυχροῖς τῶν Φλεγματικῶν. Ἄλλος δέ τις ὥρᾳ θέρους ἀεὶ τριταίοις*
ἁλισκόμενος πυρετοῖς, ἤδη πολλῶν ἐτῶν οὐκ ἐπύρεξε, χολὴν ὠχρὰν

commencement du printemps, une déplétion chez une femme qui a une
affection cancéreuse au sein; je l'ai guérie, en pratiquant une forte dé-
plétion à l'aide d'un médicament qui purge les humeurs noires, et, si
parfois on oublie la purgation, elle est prise d'une douleur profonde.
8 Chez un autre malade, je guéris un éléphantiasis commençant, d'abord à
l'aide de la saignée et de la purgation; maintenant, il lui suffit d'être purgé
une fois chaque année, et, si on l'oublie, la maladie reprend immédia-
9 tement. Ces maladies-là réclament donc une purgation qui chasse les hu-
meurs noires, tandis que l'épilepsie, l'apoplexie et l'asthme demandent
l'évacuation des humeurs pituiteuses; la goutte exige, lorsqu'elle est
accompagnée d'une forte chaleur, qu'on expulse la bile amère, tandis
qu'elle réclame l'évacuation des humeurs pituiteuses, si elle est accom-
10 pagnée de tumeurs froides. Un autre malade souffrait toujours l'été d'une
fièvre tierce, mais, depuis plusieurs années déjà, il n'en a plus été repris,

2. *κενῶν* Gal. — Ib. *καρκ. ποτὲ ὄγκον* Gal. — Ib. *ἐν μασθῷ* G.; *ἐν τῷ μασθῷ* A Gal[a].; *ἐν τῷ μαστῷ* X. — Ib. *ἣν* om. Gal. — 2-5. *ἰσχυρῶς ..... καθάρσεως* om. G.— 3. *μέλαινα* J; *μέλαιναν* ABCVX; *μέλαιναν χολήν* Gal[a]. — Ib. *παραληφθείη* CJ; *μὴ παραληφθείη* ABV Gal[a].; *μὲν παραλειφθείη* X. — 4. *αὐτῆς* ABC 1[a] m. V. — Ib. *ἐγγίνεται* Gal[a].; *ἐγίνετο* C 2[a] m. X. — 5. *τε* om. X Gal., Gal[a]. — 6. *δ' αὐτῷ ἔτ.* X Gal[a]. — 7. *ἐκλειφθείσης* ABCGJVX Gal[a]. — Ib. *ἐπισημαίνεται* ABCV. — Ib. *Τά* om. ABC 1[a] m.V; *Ἅπαντα* J. — 8. *τὰ τοιαῦτα* J. — Ib. *νοσήματα* om. X. — Ib. *μελαγχολικῶν* G Gal. — Ib. *χυμόν* ABCV. — 9-10. *καὶ ἀρθριτικὰ δέ* C 1[a] m.; *δὲ ἀρθριτικά* G. — 11. *αἰεί* ABV.

φθάνων ὑπὸ ἡμῶν καθαίρεσθαι κατὰ τὴν τελευτὴν τοῦ ἦρος· οὕτω
γὰρ ἄμεινόν ἐσʼι τοὺς τοιούτους κενοῦν, ὡς τούς γε ἐπιληπʼικούς,
ἀρθριτικούς τε καὶ μελαγχολικοὺς ὅσοι τε ἄλλοι διὰ παχεῖς χυμοὺς
νοσοῦσιν εἰσϐάλλοντος ἦρος ἄμεινον κενοῦσθαι. Χρὴ δὲ προλεπʼύ- 11
νειν καὶ τέμνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμούς, καὶ τοὺς πό-
ρους, διὰ ὧν οὗτοι μεταλαμϐάνονταί τε καὶ ἕλκονται πρὸς τῶν
καθαρτικῶν φαρμάκων, ἀνασʼομοῦν, εἰ ἡ κάθαρσις ἀρίσʼη μέλλοι
γίνεσθαι κατὰ πάντα, καὶ μάλισʼα ἐπὶ τῶν ἐλλέϐορον λαμϐανόν-
των· ἡ γὰρ συντονία τῶν σπαραγμῶν, ἐκϐάλλουσα τοὺς ἐσφηνω-
μένους δυσλύτως τοῖς πεπονθόσι μέρεσι χυμούς, καὶ κατὰ τοῦτο τὰ
χρόνια τῶν παθῶν ὠφελοῦσα, ῥᾷον ἐργάσεται τοῦτο, προλελεπʼυ-
σμένων αὐτῶν. Τοῖς δὲ ἀμελήσασι τούτων δυσχερεῖς ἀπαντῶσιν αἱ 12

parce que nous prévenons les accès en purgeant la bile pâle vers la fin
du printemps; car, chez ces malades, il vaut mieux faire la déplétion à
cette époque, tandis qu'il est préférable de la faire au commencement
du printemps, chez les épileptiques, les goutteux, les mélancoliques, et
chez tous ceux dont les maladies tiennent à des humeurs épaisses. On 11
exercera préalablement une action atténuante et incisive sur les humeurs
épaisses et visqueuses, et on ouvrira les conduits à travers lesquels les
médicaments purgatifs les transportent et les attirent, si l'on veut que la
purgation soit irréprochable sous tous les rapports; cela doit se prati-
quer surtout chez ceux qui prennent de l'ellébore, car l'intensité des
tiraillements, qui chasse les humeurs enclavées dans les parties malades
de manière à en être détachées difficilement, et qui, par ce moyen-là,
soulage les maladies chroniques, produira plus facilement ce résultat, si
on a d'abord atténué les humeurs. Ceux qui négligent cette précaution 12
verront la purgation s'opérer difficilement et s'accompagner quelquefois

2. τοῖς τοιούτοις ABCV. — Ib. κενοῦσθαι Gal. — Ib. γε om. Gal. — 2-3 ἐπιλ. τε καὶ ἀποπληκτικοὺς καὶ ἀρθρι. Gal. — 3. τε om. X Gal[a]. — Ib. καὶ ὅσοι τ' ἄλλοι Gal[a]. — Ib. πάχος χυμῶν Gal. — 7. ἀνασʼομοῦνται ἡ G. — Ib. μέλλει JX Gal[a]. — 8. ἐπὶ τῶν τὸν ἐλλέϐορον J. — 10. δύσλυτος ABCV; δυσλύτους G. — Ib. τά] δέ C 1[a] m. — 11. ἀπεργάσεται X Gal[a]. — 12. Εἰ δὲ ἀμελήσουσι τούτ. X Gal[a]. — 12-p. 77, 1. δυσχερεῖς αἱ καθάρσεις ἀπαντῶσιν G; αἱ καθάρσεις δυσχερῶς ἀπαντῶσιν J Gal.

καθάρσεις μετὰ στρόφων ἐνίοτε καί τινων ἰλίγγων ἄσης τε πολλῆς
13 καὶ κακοσφυξίας, ἐκλύσεώς τε καὶ δυσκολίας. Τοῦ μέλλοντος δὲ
ἐλλέβορον λήψεσθαι προπειρᾶσθαι χρὴ τῆς φύσεως, ὅπως ἔχει
14 πρὸς τὰς ἄνω καθάρσεις, τουτέστι τὰς διὰ ἐμέτων. Γινέσθω δὲ ἡ
πεῖρά σοι διὰ τῶν ἐμετικῶν φαρμάκων ὅσα μέτρια· ἐὰν γὰρ φαί-
νηται μὴ ῥᾳδίως καθαιρόμενος, οὐ χρὴ τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ
τὸν ἐλλέβορον ἄγειν ἄνευ τοῦ προπαρασκευάσαι· γένοιτο δὲ ἂν τὸ
τοιοῦτο καὶ διὰ αὐτῶν μὲν τῶν συνεχῶν ἐμέτων, ἐθισθέντος ἑτοίμως
ἐμεῖν τοῦ ληψομένου τὸν ἐλλέβορον· γένοιτο δὲ ἂν ἄμεινον καὶ διὰ
τοῦ προϋγρᾶναι τὰ σώματα, προϋγραίνεται δὲ πλείονι τροφῇ καὶ
15 ἀναπαύσει. Τὸ μὲν οὖν τῆς ἀναπαύσεως δῆλον· ὡς γὰρ τὰ γυμνάσια
ξηραίνειν πέφυκεν, οὕτω καὶ ἡ ἀνάπαυσις, ὅπερ ἐστὶν ἡσυχία τε
καὶ ἀγυμνασία, φυλάττει τὰς ὑγρότητας· τροφὴ δὲ οὐχ ἁπλῶς ἡ

de coliques, de vertige, d'une grande anxiété, de dérangement du pouls,
13 d'affaiblissement et de malaise. On expérimentera d'abord la nature du
malade qui va prendre de l'ellébore, et on verra comment il se comporte
à l'égard des purgations par le haut, c'est-à-dire de celles qui se font par
14 le vomissement. Cette expérimentation se fait à l'aide des émétiques doux,
car, si l'on voit que la purgation ne s'opère pas facilement, on ne sou-
mettra pas un pareil malade à l'ellébore sans l'y préparer auparavant;
or cette préparation se fera d'abord par les vomissements continuels, qui
habituent celui qui va prendre de l'ellébore à vomir promptement ; mais
elle se fera mieux encore, si avant on humecte aussi le corps; or on
15 l'humecte par une nourriture abondante et par le repos. Pour le repos,
la chose est évidente, car, de même que les exercices dessèchent natu-
rellement, le repos, c'est-à-dire la vie sédentaire et le défaut d'exercice,
conserve l'humidité; quant aux aliments, ce n'est pas simplement leur

1. σφοδρῶν ABC 1[a] m. V; στρόφων σφοδρῶν J. — Ib. τέ τινος πολλ. Gal. — 3. τὸν ἐλλ. Gal. — Ib. προπειρᾶσθαι om. BV. — 3-4. ἔχῃ πρὸς τάς ABCGV Gal[a].; ἔχῃ τὰς πρός B corr. — 4. διά] δέ X. — 5. σοι om. X Gal[a]. — Ib. γάρ] οὖν Gal. — 7. παρασκευάσαι ABCV; προπαρασκευάσασθαι Gal. — Ib. γίνοιτο Gal. — 7-8. τὸ τοιοῦτον ABJGV; τοιοῦτον X; τοῦτο Gal., Gal[a]. — 8. διὰ τῶν συν. μὲν ἐμ. Gal. — 9. λειψομένου ABCV. — 10. τοῦ] τό X. — Ib. προϋγραίνειν Gal. — 12. οὕτω καὶ ἡ ἀνάπ. om. ABCGV. — Ib. καί om. X Gal. — 12-13. ὅπερ... ὑγρότητας] ὑγραίνειν J; om. ABCGV. — 13. φυλάττειν Gal[a]. — 13-p. 78, 1. τροφὴ.... πέφυκεν om. ABC 1[a] m. GV. — Ib. οὐχ... πλείων] οὐ πᾶσα J.

πλείων ὑγραίνειν πέφυκεν, ἀλλὰ εἴ τις ἄνευ ποιότητος ἰσχυρᾶς
ᾖ, τουτέσλι μήτε σΊρυφνὴ, μήτε δριμεῖα, μήτε ἁλυκὴ, μήτε πικρά.
Ἐδώκαμεν δὲ ἐνίοτε ῥαφανῖδας διὰ ὀξυμέλιτος, ἐμπήξαντες αὐταῖς 16
διὰ ὅλης ἡμέρας καὶ νυκτὸς ἐλλεβόρου λευκοῦ κλῶνας, καὶ εἴη ἂν
ἀσθενὴς ἀπὸ ἐλλεβόρου κάθαρσις ἡ τοιαύτη. Οἱ δὲ σΊενὸν ἔχοντες 17
τὸν θώρακα, καὶ διὰ τοῦτο καὶ τὸν πνεύμονα συντεθλιμμένον ἀνεπιτηδειότατοι τυγχάνουσιν εἰς τὰς ἐμετικῶν φαρμάκων καθάρσεις τάς τε ἄλλας καὶ μάλισΊα τὴν διὰ ἐλλεβόρου τοῦ λευκοῦ· ῥήγνυται
γὰρ αὐτοῖς ἀγγεῖόν τι τῶν ἐν τοῖς ἀναπνευσΊικοῖς ὀργάνοις. Χρὴ 18
δὲ καὶ τὸν μὲν πικρόχολον χυμὸν ἄνω, τὸ δὲ φλέγμα κάτω μᾶλλον κενοῦν· ἔσΊιν ὅτε μὴν ἔμπαλιν, εἰ κατὰ μὲν τὴν γασΊέρα φλεγματικὸς, ἐν δὲ τοῖς ἐντέροις πικρόχολος ἀθροισθείη, τὸν μέντοι με-
λαγχολικὸν ἀεὶ κάτω. Γέγραπ7αι δὲ κατὰ τοὺς Ἀφορισμοὺς Ἱππο- 19

abondance qui est de nature à humecter, mais il en est ainsi de toute nourriture destituée de propriétés efficaces, c'est-à-dire qui n'est ni âpre,
ni âcre, ni salée, ni amère. Nous avons donné quelquefois des raiforts 16
dans du vinaigre miellé, dans lesquels nous avons enfoncé des rameaux d'ellébore blanc, que nous y laissions pendant un jour et une nuit; cette
préparation peut tenir lieu d'une purgation faible par l'ellébore. Ceux 17
qui ont la poitrine étroite, et, par conséquent, le poumon comprimé, se prêtent très-mal aux purgations par les vomitifs, quels qu'ils soient, mais surtout à celle qui se fait par l'ellébore blanc, car on voit alors se rompre quelqu'un des vaisseaux qui se trouvent dans les organes de la respira-
tion. On évacuera, de préférence, par le haut la bile amère, et par le bas 18
la pituite; cependant, quelquefois on fera le contraire, quand l'humeur pituiteuse est accumulée dans l'estomac, ou quand la bile amère l'est dans les intestins; mais l'humeur atrabilaire doit toujours être chassée par le
bas. Hippocrate a écrit dans les *Aphorismes* (IV, 4) par rapport aux saisons: 19

1. ἀλλὰ ἥτις JX Gal[a].; ἄλλη τις ABCGV. — 2. σΊρυφνῆς, μ. δριμείας, μ. ἁλυκῆς, μ. πικρᾶς J Gal. — 3. Δεδώκαμεν ABCGJVX Gal[a]. — Ib. πήξαντες ABCGJVX Gal[a]. — Ib. αὐτῷ J. — 4. λευκοῦ κλῶνας G; κλῶνας λευκοῦ X Gal[a].; λευκοὺς κλῶνας ABCV; κλῶνας λευκούς J; μόνου κλωνία Gal. — 5. ἡ τοιαύτη κάθαρσις J. — Ib. Οὐδὲ σΊ. X. — 6. τὸν πνεύ (sic) A; om. Gal[a]. — 7. τὰς διὰ τῶν ἐμ. X Gal[a].; τὰς τῶν ἐμ. J. — 8. τὰς δι 'ἐλλ. X. — 10. χυλόν X; χυμόν corr. — Ib. μᾶλλον om. Gal[a]. — 12-13. τῶν μ. μελαγχολικῶν ABCV; τὸν μ. μελαγχολικὸν χυμόν G. — 13. αἰεὶ ABCGV.

κράτει περὶ τῶν ὡρῶν· Φαρμακεύειν θέρεος μὲν τὰς ἄνω, χειμῶνος
20 *δὲ τὰς κάτω. Τὸ δὲ ἀνάλογον ταῖς ὥραις ἐπὶ τῶν χωρῶν σκοπεῖσθαι*
χρὴ θερμότητί τε καὶ ψυχρότητι διαιρουμένους· οὕτω δὲ κἀπὶ τῶν
21 *ἡλικιῶν. Καὶ μὴν καὶ τὸ ἔθος οὐ σμικρὰ μοῖρα πρὸς ἔνδειξιν κενώ-*
σεως· οἱ μὲν γὰρ ἐμεῖν εἰθισμένοι Φέρουσιν ἀλυπότερον τὰς διὰ τῆς
ἄνω κοιλίας καθάρσεις· οἱ δὲ ἀήθεις οὐκ ἄνευ κινδύνου, καὶ μᾶλλον ἐπὶ
22 *ἐλλεβόρου. Καὶ τὸ τοῦ νοσήματος δὲ εἶδος σκοπεῖσθαι προσήκει· ἐπὶ*
μὲν γὰρ τοῦ λευκοφλεγματίου ὑδέρου Φλέγματος ἀγωγῷ χρησόμεθα
φαρμάκῳ, πρότερον μὲν διὰ τῆς κάτω γασ1ρὸς, εἶτα διὰ ἐμέτων,
εἶτα διὰ ἀποφλεγματισμῶν· διὰ ὅλου γὰρ τοῦ σώματος ἐκτεταμένου
23 *τοῦ πλεονάζοντος, ἁπάσας τὰς κενώσεις παραληψόμεθα. Ἀσκίτου*
δὲ ὄντος τοῦ ὑδέρου, τῶν ὑδραγωγῶν τι δώσομεν Φαρμάκων, ὥσπερ

« En été, on purgera le ventre supérieur, et, en hiver, le ventre inférieur. »
20 Les divers pays, en les distinguant d'après le chaud et le froid, se prêtent
aux mêmes considérations que les saisons; il en est encore de même pour
21 les âges. En vérité, l'habitude nous fournira encore un élément assez im-
portant pour trouver les indications de la déplétion, car ceux qui sont
habitués à vomir supportent, sans trop d'inconvénient, les purgations
par le ventre supérieur, tandis que ceux qui ne le sont pas ne les su-
22 bissent pas sans danger, surtout s'il s'agit de l'ellébore. On doit encore
considérer l'espèce de la maladie, car, dans l'hydropisie dite *leucophleg-*
matie, on aura recours à un médicament qui chasse la pituite, d'abord
par le ventre inférieur, ensuite par les vomissements, et, en dernier lieu,
par les masticatoires; en effet, quand l'humeur surabondante est dispersée
23 par tout le corps, on emploiera des déplétions de toute espèce. Au con-
traire, on donnera quelqu'un des médicaments qui évacuent l'eau, s'il

1. *Θέρεος Φαρμακ.* (om. *μέν*) ABCVX Gal[a].; *Θέρεος μὲν Φαρμ.* J. — Ib. *τὰ ἄνω* B. — 1-2. *χειμ. τάς* AC 1[a] m.; *χειμῶνος τά* B; *χειμῶνι δὲ τάς* G. — 2. *κάτω*] *διὰ τῆς ἄνω κοιλίας* J. — 3. *θερμότητι καί* J. — 7. *ἐλλεβόρῳ* ABC 1[a] m. JVX. — Ib. *δέ* om. Gal. — Ib. *προσῆκεν* ABCJV; *προσῆκεν οἷον* G. — 8. *λευκῷ Φλέγματι ὑδ.* ABCV; *Φλεγματίας ὑδ.* Gal.; *Φλεγματίου ὑδ.* Gal[a]. — Ib. *χρῆσθαι* X; *δεῖσθαι* Gal., Gal[a]. — 9. *τῷ Φαρμ.* Gal., Gal[a]. — Ib. *διὰ ἐμέτων*] *δὲ ἐμέτων* X. — 10-11. *γὰρ σώμ. διεσπαρμένου τοῦ* Gal. — 11. *ἁπ. τὰς κεν.* J; *ἁπάσας κεν.* rel. — Ib. *παραλειψ.* Gal. — 11-12. *Ἐπὶ δὲ ἀσκίτου ὑδέρου* X; *Ἐπὶ δὲ τοῦ ἀσκ. ὑδ.* Gal., Gal[a]. — 12. *Φάρμακον* A Gal.

*γε κἀπὶ τῶν ἰκτεριώντων χολαγωγόν· ἐκκαθαίρειν γὰρ χρὴ καὶ
τούτων πολυειδῶς τὴν χολὴν ἄνω τε καὶ κάτω καὶ διὰ οὔρων καὶ
διὰ ὑπερῴας καὶ διὰ ῥινῶν. Οὕτω δὲ κἂν ὁ μελαγχολικὸς πλεονάσῃ* 24
*χυμὸς, ὡς ἐν μελαγχολίᾳ καὶ καρκίνῳ καὶ ἐλέφαντι, τὸ τῆς με-
λαίνης χολῆς κενωτικὸν φάρμακον δίδομεν· ἐπιληψίαν δὲ φλεγμα-
γωγοῖς καθαίρομεν, ἐξ ὧν δῆλον, ὡς ἡ κατάσλασις τῆς νόσου καὶ τὸν
κενωθησόμενον δηλοῖ χυμὸν καὶ τὸν τόπον, διὰ οὗ χρὴ κενοῦν αὐτόν.
Ἀμέλει καὶ τῶν κατὰ τὸ ἧπαρ φλεγμαινόντων, ὅταν πεφθῶσι, τὴν* 25
*ἀποκάθαρσιν ποιούμεθα διὰ μὲν τῆς κάτω γασἸρὸς, ὅταν ἐν τοῖς
σιμοῖς αὐτοῦ γένηται τὸ πάθημα, διὰ οὔρων δὲ, ὅταν ἐν τοῖς κυρ-
τοῖς. Οὕτω δὲ κἀπὶ τῶν ἄλλων ἐπισκέψῃ τόν τε πλεονάζοντα* 26
*χυμὸν καὶ τὸν πεπονθότα τόπον, ἐξ οὗ καθάπερ ἑσἸίας τινὸς ὁρ-
μᾶται τὸ νόσημα· ταῦτα γάρ σοι καὶ τὸν κενωθησόμενον ἐνδείξεται*

existe une hydropisie ascite, et, contre la jaunisse, un médicament qui ex-
pulse la bile; car, dans ce dernier cas, il faut purger la bile de plusieurs
façons, par le haut, par le bas, par les urines, par le palais et par le
nez. De même, s'il y a excès d'humeur atrabilaire, comme dans la mé- 24
lancolie, le cancer et l'éléphantiasis, on donne un médicament qui chasse
la bile noire, tandis qu'on purge les épileptiques avec des médicaments
qui chassent la pituite : d'où il résulte que l'état de la maladie indique
aussi bien l'humeur qu'il faut évacuer que la voie par laquelle il faut le
faire. Par exemple, les humeurs qui causent une inflammation au foie, 25
lorsqu'elles sont arrivées à coction, nous les purgeons par le bas-ventre, si
la maladie a son siége à la surface concave de ce viscère, et par les urines,
si c'est à la surface convexe. Dans les autres cas, on considérera de même 26
l'humeur qui est en excès et la partie affectée d'où la maladie prend son
point de départ comme d'un foyer; en effet, ces circonstances indiqueront

1. *γε* om. J Gal. — Ib. *ἰκτερικῶν τῶν* X Gal. — Ib. *χολαγωγόν* ex em.; *χωλαγόν* J.; *χολαγωγῶν* ABCGVX Gal., Gal[a]. — Ib. *γάρ*] *δέ* X Gal., Gal[a]. — Ib. *καί* om. C 1[a] m. — 2. *τε* om. Gal. — 2-3. *καὶ ὑπερ.* X Gal[a]. — 4. *ὅς* ABCV. — 5. *δίδωμαι* G; *διδόαμεν* X Gal., Gal[a].; *δώσομεν* J 1[a] m. — Ib. *ἐπιληψίας* Gal., Gal[a]. — 6. *οὗ* Gal. — Ib. *ὡς ὅτι* Gal., Gal[a]. — 6-7. *καὶ ἡ φύσις τὸν κενωθησόμενον* Gal. — 8. *φλεγμηνάντων* Gal. — Ib. *ὅταν πεφθῶσι* om. AB. — 9-10. *διὰ....... πάθημα* om. BV. — 10. *δέ*] *τε* Gal. — 11. *τε* om. B. — 12. *αἰτίας* GX Gal., Gal[a]. — Ib. *τινός* om. Gal., Gal[a].

χυμὸν καὶ τὸν τρόπον τῆς κενώσεως καὶ τὸν τόπον διὰ οὗ χρὴ
κενῶσαι, καὶ πρὸς τούτοις ἅπασι τὸν καιρόν· ἐν ἀρχῇ μὲν γὰρ
τοὺς ὀρώδεις τε καὶ λεπτοὺς κενώσεις χυμοὺς, ἀναμενεῖς δὲ πέψιν
ἐπὶ τῶν παχέων καὶ γλίσχρων, οἷοι τὴν φύσιν εἰσὶν ὅ τε τοῦ
27 *φλέγματος καὶ ὁ τῆς μελαίνης χολῆς.* Καὶ *ἀπὸ τῶν παροξυσμῶν δὲ*
σκοπὸν εἰς ἔνδειξιν τρόπου κενώσεως ἕξεις, ἐκ μὲν τῶν ἄνω ποιού-
μενος τὰς κενώσεις ἐν τοῖς παροξυσμοῖς, ἐκ δὲ τῶν κάτω κατὰ τὰς
καλουμένας ἀνέσεις· καὶ γὰρ καὶ αὐτόματα οὕτως ὠφελεῖ, ἐν μὲν
τοῖς παροξυσμοῖς ἐμούντων τε πολλῶν καὶ διὰ ῥινῶν αἱμοῤῥαγούν-
των, ἐν δὲ ταῖς ἀνέσεσιν οὔρων τε καὶ διαχωρημάτων ἀποκρινομέ-
28 *νων. Φυλάττεσθαι δὲ χρὴ μάλιστα τὸν χρόνον τῶν παροξυντικῶν*
καὶ κριτικῶν ἡμερῶν, ὁπόταν ἐπιχειρῇς κάτω καθαίρειν πολλά·
τῆς γὰρ ῥοπῆς τῶν χυμῶν ἄνω γενομένης, ἡ τοῦ κάτω καθαίροντος

l'humeur qu'il faut évacuer, la manière dont il faut s'y prendre, la voie
par où on doit la faire passer, et, en outre, le temps opportun, car, au
commencement, on évacuera les humeurs séreuses et ténues, tandis qu'on
attendra l'époque de la coction pour les humeurs épaisses et visqueuses,
27 genre d'humeurs auquel appartiennent la pituite et la bile noire. Les
accès de la maladie sont encore un moyen d'indication pour reconnaître
la manière dont il faut opérer la déplétion, car on purge par le haut
pendant les accès et par le bas pendant ce qu'on appelle les rémissions;
en effet, c'est aussi dans cet ordre que les évacuations spontanées pro-
fitent aux malades, car, pendant les accès, beaucoup vomissent, ou saignent
du nez; pendant les rémissions, au contraire, il se fait des excrétions par
28 les urines et par les selles. On évitera surtout les jours d'exacerbation et
de crise, quand on veut faire une purgation abondante par le bas, car
l'action du médicament purgatif sera contrariée par cette circonstance que

1. *τῆς..... τόπον* om. ABC 1ª m. V. — 1-2. *κενοῦσθαι* Gal., Galª. — 2. *καὶ ἐν ἀρχῇ μὲν τούς* Gal.; *ἐν ἀρχ. μ. τ.* JX. — 3. *τε* om. Gal. — 3-4. *ἀναμένειν τε δεῖ τὴν πέψιν τῶν* Gal. — 5. *χολῆς*] *χυλός* X; *χυμός* corr. — Ib. *δέ* om. G. — 6. *ἐκ*] *εἰς* X 1ª m. — 10-11. *διακρινομένων* ABCV. — 11. *δέ* om. X. — Ib. *παροξυντικῶν τε* X; *παροξυτικῶν τε* G; *παροξυσμῶν* C. — 12. *κάτωθεν ῥεῖν* ABC 1ª m. V. — 12-13. *καθ.· πολλῆς γὰρ τῆς ῥ.* J; *καθ.· τῆς γὰρ ῥ.* X. — 13. *γινομένης* ABCGJV. — Ib. *κάτω* om. VX Galª.

φαρμάκου δύναμις ἐμποδισθήσεται. Ἐπὶ δὲ τῶν ἤδη νοσούντων ἐν 29
μὲν τοῖς χρονίοις ἀεὶ δεῖ τὸν πεπασμὸν ἀναμένειν· ἐν δὲ τοῖς ὀξέσιν, ὅταν ὀργᾷ, κατὰ ἀρχὰς οἷόν τε φαρμακεῦσαι, καὶ τοῦτο αὐτὸ πρᾶξαι μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως· κίνδυνος γὰρ οὐ μικρὸς ἐν ὀξεῖ νοσήματι κακῶς φαρμακεῦσαι τῷ πάντα μὲν τὰ καθαίροντα φάρμακα θερμὰ ταῖς δυνάμεσιν εἶναι, δεῖσθαι δὲ τὸν πυρετὸν, ᾗ πυρετός ἐσΊι, κατὰ τὸν αὐτοῦ λόγον οὐχ ὅπως τῶν ξηραινόντων καὶ θερμαινόντων, ἀλλὰ τῶν ἐναντιωτάτων αὐτοῖς τῶν ὑγραινόντων τε καὶ ψυχόντων. Οὔκουν οὐδὲ αὐτῆς ἕνεκα τῆς πυρώ- 30
δους θερμότητος ἡ κάθαρσις ἡμῖν παραλαμβάνεται· ταύτην γὰρ ἴσμεν ὅσον ἐπὶ ἑαυτῇ βλαπΊομένην· ἀλλὰ τῶν ἐργαζομένων ἕνεκα χυμῶν· χρὴ τοίνυν μείζονα τὴν ὠφέλειαν ἐκ τῆς τῶν λυπούντων

les humeurs tendent vers le haut. Pour les sujets déjà malades, on at- 29
tendra toujours l'époque de la maturité, dans le cas d'affections chroniques, tandis que, dans les maladies aiguës, il est possible de faire une purgation au début, lorsque les humeurs sont turgescentes; cependant, dans ce cas même, il faut mettre beaucoup de prudence et de circonspection, car, dans une maladie aiguë, il y a grand danger de purger mal à propos, attendu que tous les médicaments purgatifs ont des propriétés chaudes, et que la fièvre, en tant que fièvre, bien loin de réclamer l'emploi des desséchants et des échauffants, exige par elle-même tout ce qu'il y a de plus contraire, c'est-à-dire l'administration des humectants et des
refroidissants. Aussi n'est-ce pas à cause de la chaleur brûlante que nous 30
administrons la purgation (car on sait que, considérée en elle-même, cette chaleur en éprouve du dommage), mais à cause des humeurs qui la produisent; l'avantage retiré de l'évacuation des humeurs nuisibles doit donc être plus grand que le tort qu'on fait inévitablement au corps,

2. *αἰεί* ABCV. — Ib. *δεῖ τὸν πετασμόν* C 1ª m.; *δὴ τῶν τε πασμῶν* J. — 3. *καὶ κατὰ ἀρχήν* Gal. — Ib. *φαρμακεύειν* Gal., Galª. — 4. *πράτΊειν* JGX; *ποιεῖν* ABCV Galª. — Ib. *ἐπισκέψεως* G. — 5. *τῷ*] *τόν* ABV; *τό* JG; om. C 1ª m. — Ib. *τά* om. ABCV. — 6. *φάρμακα* om. J. — Ib. *θερμά*] *καί* C; om. ABJV. — Ib. *εἶναι θερμά* AC; *εἶναι θερμὰ καὶ ξηρά* J marg. — 7. *εἰ* ABC 1ª m. GV. — Ib. *αὐτόν* B text.; *αὐτοῖ* B corr. CGJXV Galª.; *ἑαυτοῦ* Gal. — 8. *αὐτ. οἷον τῶν* G; *αὐτ. τουτέσΊι τῶν* Gal. — 9. *Οὐκοῦν* ABCGJV Gal. — Ib. *ταύτης* ABCV. — 10. *θερμασίας* Gal. — 11. *εἰς μέν* ABCV. — Ib. *ἐργ. αὐτήν* J Gal., Galª. — 12, et p. 83, l. 1. *χρὴ… χυμῶν* om. ABC 1ª m. V.

χυμῶν κενώσεως γίνεσθαι τῆς βλάβης, ἣν ἐξ ἀνάγκης βλάπτεται τὸ σῶμα πρὸς τῶν καθαρτικῶν Φαρμάκων· ἔστι δὲ ἡ ὠφέλεια μείζων, ἐὰν ἄλυπός τε καὶ πᾶς ὁ βλάπτων κενωθῇ χυμός· ἵνα δὲ τοῦτο γένηται, πρῶτον μὲν χρὴ περισκέψασθαι, εἰ ἐπιτηδείως ὁ κάμνων ἔχει πρὸς τὴν τοιαύτην κάθαρσιν· οἵ τε γὰρ ἐξ ἀπεψιῶν πολλῶν, ἢ γλίσχρων, ἢ παχέων ἐδεσμάτων ὄντες, ὡσαύτως δὲ οἷς ὑποχόνδρια τέταται καὶ ἐμπεφύσηται, ἢ ὑπερβαλλόντως ἐστὶ θερμὰ καὶ πυρώδη, ἢ καί τις αὐτόθι τῶν σπλάγχνων φλεγμονὴ, πάντες οὗτοι
31 πρὸς τὰς καθάρσεις ἀνεπιτήδειοι. Χρὴ τοίνυν ἀπεῖναί τε ταῦτα, καὶ τοὺς χυμοὺς, ὡς ἔνι μάλιστα, τοῦ κάμνοντος εὐρουστάτους εἶναι, τουτέστι λεπτούς τε καὶ ἥκιστα μετέχοντας γλισχρότητός τινος, ἀναπεπταμένους τε τοὺς πόρους, διὰ ὧν ἡ κάθαρσις μέλλει γενήσεσθαι· ταῦτα γὰρ καὶ ἡμεῖς προπαρασκευάζομεν, ἐπειδὰν μέλλωμεν
32 καθαίρειν τινά. Ἀλλὰ ἔν γε τοῖς ὀξέσι νοσήμασι κατ' ἀρχὰς εὐθὺς

en donnant des médicaments purgatifs; or cet avantage primera, si toute l'humeur nuisible est évacuée sans causer des incommodités; pour que cela puisse arriver, on examinera d'abord si le malade est dans un état qui favorise une pareille purgation; car ceux qui viennent d'éprouver plusieurs indigestions, ou de prendre des aliments visqueux ou épais, et aussi ceux qui ont les hypocondres tendus et gonflés, ou démesurément chauds et brûlants, ou chez lesquels il y a quelque inflammation des
31 viscères dans cette région, ne se prêtent pas aux purgations. Il importe donc que ces circonstances n'existent pas et que les humeurs soient aussi coulantes que possible, c'est-à-dire ténues et arrivées au plus faible degré possible de viscosité; en outre, les conduits par lesquels la purgation doit s'opérer doivent être béants, car c'est justement cet état que nous
32 tâchons de produire par la préparation, quand nous voulons purger. Mais,

1. λαμβάνεται Gal. — 2. καθαιρόντων Gal. — 2-3. μείζων om. ABCGJVX. — 3. ἐὰν ἀλύπως J Gal., Gal[a].; ἐν ἀλύποις G; ἐνάλυπός ABC 1[a] m. V. — Ib. βλάπτ. καὶ λυπῶν Gal. — 4. γένοιτο Gal. (Hum.) — Ib. δεῖ A 1[a] m. X Gal.; δή G. — Ib. προσκέψασθαι Gal. — 6. ὄντες om. Gal. — Ib. οἷς καί Gal.; καὶ οἷς J. — 7. τέταται καὶ πεφύσηται X Gal[a].; διατεταμένα πεφύσ. Gal. — 8. πυῤῥώδη Gal[a].; πυῤῥώδη τὰ οὖρα Gal. — Ib. ἤ om. Gal. — Ib. τῆς ABC 1[a] m. V. — Ib. τῶν om. X. Gal[a]. — 9. ἐπιτήδειοι ABCGV. — Ib. ἐπεῖναί AB. — Ib. τε om. J. — 11. τε om. Gal. — Ib. ἧττον X Gal[a]. — 12-13. γενέσθαι Gal.; γίνεσθαι J. — 14. τινὰ καθαίρειν BCVX Gal[a].; τινὰ καθαιρεῖν A.

ἤτοι κατὰ τὴν πρώτην ἡμέραν, ἢ οὐκ ἐξωτέρω τῆς δευτέρας μελλόντων ἡμῶν χρῆσθαι ταῖς καθάρσεσιν, ὅταν ὀργᾷ, τὴν τοιαύτην παρασκευὴν οὐκ ἐγχωρεῖ γενέσθαι, πλὴν εἰ μὴ ἄρα σχοίη τις καιρὸν μελίκρατον δοῦναι πίνειν, ἐναφεψήσας ὑσσώπου τι, ἢ ὀριγάνου, ἢ τραγοριγάνου, ἢ θύμου, ἢ γληχοῦς, ἤ τινος τῶν οὕτω λεπτυνόντων, ὥστε εὐλόγως ὀλιγάκις ἐν τοῖς ὀξέσι νοσήμασι κατ' ἀρχὰς γενήσεται ἡμῖν χρεία φαρμακείας τῷ μήτε πολλάκις ὀργᾷν ἐν ἀρχῇ τοὺς λυποῦντας χυμοὺς, μήτε, εἰ καὶ τοῦτο ὑπάρχει, τοῦ νοσοῦντος ἐπιτηδείου πρὸς τὴν κάθαρσιν ὄντος, ἀλλὰ μηδὲ καιρὸν ἡμῖν παρέχοντος ἐπιτήδειον αὐτὸν παρασκευάσαι. Ὀργᾷν δὲ οἱ χυ- 33
μοὶ λέγονται, ὅταν ἐν κινήσει σφοδροτέρᾳ γενόμενοι καὶ μεταῤῥύσει μορίων εἰς μόρια κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐνοχλῶσι τὸν ἄν-

lorsque, dans les maladies aiguës, nous voulons employer dès le début un médicament purgatif, soit le premier jour, soit à une époque qui ne dépasse pas le second, lorsque les humeurs sont en turgescence, il n'est pas possible de soumettre le malade à une pareille préparation, à moins qu'on n'ait le temps de donner à boire de l'eau miellée, dans laquelle on a fait bouillir un peu d'*hysope*, d'origan, d'*origan de bouc*, de *thym*, de pouliot, ou de quelque médicament qui atténue de cette manière; il est donc probable que nous aurons rarement besoin de purger au début des maladies aiguës, parce que les humeurs qui incommodent ne sont pas souvent en turgescence au commencement, et que, même s'il en était ainsi, le malade non-seulement se prêterait mal à l'emploi de la purgation, mais ne nous fournirait pas même un temps opportun pour l'y préparer. Or, on 33
dit que les humeurs sont turgescentes, quand elles se trouvent dans un état de mouvement plus ou moins violent, qu'elles sont en voie de transport d'une partie à une autre, et qu'ainsi elles incommodent le malade,

1. *κατά*] *περί* Gal. — Ib. *ἔξω* Gal. — 1-2. *μελλόντων* om. JG. — 2. *ἡμῶν* om. JX. — Ib. *χρᾶσθαι* G. — 3. *μή* om. Codd. Gal[a]. — 4. *μελ. ἄκρατον* X Gal[a]. — Ib. *πιεῖν* X Gal. — Ib. *τι ἤ*] *τήν* ABV; *ἤ* CJ. — 5. *ἢ θύμου* om. X. — Ib. *γλήχωνος* GX Gal. — 6. *νουσήμασι* G. — 7. *φαρμάκων* X Gal[a]. — Ib. *πολλάκις*] *ποτέ* J. — 7-8. *ὀργ. τ. λυπ. ἐν ἀρχῇ* X. — 8. *τούτοις* ABC 1[a] m. V; *τι τούτων* Gal.; *τούτους* J. — 9. *ἂν ἐπιτ.* Gal[a].; *ἀνεπ.* XC 2[a] m. — Ib. *ἔχοντος* Gal. — 10. *παρέχ. τοῦ νοσήματος* Gal. — Ib. *αὐτόν* om. X Gal[a]. — 11. *ὅταν κινήσεις σφοδρότεραι* G. — Ib. *μεταῤῥέοντες* JX Gal[a] — 12. *ἀπὸ μορίων* JX Gal[a]. — Ib. *ἐνοχλῶσι* ex em.; *ἐνοχλοῦσι* Gal.; *ὀχλῶσι* Codd. Gal[a].

θρωπον, ἀνιῶντες καὶ γαργαλίζοντες καὶ ἡσυχάζειν οὐκ ἐπιτρέ-
34 ποντες. Τοὺς μὲν οὖν τοιούτους ἐκκενοῦν προσήκει, τουτέσΊι τοὺς
ἐν κινήσει καὶ Φορᾷ καὶ ῥύσει· τοὺς δὲ κατὰ ἕν τι μόριον ἐσΊη-
ριγμένους οὔτε ἄλλῳ τινὶ βοηθήματι χρὴ κινεῖν, οὔτε Φαρμακεύειν
πρὶν πεφθῆναι· τηνικαῦτα γὰρ ἤδη καὶ τὴν Φύσιν ἕξομεν βοη-
θοῦσαν τῇ κενώσει· Φαίνεται γὰρ αὕτη μετὰ τὰς πέψεις διακρί-
νουσά τε τοὺς χυμοὺς ἀπωθουμένη τε τὸ περιτΊὸν, ἐν ᾧ δὴ καιρῷ
καὶ αἱ κρίσεις γίνονται, ἀλλὰ, τελέως μὲν αὐτῆς κινουμένης, οὐδὲν
δεῖ Φαρμάκου· μετριώτερον δὲ καὶ ἀσθενέσΊερον ἐνεργούσης, τὸ
35 λεῖπον αὐτοὺς χρὴ προσΊιθέναι Φαρμακεύοντας. Χρὴ δὲ εἰδέναι,
ὡς αἱ μεταῤῥύσεις ἄλλοτε εἰς ἄλλο μόριον τῶν χυμῶν ὀλιγάκις γί-
νονται, τὰ πλείω δὲ ἡσυχάζει κατὰ ἕν τι μόριον, ἐν ᾧ καὶ πέτΊεται,

en lui causant des agacements et des chatouillements et en ne lui permet-
34 tant pas de se tenir tranquille. On évacuera donc ces humeurs, c'est-à-
dire celles qui sont en mouvement, en fluxion, en voie de transport,
tandis qu'on ne doit ni purger, ni mettre en mouvement par quelque
autre remède, celles qui sont fixées dans une partie déterminée, avant
qu'elles ne soient arrivées à coction, car c'est alors seulement que nous
aurons la nature pour auxiliaire, en opérant la déplétion; en effet, on
voit qu'après la coction elle sépare les humeurs et repousse ce qu'il y a
de superflu, et c'est justement à cette époque que se font les crises; mais,
si la nature opère un mouvement complet, nous n'avons nul besoin de
médicaments purgatifs, tandis que, si elle agit d'une manière plus res-
treinte et plus faible, nous devons suppléer nous-mêmes, à l'aide de ces
35 médicaments, à ce que son mouvement a d'incomplet. On doit savoir
que les transports des humeurs, tantôt vers telle partie, tantôt vers telle
autre, n'ont lieu que rarement, et que le plus souvent elles restent im-

1. ἀνιῶντες ex em.; ἀνιόντ. ABCGJVX; κινοῦντες Gal.; ἀλγοῦντες καὶ ἀσῶντες Galª.; ἀσσῶντες X. — 2. μὲν δὴ τοιουτ. Gal.; οὖν τοιουτ. X. Galª. — 2-3. τουτ. τοὺς ἐν κιν. om. C 1ª m. — 3. δ' ἤδη κ. Gal., Galª. — 4. τινί om. G. — Ib. κενοῦν A 1ª m. — 5. γαρ τήν X; γὰρ καὶ τήν Galª. — Ib. ἔχομεν Gal.; ἕξομεν γάρ G. — 6. τὸ κενῶσαι G. — Ib. γάρ τοι καί Gal. — 6-7. διακινοῦσά ABC 1ª m. GJV. — 7. ἀποθεμένη X. — 8. αἱ om. ABCGV Galª. — Ib. οὐδενός Gal. — 11. μεταῤῥυήσεις ABC 1ª m. V. — Ib. ἄλλω τις G. — Ib. εἰς ἄλλον G; om. A 1ª m. — Ib. τὸν χυμόν ABC 1ª m. V. — 11-12. γίνεται J. — 12. τὰ δὲ πλείω X Galª. — Ib. ἡσ. καὶ μένει Gal., Galª. — Ib. πέτΊονται Gal.

παρὰ ὅλον τοῦ νοσήματος τὸν χρόνον ἄχρι λύσεως. Ὅταν οὖν μὴ 36
μόνον ὀξὺ τὸ πάθος ᾖ, ἀλλὰ καὶ μετὰ πυρετοῦ σφοδροτάτου, εὐλα-
βητέον ἐστὶ τὴν δόσιν τοῦ καθαίροντος φαρμάκου, καὶ μάλιστα
ὅταν ἀπείρως τις ἔχῃ τῆς τοῦ κάμνοντος φύσεως· ἔνιοι μὲν γάρ εἰσι
φύσει δυσκάθαρτοι, τινὲς δὲ ἐπὶ βραχείᾳ πόσει φαρμάκου καθαί-
ρονται δαψιλῶς. Ὅταν οὖν ὁ πυρετὸς ᾖ μὴ σφοδρὸς, ἔμπειρός τε 37
ᾖς τῆς φύσεως τοῦ κάμνοντος, ἐπὶ τὴν τοῦ φαρμάκου δόσιν ἀφίξῃ,
χρώμενος ἐλλεβόρῳ μέλανι, ἤ τινι τῶν ὁμοιοτρόπων, ὧν ἐστι καὶ
τὸ διὰ τῆς κολοκυνθίδος, ἱερὰν δὲ αὐτὴν συνήθως ὀνομάζουσιν. Ποι- 38
κίλως δὲ αὐτῆς σκευαζομένης, ἡ τὸν ἐλλέβορον μὲν εἰληφυῖα, τὴν
σκαμμωνίαν δὲ οὐκ ἔχουσα, κάλλιστόν ἐστι φάρμακον ἐπὶ τῶν δυ-
ναμένων ὅλως λαβεῖν φάρμακον ὑπήλατον. Μετὰ δὲ τὸ ληφθῆναι 39
τὸ καθαρτήριον συμφέρει τῆς πλισάνης ἐπιῤῥοφεῖν, ὥς φησιν Ἱππο-

mobiles pendant tout le cours de la maladie, jusqu'à sa solution, dans
une seule partie, où elles subissent aussi la coction. Si donc la maladie 36
n'est pas seulement aiguë, mais aussi accompagnée d'une fièvre très-
violente, on doit craindre de donner un médicament purgatif, surtout
quand on ne connaît pas la nature du malade, car quelques-uns sont na-
turellement difficiles à purger, tandis que d'autres éprouvent une pur-
gation abondante après avoir bu une petite quantité du médicament. Si 37
donc la fièvre n'est pas forte et si vous connaissez par expérience la na-
ture du malade, vous aurez recours au médicament purgatif et vous em-
ploierez l'ellébore noir, ou quelque autre médicament du même genre :
tel est, par exemple, celui qu'on prépare avec la coloquinte et qu'on
appelle habituellement *sacré.* On le prépare de différentes manières; mais 38
celui où on a mis de l'ellébore, sans qu'il y entre de la scammonée, est un
excellent médicament pour ceux qui, du reste, se trouvent dans des condi-
tions telles, qu'ils peuvent prendre un purgatif. Après qu'on a pris le pur- 39
gatif, il est bon de boire la ptisane, comme Hippocrate le prescrit; car le

1. *τόν* om. Gal. — 2. *ὀξὺ πάθος* GX Gal[a].; *ὀξυπαθῶς* ABCV. — 5. *τῇ φύσει* G. — 5-6. *δόσει καθαίρονται* X. — 7. *ἐς* Gal. — 8. *τινι* (om. *ἤ*) BC 1[a] m. V; *μέλλῃ τινί* A; *ἢ καί τισιν ἄλλοις* Gal. — Ib. *τὸν ὅμοιον τρόπον* V; *ὅμοιον τρόπον* ABC. — Ib. *ὅν* G; *ὥς* ABC 1[a] m. V. — 9. *τό* om. ABC 1[a] m. V. — Ib. *αὐτόν* C 1[a] m.; *αὐτὴν ἤδη* Gal. — 10. *μέν* om. ABCGV Gal[a]. — 11-12. *ἐπὶ...... φάρμακον* om. X Gal[a]. — 12. *λειφθῆναι* X.

κράτης· αὐτὸ μὲν γὰρ τὸ καθαρτικὸν, ὡς ἂν ὀλίγον ὂν, εἰς τὸν
πυθμένα τῆς κοιλίας ἀφικνεῖται· κατὰ δὲ τὴν δίοδον ὅ τε στόμαχος
ὅσον τε τῆς γαστρὸς ὑψηλὸν οὐ μόνον τῆς ποιότητος τοῦ καθαί-
ροντος, ἀλλὰ καὶ τῆς οὐσίας προσιζούσης ἐν τῇ διόδῳ μεταλαμβά-
40 νοντα μεγάλως βλάπτεται. Χρήσιμος οὖν ὁ χυλὸς τῆς πτισάνης
ἐπιῤῥοφούμενος, ὡς ἀποῤῥύψαι μὲν καὶ κατασῦραι κάτω τὸ προσ-
πεπλασμένον ἐν τῇ διόδῳ δυνάμενος, ἐπικεράσαι δὲ καὶ ὑπαλλάξαι
41 τὴν ἐνιζηκυῖαν τοῖς μορίοις ποιότητα τοῦ φαρμάκου. Διὰ ταῦτα
μὲν οὖν ἐπὶ τῇ τοῦ καθαρτικοῦ πόσει κελεύει τῆς πτισάνης ἐπιῤῥο-
φεῖν· ἀρξαμένης δὲ γίνεσθαι τῆς καθάρσεως, οὐκέτι βούλεται δί-
δοσθαι τῆς πτισάνης, εὐλαβούμενος ἐκλυθῆναι τὴν ἐνέργειαν τοῦ
καθαίροντος φαρμάκου.

purgatif descend, il est vrai, immédiatement au fond de l'estomac, parce
qu'il est d'un petit volume, cependant l'œsophage et toute la partie su-
périeure de l'estomac en éprouvent un dommage assez considérable,
attendu que, pendant le passage, ces parties sont exposées à l'action non-
seulement des qualités du purgatif, mais aussi à celle de sa substance
40 qui s'y attache, pendant que le médicament les traverse. Il est donc utile
de prendre de la ptisane passée après le purgatif, parce que cette prépa-
ration a la propriété de déterger et d'entraîner avec elle, vers le bas, ce
qui s'était attaché aux parties pendant le passage, et qu'elle peut, en
même temps, tempérer et changer les propriétés du médicament pur-
41 gatif qui avaient pénétré dans la substance même des parties. Pour cette
raison donc Hippocrate recommande de prendre la ptisane après qu'on a
bu le purgatif; mais, quand la purgation a déjà commencé à s'effectuer,
il ne veut plus qu'on en donne, dans la crainte d'affaiblir l'activité du
purgatif.

1. γὰρ μέν G. — Ib. τὸ καθ. φάρμακον GJX Gal., Gal[a]. — 2. δέ] τε ABCV. — Ib. τε om. Gal. — 3. ὑψηλότερον τῆς γ. Gal. — 3-4. καθαίροντος φαρμάκου Gal.; it. l. 9. — 4-5. μεταλαμβάνων Gal. Gal[a].; μεταλαμβάνον J; μεταλαμβάνοντας X. — 5. βλάπτονται ABCJV. — Ib. ὁ om. ABC 1[a] m. GVX. — 6. ἐπιῤῥοφᾷν G. — Ib. ὡς ἂν X Gal. Gal[a]. — 8. ποιότητα ABCV. — 9. τῇ om. ABC 1[a] m. GV. — Ib. τῆς om. Gal. — 11. τῆς om. ABCV Gal[a].

κδʹ. Κατὰ πόσους τρόπους οὐκ ἐκκρίνει ἡ γασ7ὴρ, καθαρτηρίου δοθέντος;

Οὐκ ἐκκρίνει δὲ ἡ γασ7ὴρ ἐνίοτε καθαρτηρίου δοθέντος, ἤτοι διὰ 1
τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος φύσεως, ἢ διὰ βραχύτητα τοῦ δοθέντος φαρμάκου· πολλάκις δὲ καὶ κόπρος ἐσφηνωμένη σκληρὰ κατά τινα τῶν ἐντέρων ἐκκενωθῆναι δεομένη διὰ κλυσ7ῆρος πρὶν δίδοσθαι
τὸ καθαῖρον φάρμακον κωλύει τὴν κένωσιν. Δύναται δὲ καὶ, τῆς φύ- 2
σεως ἐπὶ οὖρα τὴν ὁρμὴν πεποιημένης, τὸ καθαρτικὸν μηδὲν ἀνύειν.
Ἔνιά γε μὴν, ὅταν ἀποτύχῃ καθαίροντα, τὰ μὲν πρὸς τῷ βλάπ7ειν 3
μηδὲν τὸ σῶμα καὶ τροφὴ γίνεται τοῦ ζῴου· τὰ δὲ εἰς τὸ φθαρτικόν τε καὶ δηλητήριον ἐκτρέπεται.

κεʹ. Περὶ τῶν μιγνυμένων τοῖς καθαρτηρίοις.

Πάντων δὲ τῶν καθαιρόντων φαρμάκων κακούντων τὴν γασ7έρα, 1

24. DE COMBIEN DE MANIÈRES IL PEUT SE FAIRE QUE LE VENTRE N'EXPULSE RIEN APRÈS L'ADMINISTRATION D'UN PURGATIF.

Quelquefois le ventre n'expulse rien après l'administration d'un pur- 1
gatif, soit à cause d'une disposition spéciale de la nature du malade, soit parce que le purgatif a été administré en trop petite quantité; souvent aussi ce qui empêche la déplétion de se produire, ce sont des matières fécales dures, enclavées dans quelque partie de l'intestin et qui auraient eu besoin d'être évacuées à l'aide d'un lavement avant qu'on donnât le
médicament purgatif. Il peut arriver aussi que le purgatif ne produit 2
aucun effet, parce que la nature a son activité tournée du côté des urines.
Si les médicaments purgatifs échouent, quelques-uns, non-seulement ne 3
causent aucun dommage, mais se changent en nourriture, tandis que d'autres se convertissent en agents de corruption et de mort.

25. DES INGRÉDIENTS QU'ON MÊLE AUX MÉDICAMENTS PURGATIFS.

Comme tous les médicaments purgatifs lèsent l'estomac, et surtout son 1

Ch. 24; l. 1. ἐνίοτε δὲ καθ. G. — 2. διὰ τὴν βρ. X Gal[a]. — 3. πολλάκις] ποτέ J. — 4. τινων ABCV. — Ib. δυναμένη Gal[a]. — Ib. πλήν ABC 1[a] m. V. — 6. ἐπ' οὖρον J; ἐπ' οὔρον X. — 7. Ἐνίοτε μήν (μέν Gal[a].) X Gal[a]. — Ib. τὰ μέν om. X. — Ib. πρὸς τό ABCGJV. — 8. ἐπί X Gal[a]. — Ib. φάρμακόν ABC 1[a] m. GJV. — Ch. 25; l. 10. Ἁπάντων Gal.

καὶ μάλιστα αὐτῆς τὸ στόμα, διότι νευρωδέστατόν ἐστι καὶ αἰσθητικώτατον, ἡ μίξις ἐπενοήθη τῶν εὐωδῶν, ὅπως μὴ μόνη, μηδὲ ἀκραιφνὴς ἡ δύναμις αὐτῶν ἅπτηται τοῦ στόματος τῆς γαστρός.
2 *Χρὴ δὲ εἶναι τὰ μιγνύμενα σπέρματα τοιαῦτα, ἃ καὶ τὴν κακίαν ϖέφυκεν ἀμβλύνειν, καὶ τὴν ἐνέργειαν αὐτῶν μὴ κωλύειν, λεπτυντικῆς τε καὶ τμητικῆς ὄντα δυνάμεως, ὥστε τοὺς ϖαχεῖς χυμοὺς τέμνειν, καὶ τὰς ὁδοὺς αὐτῶν, διὰ ὧν ἐκκενοῦνται, διοίγειν τε καὶ*
3 *ἀναστομοῦν. Δεῖ δὲ καὶ ὁμονοεῖν ἀλλήλοις τὰ μιγνύμενα καθαρτικὰ, καὶ κατὰ μηδὲν στασιάζειν, ἡ δὲ στάσις αὐτῶν γίνεται οὐχ ὅταν τὸ μὲν χολῆς, εἰ τύχοι, τὸ δὲ φλέγματος ᾖ κενωτικόν· ἀμφότερα γὰρ ἐκκενοῦσθαι δύναται κατὰ τὸν αὐτὸν χρόνον· ἀλλὰ ὅταν τὸ μὲν εὐθέως, τὸ δὲ μετὰ ϖολὺ τῆς ϖροσφορᾶς ϖεφύκῃ κινεῖν τὴν*

orifice, attendu qu'il est très-abondamment pourvu de nerfs et qu'il est doué d'une sensibilité très-exquise, on a inventé d'y mêler des substances odoriférantes, afin que le médicament ne frappe pas tout seul et sans mé-
2 lange l'orifice de l'estomac. Les graines qu'on y ajoute doivent être de telle sorte qu'elles soient capables d'amortir les propriétés malfaisantes de ces médicaments sans mettre obstacle à leur activité, étant douées de vertus atténuantes et incisives; elles doivent donc diviser les humeurs épaisses, et ouvrir et aplanir les voies par lesquelles ces humeurs sont évacuées.
3 Les médicaments purgatifs qu'on mêle ensemble doivent aussi s'accorder entre eux et ne pas être en antagonisme; or cet antagonisme a lieu, non pas lorsque, par exemple, l'un d'eux évacue la bile tandis que l'autre évacue la pituite (car ces deux humeurs peuvent être évacuées simultanément), mais lorsque l'un d'eux est de nature à opérer immédiatement la déplétion, tandis que l'autre ne donne lieu à la purgation que long-

1. *ταύτης* Gal. — 1-2. *διότι.... εὐωδῶν* om. V. — 1. *διότι*] *διὰ τό* X Galª. — Ib. *ἐστι*] *τε* Gal.; *εἶναι* X. — 1-2. *αἰσθ., διὰ τοῦτο ἡ μ.* G. — 3. *σώματος* C Galª. — Ib. *γαστέρος* C; C 2ª m. aj. *καὶ ἔμετον κινῆται.* — 4. *εἰδέναι* JX. — Ib. *σπέρμ. εἶναι τ.* X. — 5. *μή* om. BV. — 6. *τε* om. X. — Ib. *ὥστε*] *ὡς καί* GJ Gal.; *ὥστε καί* C 2ª m. Galª.; *καί* ABCV. — 7. *τέμνεσθαι* Gal. — Ib. *διανοίγειν* X Galª.; *διώκειν* G. — 8. *ὁμολογεῖν* Gal.; *ὁμοειδῆ* Galª. — 9-10. *στασιάζειν..... τὸ δέ* om. X. — 9. *ἡ γάρ τοι στ.* Gal. — Ib. *γινέσθω* ABCV. — 10. *τὸ μὲν..... φλέγμ.* om. ABC 1ª m. V. — 11. *χρόνον*] *τρόπον* ABCGVJX Galª. — 12. *τὸ δὲ μέν* X. — Ib. *μετὰ ταῦτα ϖ.* ABGJVX.

κάθαρσιν· ἀνώμαλος γὰρ οὕτως ἡ κένωσις γίνεται, προσενεχθέντων ἅμα· λέγω δὲ ἀνώμαλον, ὅταν, ἤδη παύεσθαι δοκούσης, ἀρχὴ πάλιν ἑτέρας κενώσεως γίνηται.

κϛʹ. Περὶ καθαρτηρίων. Ἐκ τῶν Ῥούφου.

Οὔτε πάντας τοὺς ὁπωσοῦν διακειμένους καθαρτέον, οὔτε ἐν 1
ἁπάσῃ ὥρᾳ, οὔτε ὅπῃ καὶ τύχοι· αὐτίκα τοὺς ὑγιαίνοντας καὶ μηδὲν περίσσωμα ἔχοντας οὐ χρὴ καθαίρειν· τί γὰρ δὴ καὶ ὄφελος οἰκεῖα ἀφαιρεῖν; ἀτὰρ καὶ | σὺν πόνῳ ἄξεις· ἀντισπᾶν γὰρ δὴ ἀνάγκη, 4
τὴν μὲν φύσιν ὅτι χρηστὸν ἦν, τὸ δὲ φάρμακον κενοῦν ἐθέλον. Ἐπὶ 2
ταῖς μικραῖς οὖν ἐκκρίσεσι λειποθυμίας καὶ ἐκλύσεις καὶ ἀπορίας

temps après qu'il a été administré : de cette manière, la déplétion devient inégale, si on donne les deux médicaments à la fois; or j'appelle une déplétion inégale, quand une autre purgation commence à l'instant où la première semble s'arrêter.

26. DES MÉDICAMENTS PURGATIFS. — TIRÉ DE RUFUS.

Ne purgez pas tout individu dans quelque état qu'il se trouve, ni dans 1
toute saison, ni par telle voie qui plaira le mieux; par exemple ne purgez pas les gens sains et qui n'ont aucune superfluité dans le corps; quel avantage y a-t-il, en effet, à détacher quelque chose qui a de l'affinité avec l'économie? mais, de plus, vous produirez une évacuation accompagnée de souffrances; car on tiraille nécessairement en sens contraire, la matière étant naturellement bonne et le médicament voulant agir. Les 2
évacuations seront donc peu considérables, et, malgré cela, donneront lieu à des défaillances, à des affaiblissements, ou à d'autres incommo-

1. ἀνωμάλως AC 1[a] m. — Ib. ἡ κένωσις οὕτω X Gal[a]. — 2. ἀνωμάλην B text.; ἀνωμάλων AB corr. C 1[a] m.; ἀνωμάλως J. — Ib. δοκούσης αὐτῆς CGX Gal[a].; δοκῶσιν αὐτῆς ABJV. — 3. γίνεται ABCGV Gal. — Ch. 26. Tit. Π. καθάρσεως BV. — 5. ὅπως J. — Ib. τύχῃ GPR. — Ib. αὐτ. καὶ τούς V. — 5-6. καὶ..... ἔχοντ. om. X. — 6. περίσσωμα GP; περίτλωμα reliq. — Ib. οἰκεῖα X; οἰκείας ABCGV; οἰκείου reliq. — 7. ἄξεις· ἀντισπᾶν ex em.; ἕξεις· ἀντισπᾶν X; ἄξεις τις πᾶν ABG; ἄξεις τι πᾶν V; ἄξει τις πᾶν rel. — Ib. γὰρ δὴ ἀνάγκη ex em.; γ. ἀνάγκη δή X; γ. ἀνάγκην G; γ. δι' ἀνάγκην rel. — 8. τῇ μὲν φύσει JLR. — Ib. ὅταν J. — Ib. ἢ X. — Ib. δέ om. K. — Ib. ἐθέλει K. — 9. ἐκλύσεσι JK. — Ib. καί om. C. — Ib. ἐκκρίσεις BV; ἐκκαύσεις X.

Matth. 4-5.

ἄλλας παρέξεις· εἰ γὰρ καὶ ὁποσονοῦν κενώσεις, ἀλλὰ οἰκεῖόν γε
3 ἀφαιρήσεις. Εἰ δὲ τύχοι ὁ ἄνθρωπος φλέγματός τι ἔχων, ἢ χολῆς,
ἢ καὶ ἄλλην τινὰ χυμῶν πλεονεξίαν, ἐνταῦθα εὐπετὲς μὲν καθαί-
ρειν· διὰ ἀμφοτέρων γὰρ αἱ καθάρσεις, καὶ τῇ φύσει καὶ τῷ φαρ-
μάκῳ, ῥᾴων δὲ ἀεὶ καὶ μᾶλλον γίνεται καθαιρόμενος, ἅτε δὴ λυπηρῶν
4 ἀπερχομένων. Πεφυλάχθαι δὲ καὶ τοὺς παχεῖς καὶ τοὺς φθινώδεις
5 τὰς ἕξεις· οἱ μὲν γὰρ συντήκονται ταχὺ, οἱ δὲ ὑπὸ | τῆς λεπτότη-
5 τος καὶ ὁποσονοῦν κενούμενοι βλάπτονται. Πεφυλάχθαι δὲ καὶ ὡρῶν
μεταβολὰς ἐξαπιναίους, καὶ ὅσαι ἄστρων ἐπιτολαὶ ἢ δύσεις τρέ-
πουσι μειζόνως, ἀρκτοῦρον λέγω καὶ πλειάδα καὶ τροπὰς καὶ ἰση-
μερίας καὶ κύνα· πρὶν γὰρ καταστῆναι καλῶς κινεῖν οὐ συμφέρει.
6 Ἐν δὲ ταῖς κάτω φαρμακείαις αἱμοῤῥοΐδας τε φυλάττεσθαι καὶ γυ-

dités; car, quelque petite que soit l'évacuation, vous enlèverez toujours
3 quelque chose qui a de l'affinité avec l'économie. Si, au contraire,
l'individu a un peu de pituite, ou de bile, ou quelque autre humeur en
surabondance, il est facile de le purger, car l'expulsion se fait par les
deux mobiles à la fois, la nature et le médicament; et celui qu'on purge
se sent de plus en plus à son aise, attendu que les matières expulsées le
4 gênaient. On évitera aussi de purger ceux qui ont de l'embonpoint ou une
complexion phthisique; car, chez les premiers, l'embonpoint se fond rapi-
dement, et chez les seconds toute purgation, quelque petite qu'elle soit,
5 est nuisible à cause de la maigreur. On se gardera encore des transitions
subites des saisons, ainsi que du coucher et du lever des constellations
qui causent de grands changements; je veux parler d'Arcture, des Pléiades,
des solstices, des équinoxes et de la Canicule; en effet, avant que tout
soit revenu à son état habituel, il ne convient pas de mettre en mouve-
6 ment les matières. On prendra aussi des précautions pour les purgations

1. πράξεις RX. — Ib. ὁπωσοῦν CX. — 2. ἢ om. R. — 5. ῥᾴων X; ῥᾶον rel. — Ib. αἰεί ABV. — Ib. καθαιρόμενος X; καθαιρόμενον reliq. — Ib. δή om. X. — 5-6. λυπηρὸν ἀπερχόμενον ABCMV. — 6. παραφυλάχθαι G^a. — Ib. δεῖ G. — 7. γάρ om. A. — Ib. παχεῖς M. marg. — Ib. οἱ δέ] δέ ABCJKMV; δὲ καί LR; om. G^a. — Ib. ἀπό JKLR. — 7-8. λεπτοτάτης JGKL. — 8. ὁπωσοῦν CJKLPRX. — Ib. κινούμενοι R. — Ib. καί X; om. reliq. — 11. πρίν] τήν C 1^a m. — Ib. κατάστασιν C 2^a m. — Ib. κενοῦν M marg., Gal. — 12. φυλάττειν G^a.; πεφυλάχθαι R.

*ναικεῖον ῥοῦν αἱματώδη, καὶ ὅσοι τεινεσμώδεις εἰσὶ, καὶ διαῤῥοϊ-
κοὶ, καὶ ἑλκοῦνται τὸ ἔντερον, καὶ ὅσοι ξηρὰς πάνυ τὰς κοιλίας
ἔχουσιν.* Τούτους *δὲ εἴ τις ἀνάγκη καθαίρειν, κλυ|σμῷ προκενώσας* 7 6
κάθαιρε. Ἐν *μὲν ταῖς κάτω φαρμακείαις πεφυλάχθαι ταῦτα· ἐν δὲ* 8
*ταῖς ἄνω, νοσήματα μὲν τὰς βῆχας καὶ τὰ ἄσθματα καὶ τὰ εἴσω
ἕλκη, τὸ μὲν τοῦ πνεύμονος τὴν φθίσιν, τὸ δὲ τοῦ ἥπατος τὴν
σύντηξιν, καὶ εἴ ποτε αἷμα πτύσας, ἀλλὰ νῦν φαίνοιτο ἔχειν κάλ-
λιον· κίνδυνος γὰρ ἀναῤῥαγῆναι τὴν φλέϐα· καὶ ὅν τινα τῶν κατὰ
γαργαρεῶνα, ἢ φάρυγγα, ἢ τράχηλον νοσημάτων ἐνοχλεῖν εἴθισται·
πάντα γὰρ ταῖς ἄνω καθάρσεσι κωλύματά ἐστι, καὶ μάλιστα τῷ ἐλλε-
ϐόρῳ, καὶ προσέτι αἱ καρδιαλγίαι, καὶ τὸ μήτε ἂν κατασχεῖν σιτίον,
μήτε ἂν ἐξεμέσαι.* Ἰδέαν *δὲ σώματος εἰς τὴν ἄνω κάθαρσιν πεφυλάχθαι* 9

par le bas, en cas d'hémorroïdes, ou de flux sanguin chez les femmes,
ainsi que chez les individus affectés de ténesme, de diarrhée, d'ulcères
aux intestins, ou qui ont habituellement le ventre très-resserré. S'il y a 7
quelque nécessité de purger ces derniers, faites-le après avoir donné un
lavement. Telles sont les circonstances qu'on doit éviter pour les purga- 8
tions par le bas; pour les purgations par le haut, on se gardera, eu égard aux maladies, de la toux, de l'asthme et des ulcères internes, qui sont la phthisie du poumon, ou la fonte du foie; on prendra aussi des précautions pour ceux qui ont craché autrefois du sang, quoiqu'ils semblent se porter mieux pour le moment (car il y a danger de rupture d'un vaisseau), pour ceux qui sont habituellement incommodés de quelque maladie de la luette, de la gorge, ou du cou; car toutes ces circonstances sont des obstacles pour les purgations par le haut, et surtout pour l'ellébore; enfin on se défiera encore des cardialgies et de l'état de ceux qui ne peuvent ni retenir leurs aliments, ni les rejeter par le vomisse-
ment. Quant à la forme extérieure du corps, on prendra, pour les purga- 9

2. *τό* om. X. — Ib. *ὁκόσοι* G[a]. — 3. Τούτοις CJKMV. — 4. *μέν*] *δέ* G[a] R. — 5. *ἔσω* G. — 6. *τοῦ μὲν τοῦ* AC 1[a] m. M; *τοῦ μέν* JKLMR; *τὰ μὲν τοῦ* X. — Ib. *φθ. τοῦ δὲ ἥπ.* JKLMR Gal.; *φθ. τὰ δὲ τοῦ ἥπ.* X. — Ib. *τήν* om. M Gal. — 7-8. *ἐπὶ τὸ κάλλιον* G[a]. — 8. *γάρ* om. G[a]JKLMR. — Ib. *ὧν* G[a]JKLMR; *ἥν* X. — Ib. *τῶν* om. R. — 9. *γαργ. φάρυγγα* ABCGM text. V. — Ib. *ἤ* om. GP. — Ib. *νοσήματα* X. — 10. *ταῦτα γὰρ πάντα κωλ.* G[a]. — Ib. *καί* om. JKLMR. — 11. *καὶ μήτε ἐᾶν* X. — 12. *πεφ. χρή* G[a].

Matth. 6-7.

τὴν κατεξυσμένην καὶ προμήκη μὲν κατὰ αὐχένα, βραχύνωτον δὲ
κυφότητι· τοὔπίπαν γὰρ οὗτοι Φυματίαι κατὰ θώρακα καὶ δύσπνοοι
7 καὶ βηχώδεις, ὥστε | ἐν τοῖς συντόνοις ἐμέτοις πνιγμοὺς καὶ πτύσεις
10 αἱμάτων ἐπιγίνεσθαι. Ἀτὰρ οὐδὲ οἱ ἄγαν πίονες τὰς ἄνω Φαρμακείας
εὐπετῶς δέχονται, οὐδὲ οἱ ἔκλευκοι, οὐδὲ οἱ κατακορεῖς παντάπασιν,
οὐδὲ οἱ Φοβεροὶ καὶ ἄθυμοι· καὶ γὰρ γνώμης ἰσχυρᾶς, εἴ πέρ τινος
καὶ ἄλλου, δεῖ, ὥστε καὶ γυναῖκες διὰ τοῦτο καὶ παῖδες καὶ γέροντες
11 οὐ πάνυ χρηστοὶ καθαίρεσθαι ἄνω· δειλὸν γὰρ πᾶν τὸ γένος. Τῇ
δὲ γυναικὶ κίνδυνος καὶ σπασθῆναι τὴν ὑστέραν, καὶ διὰ τοῦτο ἄφω-
12 νόν τε καὶ ἀναίσθητον γενέσθαι. Καθαίρειν δὲ τοὺς μὲν Φλεγμα-
τίας ἄνω· τοὺς δὲ χολώδεις κάτω, καὶ μάλιστα οἷς μέλανα κε-

tions par le haut, des précautions pour ceux qui ont le cou long et effilé
et le dos resserré, à cause de sa voussure; car, en général, ces gens-là
sont enclins aux abcès de la poitrine, à la dyspnée, à la toux, en sorte
qu'il survient, pendant les vomissements intenses, des suffocations et du
10 crachement de sang. Ni les gens qui ont beaucoup d'embonpoint, ni
ceux qui sont très-pâles, ou très-fortement colorés, ni les gens peureux
ou pusillanimes, ne supportent facilement non plus les purgations par le
haut; car, avant tout, il faut une âme forte; pour cette raison donc, les
femmes, les enfants et les vieillards ne se prêtent pas très-bien aux purga-
11 tions par le haut; en effet tous ces gens sont peureux. En outre, les femmes
courent aussi le risque d'être prises de spasme de l'utérus, et par là de
12 privation de la voix et du sentiment. Purgez les pituiteux par le haut
et les bilieux par le bas, surtout ceux chez qui il faut évacuer la bile

1. κατοξυσμένην V. — Ib. προμήκης κατά G^a; προμήκημα κατά R; προμήκη κατά X. — Ib. δέ om. M. — 2. κυφότητι M corr.; κυφότητα G^{a}PL; κυφοτάτην GJKR; κουφότητι ABCM text. V; κουφότατον X. — Ib. Φυματώδεις JKLR. — 3. βηχώδεις εἰσίν G. — 4. ἀλγημάτων G. — Ib. Ἀτάρ om. G^a. — Ib. οὔτε LP. — Ib. ἄγαν] ἄνω R. — 5. ἔκλυτοι C 2^a m. M marg. — 6. ἀοίδημοι G^a. — Ib. γάρ om. X. — Ib. ὑπέρ τινος RX; εἴπερ τε G^a. — 7. δεῖ] δειλόν X. — Ib. ὥστε καὶ διὰ ταῦτα καί G^a. — Ib. γυναῖκας GG^{a}JKLR. — Ib. διὰ τοῦτο om. G^a. — Ib. παῖδας G^{a}JKLR; παιδία G. — 7-8. γέροντας JKLR. — 8. χρηστόν LPR. — Ib. τὰ ἄνω JKLR. — Ib. δειλὸν..... γένος] δειλῷ γὰρ πάντων (πάντως?) ἀσύμφορον X; om. GP. — Ib. ἅπαν τοῦτο τό G^a. — 10-11. Φλεγματίσας CM; Φλεγματώδεις C 2^a m. PX. — 11. μᾶλλον GX. — Ib. μέλαινα G^{a}JKLPR; μέλαιναν ABCGMV.

Matth. 7-8-9.

νοῦν ἁρμόζει, καὶ διὰ Φθινοπώρου μὲν καὶ | ἦρος ὅπῃ καὶ δοκεῖ 8
συμΦέρειν· χειμῶνος δὲ καὶ θέρους, εἴ τι κενοῦν προσαναγκάζοι,
χειμῶνος μὲν κάτω, θέρους δὲ ἄνω, καὶ τοὺς μὲν εἰς τοὐναντίον
ᾗ ῥέπει· τὸ γὰρ ἀντισπᾷν ἐν πολλοῖς ἄμεινον· τοὺς δὲ, καθότι
καὶ ῥέπει, μάλισ7α ὅταν διὰ χωρίου τε συμΦέροντος καὶ μετρίως
ῥέπῃ· τὰ δὲ ἄλλα ἐναντίως. Κάλλισ7ον δὲ τῶν ὡρῶν πρὸς τὰς 13
καθάρσεις τὸ ἔαρ, δεύτερον τὸ Φθινόπωρον· καὶ γὰρ δὴ καὶ καθί-
σ7αται πολλάκις εἰς ἴσον τῷ ἦρι περὶ πλειάδα, ὡς μήτε χαλεπῶς
καθαρθῆναί τινας, καὶ ἐν δέοντι τὰ τοῦ θέρους περισσώματα ἐκβάλ-
λειν, πρὶν | τὸν χειμῶνα ἐπελθόντα πῆξαι. Διὰ τοῦτο δὲ καὶ αἱ τοῦ 9 14
ἦρος καθάρσεις κάλλισ7αι, ὅτι τὰ ἐν τῷ χειμῶνι ὑπογινόμενα περισ-

noire; dans l'automne et au printemps, on purge par la voie qui semble
devoir être la plus avantageuse; mais, si, en hiver ou en été, il est
nécessaire de produire quelque évacuation, on purgera par le bas en
hiver, et par le haut en été; purgez les uns dans la direction opposée à
celle où les humeurs se portent d'elles-mêmes; car souvent il n'est pas
trop mauvais d'opérer une révulsion; les autres, au contraire, dans la
même direction, surtout si le transport des humeurs s'opère par une
voie avantageuse et s'il est modéré; dans les autres cas, on suivra la
méthode contraire. La meilleure saison pour les purgations est le prin- 13
temps, ensuite l'automne; en effet, vers le coucher des Pléiades, cette
saison prend souvent un caractère semblable à celui du printemps; il
s'ensuit que certaines gens ne sont pas difficiles à purger à cette époque
et expulsent comme il faut les superfluités de l'été, avant que l'hiver
ne survienne pour les coaguler. En effet la raison pour laquelle les pur- 14
gations du printemps sont les meilleures, c'est qu'elles chassent les

1. *διά* om. X. — 2. *συμΦέρον* R. — Ib. *προσαναγκάζει* LP; *ἀναγκάζει* G^aJKR. — 4. *ἄμ. ἐν πολλ.* X. — 5. *διὰ χωρίου τε* X; *διαχωριτέον* P text.; *διὰ χωρίου* corr.; *διαχωρῇ οὔτε* ABCGMV; *διαχωρῇ ὅτε* JKL; *διαχωρεῖ ὅτε* R. — Ib. *συμΦέροντος* PX; *συμΦερόντως* rel. — Ib. *καὶ μετρίως* om. G^aJK. — 6. *ῥέπει* Codd. — Ib. *ἐναντίον* LR. — Ib. *Κάλλισ7αι* LP. — 7. *καὶ δεύτ. τό* G; *δεύτ. δὲ τό* X. — Ib. *καί* ante *καθίσ7.* om. X. — 8. *πολλάκις*] *ποτε* JK. — Ib. *εἰς ὅσον τῷ ἦρι* V; *ἴσον τῷ ἦρι* G^a; *τῷ ἦρι ἴσον* P; *τῷ ἦρι* G. — Ib. *πλειάδας* JKRX; *πλειάδος* LP. — 9. *τινα* G^aX; *πολλάς τινας* B text. — 9-10. *ἐξάγειν* G. — 10. *δέ* om. LR. — Ib. *καί* om. C. — Ib. *αἱ* om. ABCGG^aMPV Gal. — 11. *ἤρους αἱ καθ.* G. — Ib. *ὅταν* JKLR. — Ib. *ἀπογινόμενα* C.; *ἐπιγινόμενα* JKLP; *ἐπιτεινόμενα* R; *ἀποπηγνύμενα* G^a.

Matth. 9-10-11.

σώματα ἐξάγουσι, πρὶν τὸ θερμὸν κρατῆσαν ἀνακινῆσαί τε αὐτὰ καὶ
15 ταράξαι. Σημεῖα δὲ τοῦ χρήζειν καθάρσεως ἴλιγγοι καὶ βάρη κεφαλῆς καὶ ὀδύναι ἐξαιφνίδιοι, καὶ ὤτων ἦχοι συνεχεῖς, καὶ δυσορασίαι,
10 καὶ τὸ ἀκούειν | ἀμβλὺ, καὶ τὸ ὁπηοῦν ἄλλη νωθρῶς αἰσθάνεσθαι, καὶ τὸ ὑπνῶδες, καὶ τὸ ἄσιτον, καὶ ἢν πίνοντι τὸ χρησΊὸν πικρὸν, ἢ ὁπωσοῦν ἄλλως ἀηδὲς δοκῇ, καὶ αἱ παράλογοι τῆς γνώμης ἆσαι, καὶ τὸ τέως μεμνημένον ἐπιλανθάνεσθαι, καὶ παλμοὶ ἄλλοτε ἄλλῃ τοῦ σώματος ἐξαλλόμενοι, καὶ ἐνύπνια συνεχῆ καὶ φοβερὰ καὶ ταραχώδη, καὶ φρικῶδές τι ὑπὸ τῷ δέρματι, καὶ ὀσφύος βάρος, καὶ
11 σΊρόφοι γασΊρὸς, καὶ τὸ μήτε | ἐπιθυμεῖν σίτου, μήτε ἐπιθυμήσαντα πέσσειν, μήτε πέσσοντα ἀπολαύειν τῶν ἐπιθυμηθέντων, καὶ

superfluités qui se sont formées peu à peu en hiver, avant que la cha-
15 leur ne s'en empare pour les mettre en mouvement et les troubler. Les signes suivants indiquent la nécessité d'une purgation : vertige, pesanteur et douleurs subites de la tête, tintements d'oreilles continuels, obscurcissement de la vue, dureté de l'ouïe, engourdissement d'un des autres sens, tendance au sommeil, défaut d'appétit, goût amer ou autre goût quelconque désagréable après avoir bu quelque chose de bon, ennui sans aucune raison, affaiblissement de la mémoire quand on l'avait bonne jusque-là, palpitations se manifestant çà et là dans le corps, rêves fréquents qui effrayent et troublent, un certain sentiment de frisson à la peau, pesanteur aux lombes, coliques, n'avoir point d'appétence pour les aliments, ou, si on en a, ne pas digérer ceux qu'on a pris, ou, si on les digère, ne tirer aucun profit des substances qu'on a désirées;

1. ἐπικρατ. X. — Ib. ἀνακινεῖσαι αὐτά G^a; ἀνακινήσει τ' αὐτά GP; ἀνακινῆσε τε R; ἀνακινήσει τε JKL; ἀνακύκησει τ' αὐτά X. — 2. ἀναταράξαι GP; ταράξει JKLRX. — Ib. δέ om. C. — Ib. βάρος G. — 3. αἰφνίδ. X. — Ib. δυσορασίαι G^a; δυσορατίαι rel. — 4. τοῦ ἀκ. GP. — Ib. ὅπη οὖν ἄλλη νωθρῶς G; ὅποι ἂν ἄλλῃ ἐνεργείᾳ νωθρῶς G^a; ὅπη οὖν ἄλλοις νωθροῖς P; ὑπνοῦν ἀλλὰ νωθρῶς X; νωθρῶς ABCMV; νωθρῶν L; νωθρόν R; dans ACM lac. avant νωθρῶς. — 5. πίν. ἢ ἐσθίοντι GG^aPX. — Ib. τῷ R; τι X. — 5-6. πικρὸν ἢ, ἢ G^a JKLR. — 6. ἀειδές B text. — Ib. αἱ om. GG^aP. — Ib. παράλογον G. — 7. ἄλλοι BJKLRV. — 9. τε C 1^a m. P. — Ib. τῶν δερμάτων JK. — 10. τό om. JKR. — Ib. καλῶς ἐπιθυμεῖν G. — Ib. σιτία G^aJKLR; σιτίου X. — 11. πεσεῖν ABCV; πέτΊειν GG^aX; πέσΊειν (sic) καλῶς P. — Ib. μήτε... ἐπιθυμηθ. om. X. — Ib. ἀπόλαυσιν A; ἀπολαβεῖν G^a; ἀπολαμβάνειν G.

ἡ κοιλία μὴ κατὰ λόγον τοῦ ἐδέσματος διαχωροῦσα, καὶ οὖρον βραχὺ, καὶ ναυτίαι, καὶ σἰομάτων ὑγρότητες, καὶ χροιὰ τῷ μὲν χολώδης, τῷ δὲ φλεγματώδης, τῷ δὲ ὑπομελαίνουσα παρὰ τὰ φύσει τῷ ἀνθρώπῳ καθεσἰηκότα, καὶ τὸ ἐκλύεσθαι καὶ δυσπνοεῖν καὶ μὴ ῥᾳδίως κινεῖσθαι δοκοῦντά γε εὐσωματεῖν, καὶ ὅσα ἐξανθεῖ κατὰ δέρμα ἢ φυματίοις, ἢ αὐτομάτοις ἕλκεσιν, ἢ τραχύτησιν, ἢ ἐφή-
λει. Ταῦτα *πάντα καὶ ὅσα τις ἄλλα ἐξευρίσκειν δύναιτο πλησμονῆς* 16
τε καὶ χυμῶν κα|κίας τεκμήρια πρὸς τὰς καθάρσεις προτρέπει, καί, 12
εἴ τις ὑπερβάλλοιτο, οὐχ ὅσον οὔπω μέλλουσαν ἥξειν τὴν νόσον, ἀλλὰ ἤδη παροῦσαν ἰῷτο ἄν· πολὺ μὴν κάλλιον, πανταχῇ τὰ λυ-
πηρὰ φθάνειν εἰ δύναιο. Νοσήμασι *δὲ οἷς οἷα φάρμακα ἁρμόζει,* 17
πρὸς ἑκάσἰῳ τῷ φαρμάκῳ εἰρήσεται. Διαιτᾶν *δὲ τὸν μὲν κάτω* 18

évacuations alvines hors de proportion avec les aliments qu'on a pris, diminution de l'urine, nausées, humidité de la bouche, couleur bilieuse chez les uns, pituiteuse chez les autres, noirâtre chez d'autres encore, en opposition avec la constitution habituelle de l'individu; affaiblissement, gêne de la respiration et difficulté de se mouvoir, quoique le corps semble dans un état irréprochable; enfin tous les petits abcès, les ulcères spontanés, les rugosités et les taches de rousseur qui surgissent à la peau.
Tous ces signes et les autres indices qu'on pourrait encore découvrir et 16
qui décèlent la surabondance ou le mauvais état des humeurs, engagent à provoquer une purgation; si on la diffère, on aura à traiter, non pas une maladie qui n'est pas encore tout à fait sur le point de se déclarer, mais une maladie déjà formée; or il vaut en vérité beaucoup mieux pré-
venir, si l'on peut, les incommodités par tous les moyens possibles. Nous 17
dirons, à propos de chaque médicament, dans quelle maladie il convient.
On fera observer un régime frugal à ceux qu'on veut purger par le bas; 18

1. *οὖρα* GP. — 2. *ναυτίωσις* CR. — 3. *τὴν φύσιν* G[a]JKR; *τῇ φύσει* LP. — 4. *τἀνθρώπου καθεσἰηκότα* P; *τἀνθρώπου καθεσἰηκυῖα* JKLR; *τῷ ἀνθρώπῳ διεσἰηκότα* X. — Ib. *ἑλκύεσθαι* ABCMV. — 6. *τὸ δέρμα* B. — Ib. *φλεγματίοις* CK. — 6-7. *ἀφιλεῖ* ABCMV; *ἐφιλεῖ* G; *ἐφ' ἄλλεσιν* G[a]. — 7. *Πάντα ταῦτα* XP. — Ib. *δύναιτο* BV; *δύναται* rel. — Ib. *πλησμονῶν* JLPR. — 8. *τεκμήριον* G[a]; *γνωρίσματα* JKLR. — Ib. *ἐκτρέπεται* JKR. — Ib. *κἄν* C. — 9. *ὑπερβάλλοιντο* ABC. — 10. *οἰῷτο ἄν* R; *ἢ ἤτω ἄν* G[a]. — Ib. *πολὺ μέν* CJLPR; *πολλῷ μή* G; *πολλῷ* G[a]. — 11. *φθάνειν* om. LR. — Ib. *Νοσήματα* AJK.

Matth. 12-13.

κενοῦσθαι μέλλοντα ἐνδεέστερον, μὴ μὴν πολλῷ γε, ἀλλὰ ὥστε
ταχὺ μὲν πεφθῆναι τὸ δοθὲν σιτάριον, κόπρον δὲ ἐν τῷ ἐντέρῳ μὴ
πολλὴν γενέσθαι· τοῦτο γὰρ καὶ ὀδυνᾷ τὴν γαστέρα, καὶ ἐμέτους
13 κινεῖ, ὅταν τὸ φάρμακον | ἕλκον πρὸς αὑτὸ διαχωρεῖν κωλύηται·
διόπερ οὐκ ἄπο τρόπου καὶ μαλακωτέραν πρὸ τοῦ φαρμάκου τὴν
γαστέρα ποιῆσαι τῇ τε μαλάχῃ καὶ τῷ τεύτλῳ καὶ τῷ λαπάθῳ καὶ
τῷ ζωμῷ τῶν κογχαρίων, καὶ εἰ δή τινι ἄλλῳ, οἷα ἄλλα πολλὰ
προσεξευρήκασιν ἕτεροι ἕτερα αὐτοῖς ἁρμόζοντα· εἰ δὲ μὴ, ἀλλὰ
19 κλυσμῷ κενωτέον μαλακωτέρῳ. Τοῖς δέ γε καὶ πᾶν τῆς προτε-
ραίας τὸ σιτίον ἀφελεῖν ἁρμόζει, τοῖς φλεγματωδεστέροις· τούτοις
δὲ καὶ ἐμέσαι πρὸ τῆς καθάρσεως οὐ κάκιον· εἰ γάρ τι καὶ ἄλλο,

180 πον μετὰ ϖροβολῆς τῶν ὀμμάτων, | ἀντιλαμβάνονται συνδεδεμένων καὶ ἐμφραττομένων τῶν ϖερὶ τὴν ἀναπνοὴν μερῶν μετὰ δυσπνοίας· ἔνιοι δὲ καὶ τὴν γλῶσσαν ϖροβάλλουσι μετὰ ϖλείονος ἱδρῶτος· οἱ δὲ καὶ συνερείδουσι τοὺς ὀδόντας καὶ τὴν διάνοιαν μεταλαμβά-
2 νονται. Γνόντες οὖν τὸν ἐφεστῶτα κίνδυνον, ἀνυπερθέτως βοηθήσομεν δὴ, τὰ μύρα διὰ τῶν ϖτερῶν καθιέντες, καὶ ϖροσαναγκάσομεν ἀπεμεῖν, κομιζόμενοι τὸ ἐγκείμενον φλέγμα τοῖς ϖερὶ τὴν κατά-
3 ποσιν τόποις. Ἐγὼ γοῦν ἐπί τινος ϖνιγομένου καὶ ϖρὸς τῷ τελευτᾷν τὸν βίον ὄντος· συνερειρηκὼς γὰρ τοὺς ὀδόντας ἔσπαιρεν ἐμφερῶς

7. DE CEUX QUI SONT EN DANGER D'ÊTRE SUFFOQUÉS. — TIRÉ D'HÉRODOTE, DU TRAITÉ *SUR LES MOYENS ÉVACUANTS.*

1 Ceux qui sont en danger d'être suffoqués crachent un peu de salive au commencement de la purgation; quoiqu'ils aient des envies très-fortes de vomir, ils ne rejettent rien; leur face se gonfle, leurs yeux sont saillants, et ils sentent que leurs organes respiratoires sont resserrés et obstrués, ils respirent difficilement; chez quelques-uns la langue sort aussi de la bouche et ils suent fortement; d'autres encore serrent
2 les dents, et leur intelligence participe à leurs souffrances. Reconnaissant donc l'imminence du péril, nous y porterons remède sans retard, en enfonçant, à l'aide de plumes, des huiles aromatisées dans la bouche; nous forcerons aussi les malades à vomir, en enlevant la pituite en-
3 gagée dans les organes de la déglutition. Chez un malade qui éprouvait des étouffements et qui était sur le point de mourir, puisqu'il serrait les

Ch. 7; l. 1. Εἰ A. — 5. ἡμερῶν ABC 1ª m. MV. — 7. συνείδουσι ABC 1ª m. MV. — 9. δέ Codd. — Ib. καθιέντες om. ABC 1ª m. MV. — Ib. ϖροσαναγκαζόμενοι CM. — 10. ἀπεμεῖν om. CM. — Ib. ἀκομιζόμενοι AB; om. CM. — 10-11. κατάπλωσιν ABCM. — 11. τῷ ex em. Matth.; τό Codd. — 12. συνειρηκώς Codd. — Ib. ἔσπαιρεν ex em. Matth.; ἔσπερεν ABMV; ἔσπερον C.

τοῖς ἀπεσφαγμένοις ἱερείοις· διασῖήσας τοῖς σφηνίσκοις τὸ σῖόμα καὶ διασφαλισάμενος τοὺς ὀδόντας, ὡς μὴ μύσειεν, καθεῖκα τὴν χεῖρα, καὶ συνηγμένον εὑρὼν σφαιρηδὸν πρὸς τῇ καταπόσει φλέγμα χειροπληθὲς, ἀνειλόμην, ὃ καὶ ῥιφὲν ἀδιαίρετον ἔμεινεν.

η'. Περὶ ἐλλεβόρου. [Ἐκ τῶν] Κτησίου.

Ἐπὶ τοῦ ἐμοῦ πατέρος καὶ τοῦ ἐμοῦ πάππου ἰατρὸς οὐδεὶς ἐδίδου ἐλλέβορον· οὐ γὰρ ἠπίσῖαντο τὴν κρᾶσιν αὐτοῦ καὶ τὸ μέτρον 1
καὶ | τὸν σῖαθμὸν, ὁπόσον χρὴ διδόναι· εἰ δέ τις καὶ ἐδίδου ἐλλέ- 181
βορον πιεῖν, διαθέσθαι πρῶτον ἐκέλευεν, ὡς μέγαν κίνδυνον μέλλοντα κινδυνεύειν, τῶν τε πινόντων πολλοὶ μὲν ἀπεπνίγοντο, ὀλίγοι δὲ περιεγίνοντο· νῦν δὲ δοκεῖ ἀσφαλέσῖατον εἶναι.

θ'. Περὶ ἐλλεβόρου. Ἐκ τῶν Μνησιθέου.

Ἡ πόσις ἡ τοῦ ἐλλεβόρου κίνδυνον ἔχει πολύν· ἢ γὰρ εὐθὺς 1

dents et qu'il palpitait comme du bétail qu'on tue, j'ai moi-même fixé les dents et ouvert la bouche à l'aide de coins, afin qu'elle ne se fermât pas; puis j'introduisis la main, et, trouvant sur les organes de la déglutition une poignée de pituite ramassée sous forme de boule, je l'enlevai, et elle ne se rompit pas quand on l'eut jetée par terre.

8. DE L'ELLÉBORE. — TIRÉ DE CTÉSIAS.

Du temps de mon père et de mon grand-père aucun médecin ne 1
donnait de l'ellébore, car on ne connaissait ni la manière de le mélanger, ni la mesure, ni le poids qu'il fallait en donner, et, si quelqu'un donnait de l'ellébore à boire, il recommandait aux malades de faire d'abord leur testament, comme s'ils devaient courir un grand danger: aussi, parmi ceux qui en buvaient, plusieurs étaient suffoqués, et peu restaient en vie : maintenant il semble que son administration est tout à fait exempte de danger.

9. DE L'ELLÉBORE. — TIRÉ DE MNÉSITHÉE.

L'ellébore, pris en boisson, entraîne de grands dangers; en effet, ou 1

2. διασφαλισόμενος C. — 3. συνηγμένων νεύρων ABCM. — Ch. 8. Tit. [Ἐκ τῶν] om. Codd. — 5. πατρός M. — 5-6. ἐδίδου ex em. Matth.; εἰσεδίδου Codd. — 6. ἐλλεβόρου ACV. — Ib. ἐπίσῖαντο C. — 9. τε] δέ C. — Ch. 9; l. 11-p. 183, 1. πολύν· ἢ γάρ........ πάνυ om. A 1ᵃ m.

ἐποίησεν ὑγιεινὸν, ἢ πάνυ πολλὴν καὶ μακρὰν ταραχὴν ἐν τῷ πάθει κατεσκεύασεν· δεῖ δὲ τὰ τοιαῦτα τῶν ἰαμάτων ὑπομένειν τὸν μηκέτι νομίζοντα διὰ τῆς ἀσφαλοῦς δύνασθαι θεραπείας ὑγιαίνεσθαι.

ι'. Περὶ ἀποφλεγματισμοῦ. Ἐκ τῶν Ἀντύλλου· ἐκ τοῦ β' λόγου τῶν κενουμένων βοηθημάτων.

1 Τοῖς ἀποφλεγματισμοῖς χρησΊέον μετὰ τὸ τὰ ἄλλα βοηθήματα
παραληφθῆναι τὰ μετάγειν δυνάμενα, σΊασίμου τῆς ὕλης ἤδη γε-
2 νομένης καὶ τοπικωτέρων χρῃζούσης βοηθημάτων. Δύναται δὲ ἀπο-
φλεγματισμὸς ὁμοῦ μὲν θερμαίνειν καὶ ἀπάγειν τὰ ἐνοχλοῦντα τῶν
ὑλῶν, ἐπισΊρέφειν δὲ καὶ μεταποιεῖν τὰ σώματα, διαδόσεως ἐπὶ αὐτὰ
182 γινομένης ἀπὸ τῶν ἀποφλεγματιζόντων φαρμάκων ἀνάλογον | σι-
3 ναπισμῷ. ΧρησΊέον δὲ αὐτοῖς, πρὸ μιᾶς ἡμέρας ἀποδεδωκυίας τῆς
γασΊρὸς διὰ κλύσματος, ἢ διά τινος τῶν κούφως καὶ καθαρῶς ὑπα-

il guérit immédiatement, ou il cause un trouble très-grand et très-prolongé dans la maladie; celui qui désespère d'être guéri par un traitement exempt de danger, doit [seul] se soumettre à de pareilles cures.

10. DES MASTICATOIRES. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES REMÈDES ÉVACUANTS.*

1 Recourez aux masticatoires après avoir employé les autres remèdes qui
peuvent déplacer les humeurs, quand les matières sont devenues station-
2 naires et ont surtout besoin de remèdes locaux. Les masticatoires peuvent
à la fois réchauffer, chasser les matières nuisibles, exciter et transformer
les organes, car les médicaments qui attirent la pituite communiquent à
ces organes une partie de leur substance, de même que cela a lieu pour
3 les sinapismes. On emploiera les masticatoires, lorsque la veille on aura
provoqué des selles à l'aide d'un lavement, ou de quelque médicament

2. τῶν om. B. — 3-4. ὑγιαίνονται C. — Ch. 10; l. 6-7. γινομένης AM. — 8. ἀνάγειν BV. — 12. κούφων M. — Ib. καθαρῶς conj.; καθαρῶν τῶν Codd.; μαλακῶν τῶν C 2ª m. — 12-p. 184, 1. ὑπαγαγόντων B.

γόντων. Μετὰ δὲ τὸν ἀποφλεγματισμὸν μελικράτῳ θερμῷ διακλύ- 4
ζεσθαι· εἰ δὲ σφοδρὰ ἡ δῆξις ὑπολείποιτο, γάλακτι, ἢ ῥοδίνῳ.

ια'. Περὶ κενωτικῶν τῆς κεφαλῆς. [Ἐκ τῶν] Γαληνοῦ.

Τοὺς ἐν τῇ κεφαλῇ χυμοὺς διὰ τῶν πλυσμάτων κενοῦμεν, εἰ μὲν 1
ἐπὶ βραχὺ πρᾶξαι τοῦτο βουληθείημεν, ἀναμιγνύντες μασλίχῃ πέ-
περι· πλέον δὲ κενῶσαι βουλόμενοι, πύρεθρον, ἢ σλαφίδα τὴν ἀγρίαν
μασᾶσθαι κελεύοντες. Καὶ ἀνεμώνης δὲ πάσης ἡ ῥίζα διαμασωμένη 2
φλέγμα προκαλεῖται, καππάρεώς τε τῆς ῥίζης ὁ φλοιός. Ὀρῶδες 3
μὲν οὖν περίτλωμα διὰ τῶν τοιούτων κενοῦται, παχὺ δὲ φλεγμα-
τῶδες ἀνακογχυλιζόμενον νᾶπυ μετὰ ὀξυμέλιτος, ἢ σίραιον, ὀρίγα-
νον, ἢ ὕσσωπον ἀφηψημένον ἔχον· ἐγὼ δὲ, ὡς ἴσλε, μίγνυμι τοῦτο
τῷ μετὰ τοῦ ὀξυμέλιτος νάπεϊ. Εἰ δὲ καὶ ἀπὸ μύξης ἐκκαθαίρεσθαι 4

qui relâche légèrement et convenablement le ventre. Après le mastica- 4
toire on doit se rincer la bouche avec de l'eau miellée chaude, et, si le
médicament laisse après lui une irritation très-forte, on se servira de
lait, ou d'huile de rose.

11. DES MÉDICAMENTS QUI DÉBARRASSENT LA TÊTE. — TIRÉ DE GALIEN.

Nous évacuons les humeurs contenues dans la tête par la voie des 1
crachats; si nous voulons obtenir cet effet à un faible degré, nous fai-
sons mâcher du mastic mêlé avec du poivre, tandis que, si nous voulons
produire une évacuation plus forte, nous prescrivons de la pariétaire
d'Espagne, ou de la staphisaigre. La racine de toutes les espèces d'ané- 2
mone attire aussi la pituite, quand on la mâche, ainsi que l'écorce de la
racine du câprier. Ce sont là des médicaments qui évacuent les superfluités 3
séreuses, mais, si on veut expulser les superfluités pituiteuses épaisses, on
se gargarisera avec de la moutarde incorporée dans l'oxymel, ou avec du
vin doux cuit, dans lequel on a fait bouillir de l'origan, ou de l'*hysope*;
quant à moi, vous savez que je mêle cette dernière préparation à la mou-
tarde incorporée dans l'oxymel. S'il s'agit, en outre, de débarrasser la tête 4

1. θερμῶν AC. — 1-2. διακλύζεται B. — 2. ῥόδινον ABV. — Ch. 11; l. 3. κενοῦμεν Paul.; κενουμένων Codd. — 4-5. μασλίχῃ πέπερι *Syn.*; μασλίχῃ τε περί AB corr. CM; μασλίχι τε περί B. — 9. ἀνακογχυλιαζόμενον C. — 11. νάπυϊ CV. — Ib. Εἰ δὲ καὶ *Syn.* Paul.; δέκα Codd. — Ib. ἀπὸ μύξης ex em.; ὑπὸ μύξης Paul.; ὑπομίξεις BC; ὑπομίξεις AV.

δέοι τὸν ἐγκέφαλον, προτρέψομεν αὐτὴν, ἐρεθίζοντες φαρμάκοις
5 δριμέσιν, ὧν ἔνια καὶ πλαρμὸν κινεῖ. Καθαίρει μὲν οὖν διὰ ῥινὸς ἀνεμώνης πάσης ὁ χυλὸς, κυκλαμίνου χυλὸς, τεῦτλον· πλαρμικὸν δέ ἐσλι βατραχίου ῥίζα τοῖς ἄλλοις ἅπασιν ὁμοίως τοῖς ἰσχυρῶς
6 ξηραίνουσι, καὶ πλαρμικῆς τὰ ἄνθη, καὶ σλρουθίου ἡ ῥίζα. Πταρμοὶ δὲ ἐπὶ μὲν τοῖς ὠμοῖς χυμοῖς τοῖς κατὰ θώρακα καὶ πνεύμονα καὶ κεφαλὴν μέρεσι περιεχομένοις οὐ συμφέρουσι γινόμενοι· σφοδρῶς γὰρ σείουσι καὶ κλονοῦσι τὰ μέρη ταῦτα, δεόμενα θάλπεσθαι μετρίως καὶ ἡσυχάζειν, ἵνα πεφθῶσιν οἱ ὠμοὶ χυμοί· συμβαίνει δὲ αὐτοῖς τἀναντία κινουμένοις· πληροῦνται μὲν γὰρ μᾶλλον οὕτως· οὐ πέτλει δὲ τοὺς περιεχομένους ἐν αὐτοῖς χυμούς· ἔμπαλιν δὲ, ὅταν ἤδη τύχωσι πεπεμμένοι, πρὸς τὴν τῶν περιτλωμάτων κένω-
7 σιν οἱ πλαρμοὶ λυσιτελοῦσιν. Ὁρᾶτέ γε μὴν ἐναργῶς κἀπὶ τῆς καλουμένης κορύζης, ἔτι δὲ καταῤῥόων καὶ βράγχων, ἐν ἀρχῇ μὲν

du mucus, nous attirerons ce mucus, en irritant [le cerveau] à l'aide de médicaments âcres, dont quelques-uns provoquent aussi des éternuements.
5 Au nombre des médicaments qui purgent par le nez sont le suc de toutes les espèces d'anémone, ainsi que celui de pain de cochon, et la bette; aux sternutatoires appartiennent la racine de renoncule et aussi tous les ingrédients qui dessèchent fortement, les fleurs de ptarmique et la racine
6 de saponaire. Quand il y a des humeurs crues dans la poitrine, le poumon ou la tête, il n'est pas bon qu'il y ait des éternuements, car ils secouent et bouleversent fortement ces parties, qui auraient besoin de rester en repos et d'être doucement échauffées pour amener à maturité les humeurs crues; or c'est justement le contraire qui leur arrive quand elles sont mises en mouvement; en effet, de cette manière, les parties s'engorgent davantage et cela ne fait pas mûrir les humeurs qui y sont contenues; si, au contraire, ces humeurs sont déjà arrivées à maturité, les éternuements sont utiles pour favoriser l'évacuation des
7 superfluités. Du reste vous voyez manifestement qu'au début de la maladie appelée *coryza* et à celui des catarrhes et des enrouements, les

2. ἔνια *Syn.* Paul.; ἐάνια AC 2ª m.; αἰάνια BCV. — Ib. ταραγμόν B. — 3. τεῦτλον ex em.; τεύτλου ABV; καὶ τεύτλου C. — 5. πλαρμικοῖς Codd. — Ib. ἡ om. V. — 13. Ὁρᾶται ABV. — 14. καταῤῥοιῶν Codd.

ὑπὸ τῶν ϖλαρμῶν ϖαροξυνόμενα τὰ ϖάθη, ϖερὶ δὲ τὰς ϖαρακμὰς λυόμενα.

| ιβ'. Περὶ ὑποκαπνισμοῦ. Ἐκ τῶν Ἀντύλλου · ἐκ τοῦ β' λόγου τῶν κενουμένων βοηθημάτων. 182

Οὐ ϖολλοῖς, ἀλλὰ τοῖς ϖερὶ θώρακα ἔχουσι νόσημα ὑποκαπνισμὸς ἐπιτήδειος, καὶ οὐδὲ τούτοις ϖᾶσιν· οὔτε γὰρ τοῖς αἱμοπλυϊκοῖς, οὔτε τοῖς ξηρὸν ἔχουσι νόσημα ϖερὶ τὸν θώρακα· μόνοις δὲ τοῖς ἀσθματικοῖς καὶ ὀρθοπνοϊκοῖς ὅσοι διὰ ϖλῆθος φλεγμάτων δυσαναγώγων ἐνοχλοῦνται. 1 Χρηστέον δὲ τοῖς ὑποκαπνισμοῖς τηνικαῦτα δὴ, ἡνίκα ἂν καὶ τῶν ἄλλων τοπικῶν βοηθημάτων [χρεία], καὶ ϖρομεμαλαγμένης τῆς γασΊρός. 2 Χρὴ δὲ καθίσαντα τὸν ἄνθρωπον καὶ σκεπάσαντα ὅλον ἱματίοις, κελεῦσαι μὲν διασΊῆσαι τὰ σκέλη, κατακύψαι δὲ τὸ ϖρόσωπον, ὡς ἐγΓυτάτω τῶν γονάτων γενέσθαι τὸ 3

souffrances sont aggravées par les éternuements, tandis que, vers le déclin, ils les font disparaître.

12. DE LA FUMIGATION. — TIRÉ D'ANTYLLUS, DU SECOND LIVRE, CELUI QUI TRAITE *DES REMÈDES ÉVACUANTS.*

Les fumigations ne sont pas utiles à beaucoup de malades, mais seulement à ceux qui ont une affection de poitrine, et ce traitement n'est pas même bon dans toutes les maladies de cette cavité: en effet, il ne convient ni à ceux qui crachent du sang, ni à ceux qui ont une maladie sèche de la poitrine, mais uniquement aux asthmatiques et dans l'orthopnée, quand les malades sont incommodés par une surabondance de pituite difficile à expulser. 1 Employez les fumigations à la même époque de la maladie que les autres moyens locaux, et après avoir préalablement relâché le ventre. 2 On fera asseoir le malade, on le couvrira entièrement de vêtements, et on lui ordonnera d'écarter les jambes et de baisser la tête, de manière que la bouche soit très-rapprochée des genoux; 3

1. ϖαρά Codd. — Ch. 12; l. 4. ἅπασιν B. — 4-5. αἱμοπΊοϊκοῖς ABCM. — 5. οὔτε γὰρ τοῖς AM. — 6. ὅσῳ AMV; καὶ ὅσοις Aët. — Ib. ϖλῆθος M corr. Aët.; ϖλήθους Codd. — 8. δέ Codd. — Ib. [χρεία] conj.; om. Codd. — 9. καθίσαντας C. — 10. σκεπάσαντας M; ϖάσαντας A. — 11. εἶναι B; γενέσθαι corr.

Matth. 182-183.

στόμα, καὶ κεχηνέναι, ἔπειτα μεταξὺ τῆς διαστάσεως τῶν σκελῶν θεῖναι χύτραν, ἢ λεβήτιον, ἔχον ἄνθρακας ἡμμένους, ἔπειτα ἐπιπάσσειν ἐπὶ τὸ πῦρ ἀριστολοχίας, μάλιστα μὲν κληματίτιδος· εἰ δὲ μὴ, δακτυλίτιδος· ἢ θεῖον ἄπυρον, ἢ λάδανον, ἢ δᾶδας, ἢ ξύλα
183 περσικῆς τοῦ δένδρου, ἢ σχοινίον διεξα|σμένον· βέλτιον δὲ, εἰ ναυτικὸν εἴη θαλασσοβραχές· καὶ παρακελεύεσθαι τῷ ἀνθρώπῳ διὰ τοῦ στόματος τὸν καπνὸν ἕλκειν προθύμως· πολὺ γὰρ φλέγμα ἐκβάλλουσι, τοῦτο δράσαντες.

ιγʹ. Περὶ ἐῤῥίνων. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Τοῖς ἐῤῥίνοις χρώμεθα οὕτως· ἐντίθεται κάλαμος λεπτὸς εὐθύτρητος, εἰς τὸν μυκτῆρα ἐμβῆναι δυνάμενος, μῆκος ἔχων δακτύλων
2 ἕξ. Πληροῦται δὲ ἡ τοῦ καλάμου εὐρυχωρία πᾶσα τοῦ φαρμάκου.
3-4 Ἔστω δὲ ὁ κάλαμος φυσικὸς, ἢ χαλκοῦς. Ἐμβιβασθέντος δὲ αὐτοῦ, ἐμφυσῶμεν κατὰ τὸ ἕτερον πέρας ἢ ᾗ ἐμβάλλομεν τὸ φάρμακον εἰς

puis on l'engagera à l'ouvrir, on placera entre ses jambes un pot, ou un chaudron contenant des charbons ardents, ensuite on jettera sur le feu de l'aristoloche, de préférence de l'aristoloche *clématite,* sinon, de l'aristoloche *longue,* ou bien du soufre brut, du ladanum, du bois résineux, du bois de pêcher, ou une corde râpée; le mieux est de prendre une corde de vaisseau imbibée d'eau de mer; enfin, on recommandera au malade de s'évertuer à attirer la fumée par la bouche, car, à l'aide de cette manœuvre, il rejettera beaucoup de pituite.

13. DES ERRHINS. — TIRÉ DU MÊME LIVRE.

1 On emploie les errhins de la manière suivante : on prend un tuyau mince, percé droit, long de six doigts, et disposé de façon à pouvoir en-
2 trer dans le nez. On remplit toute la cavité du tuyau avec le médicament.
3-4 On peut choisir un roseau, ou un tuyau en cuivre. Après avoir fixé le tuyau dans le nez, on souffle dedans par le côté opposé à celui par lequel on

2. ἡγουμένους C. — 2-3. ἐπιπάσειν AC 1ª m. — 3. ἀριστολοχίας μὲν μάλιστα μέν AB. — 7. πολλοί Codd. — 7-8. ἐμβάλλουσι C 1ª m. — Ch. 13; l. 11. ἢ] ἐκ C; del. 2ª m. — Ib. πᾶσα φαρμάκου B. — 12. χαλκοῦς] κάλαμος C. — 13. ἢ ᾗ ex em.; ἢ Codd.; ᾗ C 2ª m.

τὸν μυξωτῆρα. Τῶν δὲ ἐντιθεμένων ἐσ7ὶ νᾶπυ λεῖον, κυκλαμίνου 5
χυλὸς, ἢ σεῦτλον, ἢ ἐλατήριον λεῖον, κεδρία, καὶ ὅσα ἐσ7ὶ τῆς ὁμοίας ὕλης.

ιδ'. Περὶ ἀποδακρυτικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὀλίγη χρῆσίς ἐσ7ι τῶν ἀποδακρυτικῶν· χρώμεθα γὰρ ἐπὶ μό- 1
νων ὀμμάτων χρονίως κατεξηραμμένων, ἐπί τε ψωρωδῶν βλεφάρων, ἐπί | τε ἀτροφίας περὶ τὰ ὄμματα, πρὸς τὸ διυγρᾶναι τοὺς ὀφθαλ- 184
μοὺς, ἢ ὕλην ἐπὶ αὐτοὺς ἀγαγεῖν, διὰ ἧς εὐτροφήσουσιν. Ἔσ7ι δὲ 2
ἀποδακρυτικὰ τὰ δριμέα τῶν κολλυρίων· τὰ δὲ διὰ ὀσφρήσεως κινοῦντα δάκρυον, οἷον σίνηπι, κρόμμυον, σιλφίου ὀπός· τὸν γὰρ καπνὸν παραιτητέον, μειζόνως βλάπτοντα ἢ ὠφελοῦντα.

fait entrer le médicament dans le nez. Au nombre des errhins sont la 5
moutarde triturée, le suc de pain de cochon, la bette, le suc de concombre sauvage trituré, la résine de *cèdre* et tous les ingrédients appartenant à une classe analogue.

14. DES MÉDICAMENTS LACRYMATOIRES. — TIRÉ DU MÊME LIVRE.

Les lacrymatoires ne sont pas d'un usage très-fréquent, car on s'en 1
sert uniquement dans le cas d'une sécheresse chronique des yeux, ou lorsque les paupières sont affectées de *psore,* ou encore pour humecter les yeux, quand ils sont mal nourris, ou pour y introduire des matériaux
qui les ramèneront à un état satisfaisant de nutrition. Les lacrymatoires 2
consistent d'abord en collyres âcres, et ensuite en médicaments qui provoquent des larmes par la voie de l'odorat, comme la moutarde, l'ognon, le suc de silphium; il faut rejeter l'usage de la fumée, car elle fait plus de mal que de bien.

1. μυκτῆρα BV. — Ib. ἐσ7ὶν ἀποίλιον Codd. — 2. κεδραία A M; — Ch. 14; l. 5. κατεξηραμένων BV; μεταξηραμμένων C; ἐξηραμμένων M. — 6. τὸ δὲ διυγρᾶναι C 1ª m. — 10. βάπτοντα V.

ιε'. Περὶ διουρητικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Τῶν διουρητικῶν ἡ χρῆσις Φυλακτέα ἐσΊὶν ἐπὶ τῶν μαραινομέ-
2 νων, ἢ κατεσκληκότων· ἱκανῶς γὰρ διοχλεῖ τοὺς τοιούτους. Τῶν δὲ
διουρητικῶν τὰ μὲν διὰ σΊόματος λαμβάνεται ϖότιμα, τὰ δὲ τῇ
βαλάνῳ ϖροσάγεται· χρώμεθα δὲ μάλισΊα τούτοις, ἐπειδὰν ὑπερ-
πληθεῖσα ἡ κύσΊις καὶ διὰ τοῦτο μὴ δυναμένη ϖερισΊέλλεσθαι καὶ
3 κενοῦν τὸ οὖρον. Ἐντίθεμεν εἰς τὴν βάλανον νίτρον ὕδατι διειμένον,
ἅλμην, ἁλὸς ἄνθος, χολὴν, κυκλάμινον, κόριν τὸ ζῷον.

ις'. Περὶ αἱμαγωγῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Χρώμεθα τοῖς αἱμαγωγοῖς ἐπὶ γυναικῶν ἐν ἐποχῇ καθάρσεως·
185 ἔσΊι δὲ ἀγωγὰ τά τε διου|ρητικὰ ϖάντα καὶ ὅσα θερμαίνει μὴ μετὰ
2 ξηρότητος, ἀλλὰ μετὰ δριμύτητος. Ἐν τούτοις κράμβης ῥίζα ἑψο-

15. DES DIURÉTIQUES. — TIRÉ DU MÊME LIVRE.

1 On évitera l'usage des diurétiques chez les malades fortement dessé-
chés, ou affectés de marasme, car, dans ce cas, ils incommodent consi-
2 dérablement. Parmi les diurétiques, les uns se prennent par la bouche,
sous forme de boisson, d'autres sont appliqués sur le gland, [à l'orifice
de l'urètre,] et nous employons surtout ce dernier procédé, quand la
vessie, étant remplie outre mesure, ne peut pas se contracter et évacuer
3 l'urine. Nous introduisons par le canal de l'urètre de la soude brute
dissoute dans l'eau, de l'eau salée, des fleurs de sel, de la bile, du pain
de cochon, ou une punaise.

16. DES MÉDICAMENTS HÉMAGOGUES. — TIRÉ DU MÊME LIVRE.

1 Nous employons les hémagogues chez les femmes dont les règles sont
supprimées; or tous les médicaments diurétiques et tous ceux qui échauf-
fent sans être secs, tout en restant âcres, appartiennent à cette classe.
2 De ce nombre sont la racine de chou bouillie, si on en boit la décoc-

Ch. 15; l. 1. ἐπί om. C. — 3. ϖότιμα ex em. Matth.; ϖότημα Codd.; ὡς ϖότημα Gal. — Ib. τά om. A. — 4-5. ὑπερβληθεῖσα BV; ὑπερπλ. ἐσΊιν Gal. — 6. Τίθεμεν A 1ª m. — Ib. διειμένον Aët.; διήμενον Codd. — 7. κόρην ABC 1ª m. MV. — Ch. 16; l. 9. τά τε οὐ διουρ. AB text.; τὰ διουρ. C.

μένη, πινομένου τοῦ ἀφεψήματος, καὶ μάλισ7α τῆς ἀγρίας, καὶ ἔτι μᾶλλον ἡ τῆς θαλασσίας λεγομένης, καὶ ῥίζα περσέας, καὶ ἐλελίσφακος, καὶ πήγανον, καὶ ἀμάραντον, καὶ χρυσάνθεμον, καὶ δίκταμνον, καὶ εὐζώμου σπέρμα. Κινεῖ δὲ καὶ τὰ πρόσθετα προσ- 3
βαλλόμενα τῷ σ7όματι τῆς ὑσ7έρας, ὥσπερ πήγανον λεῖον κατὰ ἰδίαν, ἢ μετὰ ἁλῶν, ἢ μετὰ μέλιτος, ἢ ἀνήθου τῆς ῥίζης κεκαυμένης ἡ σποδιὰ μετὰ μέλιτος, πράσου χυλὸς, ἀγλὶς προσ7ιθεμένη, σμύρνα λεία ἐν οἴνῳ, ἄμωμον, λαγωοῦ πυτία.

ιζ'. Περὶ ἱδρωτικῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τοῖς ἱδρωτικοῖς χρώμεθα ἢ ὑπὲρ τοῦ ξηρότητα ἐπιφανείας ἀνεῖ- 1
ναι γινομένην, ἢ πυρετοῖς, καὶ μάλισ7α μαρασμώδεσιν, ἢ ὑπὲρ τοῦ κνησμῶν καὶ ὀδαξησμῶν ἰσχυρῶς ἐνοχλούντων ἀπαλλάξαι, ἢ ἐν ἀναλήψεσι με|τὰ νόσον μακρὰν, κατεσκληκυίας τῆς ἐπιφανείας. Χρώ- 186 2
μεθα δὲ καὶ ἐπὶ ἀτροφίαις, καὶ ἐπὶ παρέσεσι, καὶ ἐπὶ ἀπεψίᾳ, καὶ

tion, surtout celle de chou sauvage, et plus encore celle du chou marin, la racine de *persée*, la sauge, la rue, le bouton d'or, le chrysanthème, le dictame de Crète, et la graine de roquette. Les pessaires, appliqués à 3
l'orifice de l'utérus, provoquent également les règles : par exemple la rue triturée, soit seule, soit avec du sel ou du miel, la cendre de la racine d'aneth brûlée, si on l'emploie avec du miel, le suc de poireau, une gousse d'ail appliquée à l'utérus, la myrrhe triturée dans du vin, l'*amome*, la présure de lièvre.

17. DES SUDORIFIQUES. — TIRÉ DU MÊME LIVRE.

Nous employons les sudorifiques, soit pour modérer la sécheresse qui 1
survient à la peau, soit contre les fièvres, surtout contre les fièvres compliquées de marasme, soit pour délivrer d'un prurit, ou d'une cuisson qui incommode beaucoup, soit dans la convalescence, quand la peau est fortement desséchée à la suite d'une maladie de longue durée. Nous 2
les employons encore dans l'atrophie, dans la paralysie, dans la mau-

2. περσαίας V. — 2-3. λελίσφακος ABV. — 4. δίκταμον BV. — 6. ἀνίσου C 1ª m. — 7. ἢ ABC 1ª m. MV. — Ib. ἄγλη προσ7ιθεμένη V; ἄγλης προσ7ιθεμένης C. — Ch. 17; l. 10. τοῦ ex em. Matth.; τῶν Codd. — 11. καὶ ὀδαξησμῶν om. A 1ª m. — 11-12. ἀλήψεσιν C 1ª m.; ἀλίψεσιν ABMV.

Matth. 186.

ὕδρωπι τῇ κατὰ σάρκα, καὶ ἐπὶ ὧν ἐπανάστασις γίνεται ϖερὶ τὴν ἐπιφάνειαν, σχετικῆς ϖροηγησαμένης ἤτοι διαφθορᾶς, ἢ βρώματος
3 *δριμύτητος. Ἔστι τῶν ἱδρωτικῶν χαμαίμηλον ξηρὸν λεῖον ἐπιπασσόμενον ἐλαίῳ, τῆς ἐπιφανείας εὐτόνως ἀνατριβομένης, σέσελι Μασσαλιωτικὸν, ϖύρεθρον, κάχρυ, ἄνισον ὁμοίως ἐμπασσόμενον ἐλαίῳ, νίτρον ὀπτὸν μὴ ϖάνυ λεπτὸν, ἀλλὰ κριμνῶδες σὺν τῷ ἐλαίῳ, ἁλὸς ἄνθος συγκιρνώμενον ἐλαίῳ, ὀπὸς Κυρηναϊκὸς σὺν ὕδατι διειμένος, εἰς ἀνάτριψιν τοῦ σώματος ϖαραλαμβανόμενος, καὶ ϖινόμενος μέγεθος ὅσον ἐρεβίνθου.*

ιη'. Περὶ *μετοχετεύσεως.* Ἐκ *τῶν* Γαληνοῦ.

1 Ἡ *ϖαροχέτευσις ὁμογενὴς μέν ἐστι τῇ διὰ τοῦ δεχομένου μορίου τὸ ῥεῦμα κενώσει· γίνεται δὲ διά τινος τῶν ϖλησίον, οἷον ὅταν διὰ γαργαρεῶνος, ἢ οὐρανίσκου φέρηται ῥεῦμα· διὰ ῥινῶν γὰρ*

vaise digestion, dans l'hydropisie anasarque, et lorsqu'il se forme des bourgeons à la peau à la suite de la corruption des aliments, ou de l'usage d'aliments âcres, pourvu que ces affections ne soient pas devenues
3 habituelles. A la classe des sudorifiques appartiennent la camomille desséchée, triturée et saupoudrée sur de l'huile, pourvu qu'on en frotte fortement la peau, le séseli de Marseille, la pariétaire d'Espagne, la graine d'armarinte, l'anis saupoudré de la même manière sur de l'huile, la soude brute grillée, pourvu qu'elle ne soit pas très-fine, mais comme de la farine grossière, et qu'on l'emploie avec de l'huile, les fleurs de sel mêlées à de l'huile, le silphium délayé dans de l'eau, soit qu'on l'emploie pour frotter le corps, ou qu'on en prenne gros comme un pois chiche.

18. DE LA DÉRIVATION. — TIRÉ DE GALIEN.

1 La dérivation est du même genre que l'évacuation par la partie qui est le siége de la fluxion; elle se fait par une des parties voisines : ainsi, quand la fluxion se porte à travers la luette, ou le palais, la dérivation

1. *ὑδροπίᾳ* Codd. — 7. *συγκιρνώμενος* V; *συγκρινώμενος* B corr.; *συγκρινόμενον* B text.; *συγκρινόμενος* AC. — Ch. 18; l. 10. *ϖαροχετεύσεως* B corr. V.

παροχέτευσις αὐτοῦ γένοιτο ἂν προσηκόντως, ἐρεθιζόντων ἡμῶν, ἢ
καὶ προκαλουμένων αὐτὸ δριμέσι φαρμάκοις. Πρὸς δὲ τοὺς ὀφθαλ- 2
μοὺς, ἢ τὰ ὦτα τῶν χυμῶν ῥεπόντων, μετοχετεύειν οὐκ εἰς ῥῖνα
μόνον, ἀλλὰ καὶ εἰς στόμα, διακλύζεσθαι διδόντα καὶ ἀνακογχυ-
λιάζεσθαι τό τε διὰ ὀριγάνου καὶ σιραίου, καὶ τὸ διὰ νάπυος. Ἴσμεν 3
δὲ ὅτι καὶ σταφὶς ἀγρία διαμασωμένη, καὶ πύρεθρον, ἅπαντά τε τὰ
τοιαῦτα δριμέα μετάγει τὴν ἐκ τῆς κεφαλῆς ἐπὶ ὀφθαλμοὺς, ἢ ὦτα
φερομένην τῶν χυμῶν περιουσίαν εἰς τὸ στόμα. Παροχέτευσις δὲ 4
γίνεται κἂν [τῷ] τὸ καταῤῥέον εἰς πνεύμονα διὰ τραχείας ἀρτηρίας
εἰς τὸν στόμαχον ἐκτρέπειν· αἱρετώτερον γὰρ τοῦτο. Καὶ εἰ γυ- 5
ναικὶ διὰ τῶν κατὰ τὴν ἕδραν φλεβῶν ὁρμήσειε τὸ αἷμα, μετάγειν
ἐπὶ τὰς ἐν ταῖς μήτραις. Τὸ μὲν οὖν ὀχετεύειν αὐτὸ τοῖς ὀχετοῖς 6
ἐστιν ὑφηγεῖσθαι, τὸ δὲ παροχετεύειν ἐκτρέπειν ἀπὸ τῶν ὀχετῶν
εἰς τὰ πλάγια.

se fera convenablement par le nez, si nous l'irritons, ou si nous appelons
les humeurs à l'aide de médicaments âcres. Si la fluxion tend vers les 2
yeux ou vers les oreilles, on dérivera non-seulement vers le nez, mais
aussi vers la bouche, en donnant, sous forme de collutoire ou de garga-
risme, soit la préparation faite avec l'origan et du vin doux cuit, soit celle
qu'on fait avec de la moutarde. Nous savons que la staphisaigre, la parié- 3
taire d'Espagne et tous les autres médicaments âcres semblables, si on les
mâche, dérivent dans la bouche les humeurs superflues, qui, de la tête,
se portaient vers les yeux ou les oreilles. On opère encore une dériva- 4
tion, quand on détourne vers l'orifice de l'estomac les humeurs qui
descendent sur le poumon à travers la trachée; car cette espèce de déri-
vation est la meilleure. De même, si, chez une femme, le sang fait une 5
invasion à travers les veines du siége, on le transportera dans celles de
l'utérus. Donc *conduire*, c'est frayer une voie à travers les conduits, mais 6
dériver, c'est détourner des conduits dans une direction latérale.

4. στόμαχον B. — Ib. κλύζεσθαι BV. ex emend.; om. Codd. — Ib. ἀρτηρίας — 7. ἐξάγει B; ἐξάγειν V. — 9. [τῷ] om. A.

ιθʹ. Περὶ ἀντισπάσεως.

1 Τὰς σφοδροτάτας ἐπιῤῥοὰς τῶν χυμῶν ἀντισπασῖικοῖς βοηθή-
μασι κωλύομεν ἀθρόως κατασκήπῖειν· ἀντισπασῖικὰ δέ ἐσῖι βοη-
θήματα δεσμοὶ μὲν τῶν κώλων ἐπὶ τῆς εἰς θώρακα καὶ γασῖέρα
ῥοπῆς ἰσχυρᾶς· ἔμετοι δὲ ἐπὶ τῆς εἰς τὰ κάτω, καθάπερ καὶ αἱ διὰ
2 τῶν δριμυτέρων κλυσμῶν τῆς ἐπὶ τοὺς ἐμέτους. Ἄμφω δὲ ταύτας
τὰς ῥοπὰς, λέγω δὲ τὰς διὰ τῆς ἄνω καὶ κάτω γασῖρὸς γινομένας,
εἰς οὖρα καὶ ἱδρῶτας ἀντισπάσεις, καὶ μέντοι καὶ τὰ οὖρα πρὸς
3 ἱδρῶτάς τε καὶ διαχωρήσεις γασῖρός. Ἀντισπασῖικὸν δὲ βοήθημα
καὶ ἡ παρὰ τοὺς τιτθοὺς προσβαλλομένη σικύα· τὰς δὲ κατὰ ὑπο-
χόνδριον ἐρειδομένας εἴδετε πολλάκις ἀντισπώσας ἱκανῶς τὴν ἐπὶ
τοὺς μυκτῆρας ῥοπὴν, ὥσπερ γε καὶ τὴν διὰ μήτρας ἄμετρον φοράν.
4 Ἀντισπᾷ δὲ τὰ δριμέα φάρμακα καὶ τοῖς κώλοις ἐπιτιθέμενα τὰς
5 ἐπὶ κεφαλὴν καὶ σπλάγχνα ῥοπὰς τῶν χυμῶν. Καὶ ἁπλῶς τὴν ἀν-

19. DE LA RÉVULSION.

1 A l'aide des moyens révulsifs nous empêchons les humeurs qui affluent
violemment de tomber subitement sur quelque partie ; aux moyens révul-
sifs appartiennent, quand il s'agit d'une tendance très-prononcée vers la
poitrine, ou vers le ventre, les bandes appliquées aux membres, et, quand
il s'agit de tendance vers le bas, les vomissements ; lorsqu'il y a tendance
vers les vomissements, on révulse par des lavements plus ou moins
2 âcres. On opérera une révulsion vers les urines, ou vers les sueurs, quand
la fluxion affecte l'une ou l'autre de ces directions, c'est-à-dire qu'elle se
porte vers le ventre supérieur, ou vers le bas-ventre ; on exerce aussi un
3 effet révulsif sur les urines par les sueurs et par les selles. Une ventouse
appliquée près des mamelles est encore un moyen révulsif ; vous avez
souvent vu que les ventouses, appliquées à l'hypocondre, opèrent une
révulsion très-prononcée sur les fluxions vers le nez et sur celles qui se
4 portent violemment à travers la matrice. Les médicaments âcres appli-
qués aux extrémités opèrent encore une révulsion sur la fluxion vers la
5 tête, ou les viscères. En un mot, opérez la révulsion vers les parties in-

Ch. 19 ; l. 3. καί om. V. — 9. τοὺς ABV. — 10. εἴδετε ex emend. ; ἴδετε
τιτθούς ex em. ; τοῦ τήθ. C ; τοῦ σῖήθ. Codd.

τίσπασιν ποιητέον ἐπὶ μὲν τοῖς ἄνω ῥέπουσι χυμοῖς εἰς τὰ κάτω,
ἐπὶ δὲ τοῖς εἰς τὰ κάτω τοὐναντίον, καὶ ἐπὶ μὲν ταῖς εἴσω ῥοπαῖς
ἔξω, καὶ πάλιν ἐπὶ ταῖς ἐκτὸς εἴσω, κἂν εἰ πρὸς τὰ δεξιὰ ῥέποι,
τὴν ἐπὶ ἀρισ7ερὰ ποιητέον ἀντίσπασιν, κἂν εἰ πρὸς ἀρισ7ερὰ,
τὴν ἐπὶ τἀναντία. Οὕτω μὴν καὶ τὰς μὲν ὀπίσω ῥοπὰς ἀντισπᾶν 6
πρόσω, τὰ δὲ πρόσω ῥέποντα ῥεύματα πρὸς τὴν ὀπίσω χώραν
ἀπάγειν. Τιμοκράτης γοῦν ὁ Ἡρακλεώτης, ἐξ ἀγροῦ νεανίσκου κο- 7
μίσαντος εἰς τὴν πόλιν οὐ μικρόν τι βάρος ἐν τῇ δεξιᾷ χειρὶ, καὶ
ἐμπρησθείσης αὐτῆς, ἐκέλευσε τὸ ἴσον βάρος εἰς τὴν ἀρισ7ερὰν
χεῖρα μεταλαβόντα, τὴν ἴσην ὁδὸν ἀνῦσαι μετὰ αὐτοῦ, καὶ τὴν ῥευ-
ματισθεῖσαν ἀναδῆσαι χεῖρα, καὶ τούτου γενομένου, κατέστη παρα-
χρῆμα τὸ οἴδημα τῆς δεξιᾶς χειρός. Κἀμὲ δὲ ὁρᾶτε πολλάκις οὐκ 8
ἐπὶ τῶν χειρῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν σκελῶν, ποιοῦντα τὸ παρα-
πλήσιον τούτῳ· τῷ μὲν γὰρ ῥευματισθέντι σκέλει τῶν ἀποκρουσ7ι-

férieures, quand les humeurs tendent à se porter vers le haut, et dans
la direction contraire, si elles tendent à se porter vers le bas; vers l'ex-
térieur, si elles tendent à se porter vers l'intérieur; vers l'intérieur, si
c'est vers l'extérieur; vers la gauche, si les humeurs penchent vers la
droite, et dans la direction contraire, si elles penchent vers la gauche.
De même on révulsera vers le devant, quand les humeurs tendent à se 6
porter en arrière, tandis qu'on détournera en arrière les fluxions qui
tendent à se porter sur le devant. Timocrate d'Héraclée ordonna à un 7
jeune homme, qui avait porté de la campagne dans la ville avec la main
droite un poids assez considérable, et dont la main s'était gonflée, de
transporter un poids égal dans la main gauche, de faire avec ce poids
une marche de la même longueur, et de soutenir avec une bande le bras
affecté de fluxion; ces conseils ayant été suivis, la tuméfaction du bras
droit disparut de suite. Vous m'avez vu souvent aussi faire quelque 8
chose de semblable, non-seulement pour les bras, mais aussi pour les
jambes, car je place sur la jambe affectée de fluxion quelque médica-
ment répercussif, en y appliquant en même temps un bandage con-

3. τά om. B.— 4. εἰ ex em.; ἢ Codd. — 5. μήν ex em.; μέν Codd. — Ib. μέν om. BV. — 7. ἐπάγειν B text. — Ib. τ' οὖν A. — 9. ἐμπλησθείσης Codd. — 10. μεταβαλόντα B. — 12-13. ὁρᾶτε..... καὶ ἐπί om. C.

κῶν τι φαρμάκων ἐπιτίθημι μετὰ τῆς προσηκούσης ἐπιδέσεως, ἥτις ἄρχεται ἐκ τῶν κάτω μερῶν, ἀεὶ δὲ κατὰ τὸ συνεχὲς ἐπινεμομένη πυκνῶς τὰ πέλας χωρία, μέχρι βουβῶνος ἀνέρχεται· τῷ δὲ ἑτέρῳ σκέλει τῶν θερμαινόντων τι φαρμάκων ἐπιτίθημι, μεταλαμβάνων τε καὶ ἀντισπῶν ἐπὶ ἐκεῖνο τοῦ ῥεύματος.

κ'. Περὶ ἐμέτου.

1 *Τοῖς ἔθασι τῶν ἐμέτων ἐνίοτε μὲν συμφέρει προσάγειν, ἐνίοτε*
2 *δὲ ἀπάγειν τε καὶ ἀπεθίζειν. Εἰ μὲν οὖν εἰς τὴν κοιλίαν συῤῥέοι ξανθὴ χολὴ, πικροχόλου τε ὄντος τοῦ ἀνθρώπου καὶ χωρίον οἰκοῦντος θερμὸν, ἔν τε πόνοις καὶ φροντίσι διαιτουμένου, προσεθίζειν χρὴ τὴν χολὴν ἐμεῖν, πρὶν προσαίρεσθαι τροφήν· εἰ δὲ διὰ τὸ πλέον ἐθέλειν οἴνου πίνειν ἐπὶ τοῖς λουτροῖς πρὸ τῶν σιτίων, ἀπάγειν τοῦ κατὰ τὸν ἔμετον ἔθους ἅμα τῷ καὶ τοῦ πλήθους ἀφαιρεῖν τῶν τε σιτίων καὶ ποτῶν· ἀσθενὴς γὰρ ἡ κοιλία γινομένη τούτων, ἐθίζεται*

venable, qui commence aux parties inférieures, qui remonte jusqu'à l'aine, et dans lequel les tours de bandes, très-rapprochés les uns des autres, se distribuent toujours sur les parties immédiatement adjacentes, tandis que j'applique à l'autre jambe quelque médicament échauffant, pour transporter sur elle la fluxion et opérer une révulsion.

20. DES VOMISSEMENTS.

1 Quelquefois il convient d'encourager ceux qui ont l'habitude des vomissements; d'autres fois, au contraire, il faut leur faire quitter cette
2 habitude et les en dissuader. Si donc il y a vers l'estomac un afflux de bile jaune, si la bile amère prédomine, si le sujet habite un pays chaud et s'il passe sa vie dans les peines et les soucis, on l'accoutumera à rejeter la bile par le vomissement avant ses repas; si, au contraire, on a recours aux vomissements, parce qu'on veut boire une plus grande quantité de vin entre le bain et le repas, on fera renoncer à la coutume de vomir, et on diminuera en même temps la quantité des aliments et des boissons; car l'estomac de ces individus s'habitue, en s'affaiblissant,

Ch. 20; l. 7. *δέ* om. B. — Ib. *ἀνάγειν* BV; *ἐπάγειν* C 1ª m. — 8. *πικροχολοῦται ὄντ.* ABC 1ª m. V. — 9. *ἔν τε*] *οὔτε* C. — Ib. *καὶ φροντίσι* om. C. — 10. *πρὶν*] *τὴν* C 1ª m. — 11. *ἐπάγειν* B. — 13. *γενομένη διὰ τούτων* Gal.

δέχεσθαι τὰς ἐξ ὅλου τοῦ σώματος περιουσίας εἰς αὐτὴν συῤῥεούσας.
Κατὰ καιροὺς δέ τινας ἐμεῖν συμφέρει χάριν τοῦ χυμὸν γλίσχρον 3
καὶ πλεῖστον ἀποῤῥίψαι τῆς γαστρὸς, ἡνίκα ῥαφανῖδάς τε διὰ ὀξυ-
μέλιτος, ὅσα τε ἄλλα τοιαῦτα προσοίσομεν αὐτοῖς. Καὶ εἰ συνεχῶς 4
δὲ τὸν τοιοῦτον χυμὸν ἀθροίζει τις ἐν τῇ γαστρὶ, συνεχῶς ἐπὶ τὸν
ἔμετον ἄξομεν· ἔμπαλιν δὲ, ἀτονούσης τῆς κοιλίας, ὡς μὴ δύνασθαι
φέρειν τὰ ληφθέντα, κωλύσομεν ἐμεῖν, ὀλίγα τε διδόντες σιτία, καὶ
ταῦτα εὐστόμαχα, καὶ τοῖς ἔξωθεν ἐπιτιθεμένοις φαρμάκοις ῥων-
νύντες αὐτήν. Ἐπὶ ὧν δὲ βουλόμεθα τὸν μετὰ δεῖπνον ἔμετον ἀλύπως 5
κινῆσαι, τοὺς βολβοὺς τῶν ναρκίσσων ἅμα τῶν ἐσθιομένων τινὶ φα-
γεῖν δόντες, εὐημεῖς αὐτοὺς ποιήσομεν· ἔστι γὰρ ἐμετικὸν φάρμα-
κον ὁ τοῦ ναρκίσσου βολβὸς, ὃν κεφαλὴν ὀνομάζουσιν. Ἐμετικὸν δέ 6
ἐστι καὶ ἀναγύρεως τὸ σπέρμα καὶ βαλάνου μυρεψικῆς τῆς σαρκὸς
δραχμὴ μία μετὰ μελικράτου ποθεῖσα. Πολλάκις δὲ καὶ διὰ τῆς 7

à servir de réceptacle aux superfluités qui y affluent de toutes les parties
du corps. Dans certaines circonstances, il convient de vomir pour re- 3
jeter de l'estomac l'humeur visqueuse qui s'y trouve en abondance;
alors nous administrerons des radis dans de l'oxymel, ou un autre
moyen analogue quelconque. S'il s'accumule habituellement dans l'es- 4
tomac une humeur semblable, nous ferons vomir constamment; si,
au contraire, l'estomac est tellement faible, qu'il ne puisse supporter
les aliments ingérés, nous défendrons de vomir, nous donnerons des
aliments favorables à l'orifice de l'estomac en petite quantité, et nous
renforcerons cet organe par des médicaments appliqués à l'extérieur.
Quand nous voulons provoquer sans désagrément un vomissement après 5
dîner, nous donnons à manger des ognons de narcisse mêlés aux ali-
ments [habituels] pour rendre les sujets plus aptes à vomir, car cet
ognon, auquel on donne le nom de *tête*, est un médicament vomitif.
La graine de bois puant est également un médicament vomitif, ainsi que 6
la pulpe du gland d'Égypte, prise en boisson avec de l'eau miellée à la
dose d'une drachme. Souvent ce dernier médicament produit aussi des 7

1. ἐξ] διά B. — 2. χυλόν B text. — 3. ἀποτρίψαι Gal. — 5. ἀθροίζοι V. — 10. τινί om. Gal. — 12. ὃν..... ὀνομάζ. om. Gal. — 13. τό om. Gal.

κάτω κοιλίας ὑπάγει δαψιλὲς, ὅθεν, ἐπειδὰν ὑπὲρ τοῦ διακαθᾶραί τι τῶν σπλάγχνων, καὶ μάλισῖα ἧπαρ, ἢ σπλῆνα, χρώμεθα τῷ Φαρμάκῳ, μετὰ ὀξυκράτου δίδομεν.

κα'. Πῶς ἄν τις εὐκόλως ἐμοῖ; Ἐκ τῶν Ῥούφου· ἐκ τῶν Πρὸς Ποταμωνιανὸν, Περὶ ἐμέτων.

1 Ἐπειδὴ τοῖς συντόνως καὶ χαλεπῶς ἐμοῦσι κίνδυνος οὐχ ὁ τυχὼν καὶ Φλέϐιον ῥῆξαι, καὶ τὴν ὄψιν βλαϐῆναι, Φαρύγϛεθρόν τε καὶ κιονίδα καὶ σῖόμαχον ὀδυνηθῆναι, καί τι ἄλλο οὐκ ἐπιτήδειον παθεῖν, διὸ δὴ ἐξευρήκασιν οἱ ἰατροὶ τρόπους, κατὰ οὓς ἔνεσῖιν εὐπετῶς ἐμεῖν, ἵνα μὴ διὰ τοῦτο τῆς ἄλλης ὠφελείας ἀποσῖερῶνται· καὶ γὰρ Φλέγμα κενοῖ, καὶ κεφαλὴν βαρεῖαν ἐπικουφίζει, καὶ τὴν ἄλλην ἕξιν ἐλαφροτέραν παρέχει, καί ποτε καὶ προθυμότερον Φαγόντα ἀπεπτῆσαι κωλύει, ἢ καὶ ἀπολαύσαντα οἴνου πλείονος οὐκ ἐᾷ βλα-

évacuations abondantes par le bas-ventre : c'est pour cette raison que, si nous l'administrons pour déterger quelque viscère, surtout s'il s'agit du foie, ou de la rate, nous le donnons dans de l'eau vinaigrée.

21. COMMENT ON VOMIT AVEC FACILITÉ. — TIRÉ DE RUFUS, DU TRAITÉ *SUR LES VOMISSEMENTS, ADRESSÉ À POTAMONIANUS.*

1 Ceux qui vomissent difficilement et avec effort sont exposés à des dangers assez considérables, comme la rupture de quelque petite veine, la perversion de la vue, ou des douleurs au gosier, à la luette, ou à l'œsophage, ou enfin à quelque autre accident fâcheux : pour cette raison, les médecins ont inventé des méthodes qui permettent de vomir facilement, afin de ne pas se priver des avantages propres, du reste, au vomissement, car il évacue la pituite, soulage la tête, quand elle est lourde, rend même tout le reste du corps plus léger ; quelquefois aussi il évite une indigestion à celui qui a mangé avec trop d'avidité, et met à l'abri de tout

1. δαψιλῶς Gal. — Ib. ἐπειδή Gal. — Ib. διακαθῆραί Gal. — 2-3. χρώμεθα..... δίδομεν Gal.; μετ' ὀξυκράτου διδόντες χρώμεθα τῷ Φαρμάκῳ Codd. — Ch. 21. Tit. Ἐκ τῶν Ῥούφου Codd. in Ind., *Syn.*, Aët.; om. Codd. in text. — 5. Φαρύγεδρον Codd. — 5-6. κηνιῶδα C 1ª m.; κενιῶδα ABV. — 8. ἐμεῖν] ἡμῖν AC 1ª m. — 9-10. τὴν ὅλην ἕξιν τοῦ σώματος Gal.

ϐῆναι. Μέγιστον δὴ καὶ ϖρῶτον εἰς ῥᾳστώνην ἐπὶ μετρίῳ ϖληρώ- 2
ματι ἐξερᾶν· οἱ γὰρ ἄγαν ὑπερπλησθέντες ἐμπίπλανται τὴν γαστέρα
ὥστε μὴ δύνασθαι ϖροστέλλειν αὐτήν. Στοχαστέον δὲ καὶ τῶν ϖροσ- 3
φερομένων, ὡς μὴ στρυφνὰ, ἢ ξηρὰ ᾖ, ἀλλὰ τὰ μὲν τοῦ γλυκυτέρου
τρόπου καὶ ὑγροτέρου, τὰ δὲ τοῦ δριμυτέρου. Δοκεῖ δὲ ἐν τούτοις 4
ῥαφανίς τε εὐδοκιμεῖν, καὶ εὔζωμον, καὶ τάριχος ϖαλαιὸν, καὶ ὀρί-
γανος χλωρὰ, καὶ κρομμύου ὀλίγον, καὶ ϖράσου. Συνεργεῖ δὲ τοῖς 5
ἐμέτοις καὶ τῶν ὀσπρίων αἵ τε ϖτισάναι, μέλιτος ἔχουσαι, καὶ τὰ
ἀπὸ τῶν κυάμων ἔτνη, καὶ τὰ ϖίονα τῶν κρεῶν, ἀλλὰ ὅπως μὴ
μόνον τοὺς χυλοὺς αὐτῶν λαμϐάνῃς, ἀλλὰ ὅλους τοὺς ὄγκους καταπί-
νῃς· οὕτω γὰρ ἐπιτηδειότερον τοῖς ἐμέτοις· οἱ δὲ χυλοὶ τῇ λεπτό-
τητι καὶ τῷ ἐγγυτέρῳ εἶναι τοῦ ϖεπέφθαι ῥᾷον ἀναδίδονται. Μὴ 6
τοίνυν μηδὲ ϖερὶ τὴν μάσησιν ἱκανῶς διάτριϐε, μέλλων ἐμεῖν· τῇ

dommage celui qui a bu trop de vin. Le point capital et le plus impor- 2
tant pour faciliter le vomissement, c'est de vomir après avoir rempli mo-
dérément l'estomac, car ceux qui se surchargent outre mesure rem-
plissent tellement leur estomac, qu'ils ne peuvent le contracter. On 3
tâchera de faire en sorte que les aliments ne soient ni âpres, ni secs,
mais qu'ils appartiennent en partie à la classe des aliments sucrés et hu-
mides, et en partie à celle des aliments âcres. Parmi les aliments, une 4
certaine réputation semble être acquise au raifort, à la roquette, aux
salaisons vieilles, à l'origan vert, à l'ognon et au poireau pris en petite
quantité. Parmi les graines farineuses, la ptisane, dans laquelle on a mis 5
du miel, favorise aussi les vomissements, ainsi que les purées de fèves; il
en est de même des viandes grasses; gardez-vous bien de ne prendre que
le bouillon de ces viandes, mais mangez-les intégralement; car cela con-
vient mieux pour les vomissements : les bouillons, au contraire, sont
plus facilement absorbés, parce qu'ils sont ténus et que leur état se
rapproche davantage de celui des aliments digérés. On n'insistera donc 6
pas trop longtemps sur la mastication, quand on veut vomir; mais les

1. δέ B. — Ib. εἰς ex emend.; ἢ Codd. — 2. ἐξερᾶν ex emend.; ἐξαιρεῖν C; τοῦ ἐξαιρεῖν 2ª m.; ἐξεμεῖν ABV. — Ib. ἐμπίμπλανται C. — 4. τά om. A. — 4-5. τοῦ γλυκυτέρου τρόπου *Syn.*; τοῦ γλυκεροῦ τρόπου Gal.; τοῦ γλυκεροῦ Codd. — 6-7. ὀριγανίς Codd., Gal. — 9. ἔτι Gal. — Ib. ϖλείονα ABC 1ª m. V; λιπαρά Aët. — 11. εὔχυλοι ABC 1ª m. V.

7 δὲ ἑψήσει μαλακὰ πάντα ἔσΊω. Δῆλον δὲ δήπου, ὅτι καὶ τῶν οἴνων
τοὺς ὡς ὅτι γλυκυτάτους αἱρετέον· οὗτοι γὰρ ἐπιπολασΊικώτεροι,
8 καὶ μᾶλλον εἰ κεραννύοιντο τοῦ εἰωθότος ὑδαρέσΊερον. Χρὴ δὲ πρὸς
τῷ ἐμεῖν γινόμενον καὶ χλιαρωτέρῳ χρῆσθαι τῷ ποτῷ καὶ δαψιλε-
9 σΊέρῳ. Δεῖ δὲ καὶ ἀμύγδαλα εἰς μέλι ἀποβάπΊοντα ἐσθίειν, καὶ πλα-
κοῦντος γεύεσθαι τηνικαῦτα, καὶ τοῦ πέπονος σικύου τὸ σπέρμα
βρέξαντα καὶ λειάναντα μετὰ μέλιτος προσφέρεσθαι· κινεῖ γὰρ
ἱκανῶς τοὺς ἐμέτους· κινεῖ δὲ καὶ ἡ ῥίζα τοῦ σικύου τετριμμένη
10 μετὰ μέλιτος. Οἱ δὲ ἰσχυροτέρῳ βουλόμενοι χρῆσθαι ναρκίσσου
11 βολβὸν ἑψήσαντες ἐν ὕδατι, τούτῳ κεραννύουσι τὸν οἶνον. Προτρέ-
πει δὲ ἐμεῖν καὶ ἴρινον μύρον, εἴ τις διαχρίσας τοὺς δακτύλους
12 ἐρεθίζοι. Τὸ δὲ ὅλον μὴ πολὺ ἐπὶ τῷ δείπνῳ διαλιπεῖν, ἀλλὰ, ἔτι
13 μετεώρων ὄντων, ἄρχεσθαι τοῦ ἐμέτου. Εἰ δὲ διὰ πλησμονὴν κω-
λύοιο, διαλιπεῖν χρή ποτε, καὶ κοιμηθῆναι τὸν πρῶτον ὕπνον·

7 aliments doivent être tous ramollis par la cuisson. Il est évident que,
parmi les vins, on doit préférer ceux qui ont le goût le plus fortement
sucré, car ceux-là ont plus de tendance à surnager que les autres, surtout
8 quand on les coupe plus fortement que de coutume. Quand on est sur le
point de vomir, on prendra des boissons tièdes en assez grande quantité.
9 Alors on mangera aussi des amandes trempées dans du miel, et on pren-
dra un morceau de gâteau, et des graines de pastèque macérées et tri-
turées avec du miel; car ces graines excitent fortement à vomir; la racine
de concombre triturée avec du miel provoque aussi des vomissements.
10 Ceux qui veulent employer un moyen plus efficace font bouillir un ognon
11 de narcisse dans de l'eau et coupent le vin avec cette eau. L'huile aro-
matisée d'iris, portée [sur le gosier] à l'aide des doigts, provoque aussi
12 les vomissements. En général, on n'attendra pas longtemps après le
dîner, mais on commencera à vomir quand les aliments sont encore
13 flottants. Si l'estomac, trop surchargé, empêche d'agir ainsi, on attendra
un peu; on fera un premier somme, car, de cette façon, l'estomac se re-

2. τοὺς ὡς ὅτι γλυκυτάτους ex em.; ὡς ὅτι τοὺς γλυκυτέρους Codd.; τοὺς γλυκυτέρους Gal. — 3. κεραννῦντο Codd. — 4. τὸ ἐμεῖν Codd. — 5. ἀποβάπΊοντας V. — 7-9. προσφέρεσθαι..... μέλιτος om. BV. — 11. μ. ἴρ. καὶ πολλῷ μᾶλλον τὸ κύπρινον Aët. — 12. διαλείπειν AC. — 13-14. κωλύοις Codd.

Matth. 186.

οὕτω γὰρ διαχαλᾶται ἡ γαστὴρ καὶ ἐπανέρχεται τὰ σιτία εὐκόλως.
Ἐπὶ δὲ τοῖς ὕπνοις ἐμοῦντα συμφέρει συνεχέστερον τοῦ ὕδατος ἐπιρ- 14
ροφεῖν, μὴ ὀξύνοντα καὶ δάκνοντα λήσῃ τὰ ἐμούμενα. Ἐμετικὸν δὲ 15
καὶ τὸ μὴ ἀνεῖναι καὶ τὸ μὴ διαλιπεῖν, ἀλλὰ ἐπιφανέντος καὶ μι-
κρῶς, ἐρεθίζειν καὶ προσλιπαρεῖν, μεταξὺ δὲ καὶ τοῦ ὕδατος πίνειν
καὶ χλιαρωτέρου. Οὕτω μὲν δή τις κάλλιστα ἐμοῖ καὶ ἀταλαιπώρως· 16
ἐπὶ δὲ τοῖς ἐμέτοις τό τε στόμα διακλύζειν, καὶ τὴν ὄψιν ἀπονί-
πτειν ὀξυκράτῳ, ἢ ὕδατι· καὶ γὰρ τοῖς ὀδοῦσι συμφέρει, καὶ δια-
κουφίζει τὴν κεφαλήν. Ἄμεινον δὲ καὶ ἐπιβρέγματι χρῆσθαι, ἢ 17
ῥοδίνῳ, ἢ ἐλαίῳ ὠμοτριβεῖ, καί, ὅταν ἀναπαύεσθαι μέλλῃς, κε-
λεύειν τινὰ τοὺς πόδας ἀνατρίβειν ἡσύχως· καὶ γὰρ τοῦτο κοῦφον
τῇ κεφαλῇ.

κβʹ. Ἐμετικά. Ἐκ τῶν Διοκλέους.

Τῶν ἐμετικῶν δὲ καλουμένων τὰ μὲν φαρμακώδη καὶ δραστι- 1

lâche, et les aliments remontent facilement. Si on vomit après avoir 14
dormi, il faut avaler constamment de l'eau après chaque vomissement,
de peur que les aliments, destinés à être vomis, ne s'aigrissent et ne
causent des picotements, sans qu'on s'en doute. Ne se donner ni cesse 15
ni repos, mais se titiller [le gosier], s'évertuer à vomir, dès qu'il se
montre des renvois, quelque petits qu'ils soient, et boire dans les inter-
valles de l'eau plus ou moins tiède, sont aussi des moyens de hâter le
vomissement. C'est là la meilleure manière de vomir; elle est exempte 16
de tourments; mais, après les vomissements, on se rincera la bouche et
on se lavera la figure avec de l'eau vinaigrée, ou de l'eau pure, car cette
pratique est avantageuse pour les dents et rend la tête légère. Il vaut 17
mieux encore employer l'huile de roses ou d'olives vertes sous forme
d'embrocation; et, lorsqu'on est sur le point d'aller se coucher, on se
fera frotter doucement les pieds, car cela rend également la tête légère.

22. DES MÉDICAMENTS VOMITIFS. — TIRÉ DE DIOCLÈS.

On ne choisira pas les remèdes appelés *vomitifs* parmi les substances 1

3. ὀξέλοντα V; ὀξελόντα BC 1ª m.; εἰξελόντα A. — Ib. λήσῃ conj.; λύσει Codd. — 4. ἀνεῖναι *Syn.*; ἀνιέναι Codd. — 4-5. μικρός AC. — 6. μάλιστα B text. C. — 8. ἢ ὕδατι] ὑδαρεῖ *Syn.* — 11. τινάς AC.

κώτερα λίαν οὐ δεῖ προσίεσθαι, χρῆσθαι δὲ τοῖς οἰκείοις μάλιστα τῆς συνήθους διαίτης· εἴη δὲ ἂν τῶν τοιούτων τὸ ἀπόβρεγμα τῶν σικυῶν τῶν ἁπαλῶν κατατμηθέντων εἰς ὕδωρ, ᾧ κεράννυμεν τὸ πι-
187 νό|μενον μετὰ τὸ δεῖπνον χλιαρὸν, ἢ σφάγνου τοῦ ὑαλώδους ἀφεψήματος τὸ ὕδωρ πινόμενον ὡσαύτως, ἢ ἄλευρον καθαρὸν μὴ λίαν κάθεφθον μετὰ μέλιτος ῥοφούμενον, καὶ πρὸ τοῦ δείπνου καὶ μετὰ τὸ δεῖπνον, ἢ σκόροδα ὀπτὰ μετὰ μέλιτος ἐσθιόμενα, ἢ σήσαμα πεφρυγμένα καὶ τετριμμένα μελικράτου τρισὶν ἡμικοτυλίοις διακεχυ-
2 μένα· πάντα δὲ τὰ τοιαῦτα χλιαρὰ καὶ πυκνῶς δεῖ λαμβάνειν. Ῥᾷστα δὲ ἄν τις καθήμενος ἐμοῖ, ἢ ὀρθός· δεῖ δὲ μὴ βιάζεσθαι, προθυμούμενον πάντα ἐξεμεῖν ἀκριβῶς, ἀλλὰ, ὅταν κενωθῇ τις ἱκανῶς, ἐᾷν,
3 μηδὲ ἐπιπίνειν μεταξὺ μηδὲν, ἢ μικρόν. Ὀξηρῶν δὲ ἐμουμένων,

qui tiennent de la nature des *drogues*, et qui ont une très-grande efficacité, mais on se servira de préférence de ceux qui ont de l'affinité avec le régime habituel du malade; à cette classe appartiennent l'infusion de concombres verts coupés par morceaux, infusion obtenue par macération dans l'eau, pourvu qu'on la mêle à l'eau tiède qu'on boit après le repas; l'eau provenant de la décoction gélatineuse des lichens, quand on la boit de la même manière; la farine pure qui n'est pas très-cuite, quand on l'avale avec du miel, aussi bien avant qu'après le repas; l'ail grillé mangé avec du miel; le sésame torréfié, trituré et délayé dans un cotyle et demi d'eau miellée : tous ces remèdes doivent être em-
2 ployés à une température tiède et à plusieurs reprises. La manière la plus facile de vomir est d'être assis, ou debout, mais on ne doit pas se faire violence, en s'efforçant de rejeter complétement tout [le contenu de l'estomac] : au contraire, quand il y a eu une évacuation suffisante, on abandonnera les choses à elles-mêmes, et on ne boira rien par-dessus,
3 ou du moins peu de chose. Quand on vomit des matières acides, on boira

1. *δεῖ..... χρῆσθαι* om. CM text. — Ib. *ἐκείνοις* C. — 2-3. *κατατμ. εἰς ὕδ. τ. σικ. τ. ἁπ.* A. — 4-5. *μετὰ..... πινόμ.* om. BV. — 4. *ἢ σφάγνου τοῦ ὑαλώδους* ex em.; *ἠσφαινον τοῦ ἀλώδους* A; *ησφαινου* (*σφαινου* C) *τοῦ αἰώδους* CM. — 6. *κάθεφθον* ex em. Matth.; *κάτεφθον* ABCMV. — 7. *σκόρδα* Codd. — 8. *ἡμικοτύλοις* BV. — 9. *Ῥᾷον* Gal. — 10. *ἂν* om. Gal. — Ib. *ἐμεῖ* Gal. — 12. *Ὀξηρὸν* (*ὀξυρόν* B corr. V; *ἢ ξηρόν* A;) *δὲ ἐμούμενον* Codd.

ὕδωρ χλιαρὸν ἐπιπίνειν. Μετὰ δὲ τὸ ἐμεῖν τὸ δοκοῦν εὔλογον εἶναι, 4
καθάπερ ἀγγεῖον, διανίψαι τὴν κοιλίαν, πιόντα μελίκρατον, ἢ ὕδωρ
πολὺ, καὶ πάλιν ἐμέσαι, ἢ μὴ προσίεσθαι, προσχεάμενον δὲ πρὸς
τὸ πρόσωπον ὕδωρ καὶ τὸ σ7όμα διακλυσάμενον, οἴνῳ ἀκράτῳ
χλιαρῷ τρισὶ κυάθοις ἀνακογχυλιάζεσθαι κατὰ μικρόν.

κγ'. Περὶ ἐμέτου ἀπὸ σιτίων. Ἐκ τῶν Ἀρχιγένους.

Ἐμέτῳ δὲ τῷ ἀπὸ σιτίων ὑπὸ ἀνάγκης μὲν μὴ διεθίσῃ· ὄνησις 1
δὲ θαυμασ7ὴ, | δὶς ἢ τρὶς, ὡς ἂν παρήκῃ, κατὰ μῆνα παραλαμβά- 188
νειν· καὶ γὰρ τῷ διὰ ἀνάγκην ἐπίμετρός τις ἀκολουθεῖ ῥᾳσ7ώνη,
ἀπὸ ἧς προήχθησαν ἤδη τινὲς καὶ εἰς ἔθος ἐνδελεχοῦς ἀποφορτι-
σμοῦ τῶν σιτίων, οἱ μὲν ἀκριβοῦς, οἱ δὲ ὁλοσχεροῦς, κατασ7ῆναι.
Καὶ ἀμέλει τινές εἰσιν οἳ μηκέτι τῶν δυσχερῶν σφόδρα ἀνιαρῶς 2

par-dessus de l'eau tiède. Lorsque la quantité des matières vomies semble 4
suffisante, on lavera l'estomac comme une vaisselle, en buvant de l'eau miellée, ou de l'eau pure en grande quantité; puis on vomira de nouveau, ou bien on ne recourra pas à ces moyens, mais on fera des affusions d'eau sur la figure, on se rincera la bouche et on se gargarisera par petites gorgées avec trois cyathes de vin pur tiède.

23. DU VOMISSEMENT APRÈS LE REPAS. — TIRÉ D'ARCHIGÈNE.

Il ne faut pas s'habituer au vomissement forcé après le repas, quoiqu'il 1
produise un effet admirable, si on l'emploie deux ou trois fois par mois, selon que les circonstances l'exigent : le vomissement forcé produit en effet un certain degré modéré de bien-être, et c'est là ce qui a engagé quelques personnes à adopter l'habitude de se décharger toujours de
leurs aliments, les unes complétement, les autres incomplétement. Quel- 2
ques individus, il est vrai, n'en ont pas éprouvé immédiatement les

1. δέ om. B. — Ib. τὸ ἐμεῖν Gal.; τὸν ἔμετον Codd. — 2. ἀγγεῖόν τι διάνιψον Gal. — Ib. πιὼν τὸ μελ. Gal. — 3. προσχεάμενον ex emend.; προσχεάμενος ABV; προχεάμενος CM. — 4. διακλυσάμενος Codd. — CH. 23. Tit. ἐμέτων B text. CMV. — 6. Ἐμέτου δὲ τοῦ Codd. — Ib. μὴ διεθίσῃ ex emend.; μηδὲ ἐθίσῃς AB; μὴ δὲ ἠθίσῃς M; μηδὲ ἠθήσῃς V; μὴ διηθίσῃς C. — 8. τῷ ex emend. Matth.; τό Codd. — 10. ἀκριβῆ....... ὁλοσχερῆ Codd. — 11. ἀμελῆ Codd. — Ib. οἱ Codd. — Ib. ἀνιαρῶς conj.; ἀμαυρῶς Codd.

Matth. 188.

ἐπειράθησαν, μάλισῖα τῶν ἀπὸ τοῦ κώλου, ἀλλὰ ἔγωγε οὐκ ἂν
οὐδὲ ἐπὶ σαφέσι τοῖς ἐπάθλοις τοιοῦτον νέμοιμι φάρμακον ἀνδρὶ
καθαρίῳ τε καὶ οὐκ ἐν ἀδυνάτῳ τὴν ἐγκράτειαν τιθεμένῳ· ὑπαλ-
3 λαγὴ γὰρ ἂν εἴη τόπῳ ἑτέρου νοσήματος. Ἐῶ τὸ βδελυρὸν, ἕπεται
ἀτροφία ἄμορφος, ἀτονία δεινὴ, πικρία ἤθους μελαγχολώδης, δύσ-
4 πνοια, κακοσιτία, ἔνδεια μὲν ἡδονῆς, ὑπερβολὴ δὲ ἐπιθυμίας. Καὶ
παρέθησαν δὲ ἐνίοις οἱ σῖόμαχοι, ὥσῖε αὐτίκα ἀποῤῥίπῖειν τὸ
εἰσενεχθὲν, πρὶν ὄνασθαί τι αὐτοῦ, ἢ διὰ ταλαιπωρίας ἀῤῥήτου
τινὸς αὐτὸ ἀνιμᾶσθαι, οὐκέτι δακτύλοις, ἀλλὰ σπάθαις εἰς αὐτὴν
5 σχεδὸν καθιεμέναις τὴν γασῖέρα. Καὶ τὸ ὑπολειφθὲν ψιχίον ἂν ἔσῖιν
ὅτε ὅσον τὸ πᾶν βαρεῖ, καὶ φθαρεῖται μὲν ῥᾳδίως τε καὶ ἀλλοκό-
6 τως, πέσσεται δὲ οὐδαμῶς οὔτε ἕν. Αἱ μὲν ὑποχωρήσεις δύσκολοι,

suites fâcheuses d'une manière très-sensible, surtout du côté du colon;
mais, même si l'avantage que cette pratique peut procurer était hors de
contestation, je n'oserais pas imposer un pareil traitement à un homme
honnête, et qui ne regarde pas la sobriété comme quelque chose d'im-
possible : ce serait en effet une substitution d'une maladie à la place
3 d'une autre. Sans parler de ce que cela a de dégoûtant, les suites en
sont une atrophie disgracieuse, une faiblesse effrayante, une morosité
de caractère ressemblant à la mélancolie, une respiration difficile, un
défaut d'appétit, une absence de jouissance malgré des désirs immo-
4 dérés. Chez quelques sujets, l'orifice de l'estomac s'est paralysé, de
façon qu'ils rejetaient immédiatement ce qu'ils avaient ingéré, avant
qu'ils en eussent retiré le moindre avantage, ou qu'il leur fallait aller
puiser la matière du vomissement au milieu de tourments inexprima-
bles, non plus à l'aide des doigts, mais avec des baguettes enfoncées pres-
5 que jusque dans l'estomac lui-même. Quelquefois les parcelles restées
dans l'estomac n'incommodent pas moins que la masse alimentaire; elles
se corromptont avec facilité et d'une manière étrange; il n'y a pas la
6 moindre partie qui soit digérée. Les selles sont difficiles, ou par Ju-

1. ἐπειρ. μάλ. om. CM text. — 2. νέμοιμι conj.; τέμοιμι Codd. — 3-4. ὑπαγωγή B. — 4-5. βδελ. ἐῶ τὰ ἀτρ. ἀμόρφως Codd. — 5. ἀτονία δεινή om. BV. — Ib. πικρία ἤθους ex em.; πικριάνθους ABMV; om. C. — 7. παρήθησαν Codd. — 8. τε Codd. — 9. αὐτὸν ἀνεμ. Codd. — Ib. αὐτήν ex em.; ἑαυτήν ABV; ἑαυτόν CM. — 12. οὐθέν BV. — Ib.-p. 204, 1. δύσκ..... ἄμ. ex em. Ras.; δυσκολύειν η διαάμετροι M.; δυσκολύειν ηδια ἄμετροι AC; δυσκωλύειν ἢ διάμετροι BV.

ἢ νὴ Δία ἄμετροι· ὀδύναι δὲ καταλαμβάνουσι σκληραὶ αἱ μὲν ἐντεῦθεν, αἱ δὲ ἄλλοθεν, ἑτοίμῳ πρὸς ἐπήρειαν ὄντι τῷ σώματι ἐπιφυομένου
παντὸς αἰτίου. **Καὶ** *αἱ διαθέσεις μὲν ἐνίοις ἐμφωλεύουσι μόνον, ὑπὸ* 7
τῆς κοιλίας τῶν παρο|ξυσμῶν παρακοπέντων, αὖθις δὲ ἂν ἐξεφά- 189
νησαν, ὅτε στενὴ ἡ εἰς βοήθειαν ἀπειργασμένη πίστις, ἐγκράτειαν καταλιπὼν εἰς τοιούτων κακῶν ἑστίαν καταβαίνειν.

κδʹ. Περὶ κλύσματος. Ἐκ τῶν Ῥούφου.

211
Τῶν *ἐνιεμένων διὰ κλυστῆρος οἱ μέν εἰσιν ἁπαλοὶ, οἱ δὲ δριμεῖς·* 1
ἁπαλοὶ μὲν ὕδωρ | θερμὸν, ὑδρέλαιον, γάλα, τήλεως ἀφέψημα, 212
χόνδρου, τράγου, σύκων, λινοσπέρμου, μαλάχης, χυλὸς πτισάνης, ἢ πυρῶν, ἀνδράχνης, ἀρνογλώσσου, τεύτλου, ἄρτου, οἰνέλαιον,
ὀρόβων ἀφέψημα, φακοῦ, ῥόδων, ῥόδινον. **Παραπλέκεται** *δὲ ἐνίοις* 2

piter, démesurées; on est pris de douleurs cruelles, tantôt dans un endroit, tantôt dans un autre, parce que toute cause de maladie s'implante
facilement dans un corps ouvert aux désordres morbides. Quelquefois 7
les maladies restent seulement à l'état latent, attendu que l'estomac en fausse les accès, mais elles se révèlent tout d'un coup, et, dans ce cas, il est très-incertain qu'on puisse encore porter secours, puisqu'il ne reste pas d'autre ressource que de faire descendre la sobriété dans un foyer de maux si graves.

24. DES INJECTIONS. — TIRÉ DE RUFUS.

Les ingrédients qu'on injecte avec le *clystère* sont, les uns émollients 1
et les autres âcres; les ingrédients émollients sont l'eau chaude, un mélange d'huile et d'eau, le lait, la décoction de fenugrec, *d'alica,* de *tragos,* de figues, de graines de lin, de mauve, la crême d'orge mondée, ou de froment, le suc de pourpier, de plantain, de bette, la panade, un mélange d'huile et de vin, la décoction d'ers, de lentilles, de roses, l'huile
de roses. On ajoute quelquefois de la graisse d'oie, de porc, de chèvre, 2

1-2. *καταλ... αἱ δέ* om. A 1ª m. — 2. *ἑτοίμως* AC. — 5. *ἡ* M; om. V. — Ib. *ἀπεργασαμένη* CM. — Ib. *πισθεὶς* Codd. — 6. *τοιοῦτον* ACM. — Ch. 24; l. 7. *κλυστήρων* B text. — Ib *ἁπλοῖ καὶ ἁπαλοί* Aët. — 9. *σύκου* CM Gal. — 10. *ἢ* om. M. — Ib. *πυρῶν* ex em.; *πυρόν* AB; *πυροῦ* CMV. — Ib. *ἄρτου* om. B. — 11. *ὄροβον* ABM; *ὄροβα* C 1ª m. V. — Ib. *φακῶν* Gal. — Ib. *ῥόδον* ABC 1ª m. V.

Matth. 212-213-214.

στέαρ χήνειον, ὕειον, αἴγειον, τράγειον, ὀρνίθειον, βούτυρον, ῥητίνη τερμινθίνη, πήγανον, κύμινον, δαφνίδες, ἄνηθον, ἄσφαλτος.
3 Δριμεῖς δὲ ἅλμη, θάλασσα, γάρος σιλούρου, ἴρεως ἀφέψημα, θύμου, θύμβρας, ἀριστολοχίας στρογγύλης, σικύου ἀγρίου, ἀψινθίου, μελίκρατον μετὰ ἁλῶν καὶ νίτρου, κολοκυνθίδος ἀφέψημα, κενταυρίου χυλὸς, κνήκου ἀφέψημα, ἐλλεβόρου μέλανος, λινοζώστεως,
213 4 πολυποδίου, ὄξος μετὰ νίτρου, ῥοῦς | σκυτοδεψικός. Οἱ μὲν οὖν ἁπαλοὶ κλυσμοὶ ἁρμόζουσιν ἐπὶ ὧν ξηρὸν ἐγκατέχεται κόπριον, καὶ ἐπὶ ὧν μείζονι ἐπιβαλλόμεθα βοηθήματι, σικύᾳ, δρώπακι, φλεβοτομίᾳ, κουρᾷ, χειρουργίᾳ, λουτρῷ, αἰώρᾳ, ἐμέτῳ, καὶ μάλιστα καθαρτικῷ.
5 Κλύζομεν ἁπαλῷ κλύσματι καὶ οὓς μέλλομεν καθαίρειν
214 κατωτερικῷ τινι καθαρτικῷ [τοῦ] τὸ πρόχειρον καὶ ἀλλότριον | τῷ κλύσματι καθαίρειν, γυμνῶν ἀξιοῦντες καθάπτεσθαι τῶν σωμάτων

de bouc, de poule, du beurre, de la résine de térébenthinier, de la rue,
3 du cumin, des dattes, de l'aneth, de l'asphalte de Judée. Les ingrédients âcres sont l'eau salée, l'eau de mer, le garon du silure, la décoction d'iris, de *thym*, de *thymbre*, d'aristoloche *ronde*, de concombre sauvage, d'absinthe, l'eau miellée contenant du sel, ou de la soude brute, la décoction de coloquinte, le suc de centaurée, la décoction de carthame, d'ellébore noir, de mercuriale, de fougerole, le vinaigre avec de la soude brute,
4 le sumac des corroyeurs. Les lavements émollients conviennent dans le cas où il y a rétention de matières fécales sèches et quand on se propose d'employer quelque traitement plus important, comme les ventouses, les emplâtres de poix, la saignée, la tonsure, quelque opération chirurgicale, un bain, le mouvement passif, le vomissement, mais surtout un
5 médicament purgatif. Nous administrons encore un lavement émollient à ceux que nous voulons purger [ensuite] avec un médicament qui évacue par le bas, dans le but d'éloigner ainsi les matières étrangères qui sont à portée, désirant que le médicament purgatif frappe les parties à nu; nous employons alors un lavement âcre comme traitement consécutif et

1-2. ῥητίνης ABC 1a m. V. — 2. τερμινθίνης Codd. — 3. θαλάσσια Codd. — 8-9. ἐπὶ ὧν ξηρὸν..... σικύᾳ om. V. — 9. δρώπακι ex em.; δροπάκη ABCM; σφοδρῶς πακη V. — 10. λουτρῶν ABC 1a m. MV. — 11. ἁπλῷ B text. — 12. [τοῦ] om. Codd. — 13. γυμνόν AB text CMV.

τὸ καθαρτικὸν, καὶ τοῦτο, δριμεῖ χρησαμένους κλυσΊῆρι ἀποθερα-
πεύσεως τρόπον καὶ ἀποῤῥύψεως χάριν, ἵνα μὴ ἐγκαθήμενά τινα
τῶν δριμέων ἐπὶ πλεῖον ἀναδάκνῃ. Ἔτι *χρώμεθα ἁπαλῷ κλυσμῷ* 6
καὶ ἐπὶ αἱμοπΊυϊκῶν ἕνεκα τοῦ μὴ, προθυμίας γενομένης, ἐκρήσσειν
τὰ ἀγγεῖα ὑπὸ τῶν ἐντάσεων, καὶ ἐπὶ ὧν δριμέα τὰ παρακείμενα,
ὡς ἐπὶ ἑλκώσεων ἐντέρων ῥευματισμοὺς ἐπιφερόντων, καὶ ἐπὶ τῶν
ἀπὸ φαρμακείας ἀναδακνομένων τὰ ἔντερα, καὶ | *ἐπὶ σΊρόφων καὶ* 215
πνευματώσεων, καὶ περὶ σΊόμαχον οὐσῶν δήξεων, καὶ ἐπὶ τῶν τει-
νεσμωδῶν προθυμιῶν, καὶ ἐπὶ ὧν βάρος ἐν αὐτῷ τῷ ἀπευθυσμένῳ
ἐσΊὶν ἔκ τινων περιψύξεων, καὶ ἐπὶ δυσουρούντων. Καὶ *ἐπὶ ὑσΊε-* 7
ρικαῖς δὲ πνίξεσι χρειώδης ὁ ἁπαλὸς, καὶ ἐπὶ φλεγμαινόντων ἐν-
τέρων, καὶ ἐπὶ χειρουργίας τῆς κατὰ τὸ ὄσχεον, καὶ καθόλου πά-
σης, καὶ ἐπὶ κεφαλαίας ἐν ἀρχαῖς πρὸ τῶν ἄλλων βοηθημάτων
χάριν τοῦ μεταγαγεῖν τὴν ὕλην. Οὐ *πᾶσι δὲ τὰ αὐτὰ ἐνιέμενα ἁρ-* 8

pour opérer une détersion, de peur que quelque partie des matières
âcres, en se fixant [dans les intestins,] n'y cause une irritation trop forte.
Nous avons aussi recours au lavement émollient dans l'hémoptysie, 6
de peur que l'envie d'aller à la selle, en entraînant des efforts, ne fasse
rompre les vaisseaux; quand les matières contenues dans les intestins sont
âcres, par exemple dans les ulcérations intestinales qui causent des
fluxions; quand les intestins sont irrités à la suite d'une purgation; quand
il y a des coliques et du gonflement causé par les gaz, ou des picote-
ments à l'orifice de l'estomac; dans les envies d'aller à la selle qui tiennent
du ténesme; lorsqu'il y a dans le rectum lui-même de la pesanteur à la
suite de quelque refroidissement; enfin chez ceux qui urinent difficilement.
Le lavement émollient est encore indispensable dans les étouffements 7
hystériques, dans les inflammations des instestins, en cas d'une opération
sur le scrotum, et, en général, pour toute opération; enfin, au début du
traitement des maux de tête chroniques, pour déplacer les matières avant
qu'on ait recours aux autres moyens. Les mêmes lavements ne convien- 8

1. *τούτῳ* Codd. — 1-2. *ἀποθεραπεῦσαι ὡς τρόπων* Codd. — 3. *ἀναδάκνῃ* ex em. Matth.; *ἀναδάκνει* AB; *ἀναδήκνει* A 2ª m. B corr. MV; *ἀναδάκει* C. — 4. *αἱμοπΊοϊκῶν* BV. — 6. *ἐπιφέροντος* ABC 1ª m. MV. — 7. *ἀπό*] *ὑπό* A. — 8. *σΊόμαχον* ex em. Matth.; *σΊομάχων* Codd.

Matth. 215-216-217.

216 μό|ζει, ἀλλὰ ὕδωρ αὐτὸ μὲν κατὰ αὐτὸ ποιεῖ κομιδῆς ἕνεκα κο-
πρίων ἐν συνεχέσι πυρετοῖς καὶ κακοήθεσι, καὶ [ἐπὶ] ἡλικιῶν καὶ
ἕξεων τρυφερωτέρων, καὶ ἐπὶ ὧν οὐκ ἐκ μακροῦ χρόνου ἐγκατέχεται
τὰ κόπρια καὶ ἀνεξήρανται, καὶ ἐπὶ ὧν ἐκ μακρᾶς ἀσθενείας ἀνα-
λαμβανόντων δυσχερεῖς αἱ ἄφοδοι γίνονται, καὶ ἐπὶ τῶν περὶ δακτύ-
9 λιον χειρουργιῶν. Καὶ ἐπὶ ὧν δὲ ἐνειλήσεις γίνονται πνευμάτων,
θερμότερον ἐνήσομεν, ὡς πνευματοῦντος τοῦ χλιαροῦ, καὶ κατὰ
μίαν ἔκθλιψιν τοῦ κλυστῆρος· τὸ γὰρ ἐκ διαστημάτων ἐνιέμενον
217 10 καὐτὸ | πνευματοῖ. Τήλεως δὲ ἀφέψημα ἐπὶ γυναικῶν ἐνίεμεν μᾶλ-
λον, καὶ ἐπὶ τῶν τρυφερῶν μὲν, τραχύτερα δὲ σκύβαλα ἐχόντων·
ὁμοίως δὲ καὶ μαλάχης, καὶ μάλιστα ἐπὶ ὧν ξηρότητα τῶν τόπων
δεῖ παρηγορῆσαι· λινοσπέρμου δὲ, καὶ ἐπὶ ὧν αἱ δήξεις εἰσὶ,
11 φλεγμονῶν οὐσῶν περὶ τὰ μέσα. Εἰ μέντοι ὀξεῖς εἶεν οἱ συνεδρεύον-
τες πυρετοὶ, κεφαλή τε πεπονθυῖα, φυλακτέον τὴν τοιαύτην ἔνεσιν,

nent pas à tous les malades; l'eau simple agit pour enlever les matières
fécales dans les fièvres continues et de mauvaise nature, ainsi que chez
les individus doués d'une complexion délicate, ou qui sont très-jeunes;
chez ceux dont les matières fécales ne sont pas retenues et desséchées
depuis longtemps; quand la défécation est difficile dans les convales-
cences à la suite d'une longue maladie; enfin dans le cas d'une opéra-
9 tion à l'anus. Lorsqu'il y a des gaz qui roulent, nous injectons l'eau plus
chaude que dans les autres cas, parce que l'eau tiède développe des gaz;
alors nous vidons le *clystère* d'un seul coup, car, si on injecte à plusieurs
10 reprises, on développe aussi des gaz. Nous prescrirons surtout la décoc-
tion de fenugrec chez les femmes, ainsi que chez les gens délicats, mais
qui ont des excréments raboteux; nous employons de la même manière
la décoction de mauve, surtout dans le cas où il faut modérer la séche-
resse des parties; nous avons recours à la graine de lin, quand il y
11 a des picotements avec une inflammation des parties centrales. Si ce-
pendant la fièvre qui accompagne ces affections est aiguë, et si la tête
est malade, on évitera l'emploi de cette espèce de lavement, parce qu'il

1. ποιεῖ] εἰ A. — 2. [ἐπὶ] om. Codd. — 9. ἀνίεμεν A. — 10. τραχύτητα B text.; παχύτερα M. — 11. δὲ μαλάχης B.

πληρωτικὴν οὖσαν κεφαλῆς. Ἁρμόζει δὲ καὶ τοῖς γυναικείοις τό- 12
ποις καὶ κύσ?ει καὶ νεφροῖς καὶ ἐντέροις φλεγμαίνουσιν. Ὁ δὲ τῶν 13
πιτύρων χυλὸς, ἔτι δὲ τράγου, ἄρτου, χόνδρου καὶ τρόφιμόν τι
ἔχουσι, καὶ γίνεται πολλάκις χρεία μετὰ τὸ κενῶσαι τὰ σκύβαλα
τροφῶδές τι καὶ προσπαραθεῖναι, ὡς ἐπὶ ἀποπλήκτων, | καρδιακῶν 218
τέ τινων, ὅταν ἀναλαμβάνοντες μήπω μὲν ἰσχύωσι, μηκέτι δὲ δια-
χωρῶσι, διασεσαγμένοι σκυβάλοις· ἔχουσι γάρ τι καὶ διαλυτικὸν,
καὶ μάλισ?α ὅταν πυρινὰ ᾖ. Ἁρμόζει καὶ ταῖς ἐπιπολαίοις τῶν ἐν- 14
τέρων ἑλκώσεσιν ἡ τοιαύτη ἔνεσις· ἁρμόζει δὲ ἐπὶ τούτων καὶ π?ι-
σάνη· σμηκτικωτέρα γάρ ἐσ?ι, καὶ τῶν κοπρίων ἐκ προχείρου τὰς
διαλύσεις ποιεῖται, ὀδαξησμούς τε ἀποθεραπεύει, προσλαβοῦσα χοί-
ρειον σ?έαρ· ἔτι δὲ μᾶλλον, εὐτόνων ὄντων, τράγειον. Ὁ δὲ τοῦ 15
σεύτλου χυλὸς καὶ τὸ ἀφέψημα ἁρμόζει ἐνιέμενα πρὸς | εἰλιγμοὺς 219

remplit la tête. La graine de lin convient encore dans les inflammations 12
des parties génitales de la femme, et aussi dans celles de la vessie, des
reins et des intestins. La décoction passée de son, de *tragos*, de pain, ou 13
d'alica, a une certaine propriété nutritive; et, en réalité, après avoir
évacué les matières fécalcs, on est souvent dans la nécessité de donner
ensuite quelque chose de nourrissant, par exemple dans certains cas d'a-
poplexie et de maladie cardiaque, lorsque, arrivés à la convalescence,
les malades ne sont pas encore très-forts et n'ont pas de selles, attendu
qu'ils sont remplis de matières fécales enclavées; car ces lavements
ont aussi quelque chose de dissolvant, surtout si on les fait avec du
froment. Ils conviennent encore pour les ulcérations superficielles des in- 14
testins; mais, dans ce cas, la ptisane est également bonne; en effet elle
opère une détersion plus forte, détache les excréments qui sont à sa
portée, et apaise la cuisson, si on y ajoute de la graisse de porc; quand
la cuisson est très-prononcée, la ptisane agit encore plus efficacement
dans ce sens, si on y met de la graisse de bouc. Les lavements de 15
suc ou de décoction de bette conviennent contre les tortillements et

1-2. *τόποις* om. A 1ª m. — 2. *ἐν ἐντέροις* CM. — 6. *ἀναλαμβάνοντες* ex em. Matth.; *λαμβάνοντες* Codd. — 6-7. *δὲ διαχωρῶσι* ex em. Ras.; *δυσχερῶσι* V; *δὲ χωρῶσι* ABCM. — 9. *δὲ καὶ ἐπὶ* V. — 9-10. *π?ισάνης* AC 1ª m. M. — 10. *μικτικωτέρα* AC 1ª m. M. — 12. *εὔτονον ὂν τό* M marg. — Ib. *τράγειον* M marg.; *τραγείων* Codd. — 13. *εἰλίγγους* Codd.

Matth. 219-220.

τῶν ἐντέρων καὶ παλμούς· διαλύει καὶ σκύβαλα καὶ τοῖς διηνεκέσιν
16 ὀδαξησμοῖς ἀντιβαίνει. Ἀνδράχνης δὲ χυλὸς χρήσιμος ἐπὶ τῶν ἐκ-
πυρώσεων τῶν τε ἄλλως παρακολουθουσῶν, ἢ καὶ διά τινα πεῖσιν,
καὶ ἐπὶ ὧν δὲ διὰ ἔκκρισιν σκληρῶν σκυβάλων κατὰ μικρὸν κατὰ
ἀποκοπὴν ἐκκριθέντων διαταθεὶς ὁ σφιγκτὴρ καὶ τὸ ἀπευθυσμένον
ἐρυσιπελατώδη διάθεσιν ἀνεδέξατο· προσμίγνυται δὲ ἐπὶ τῶν τοιού-
17 των καὶ ᾠόν. Καὶ ἔλαιον δὲ ἐπὶ πάσης φλεγμονῆς κατὰ ἑαυτὸ ἁρ-
μόζει ἐνιέμενον, καὶ ἐπὶ ὧν ἀσθένεια περὶ τοὺς τόπους ἐστὶ, καὶ ἐπὶ
ὧν γίνονται στρόφοι· διαλυτικώτερον δὲ μᾶλλον τῶν πνευμάτων
220 ἐστὶν, πηγάνου ἡψημένου ἐν αὐτῷ, ἢ κυμίνου, ἢ | ἀνήθου, ἢ δα-
18 φνίδων, ὅτε καὶ τοῖς ἀπὸ ψυγμοῦ πυρέσσουσιν ἁρμόζει. Γάλα δὲ
ἐνίεται, ἑλκώσεως οὔσης καὶ φλεγμονῆς περὶ τὰ ἔντερα, νεφροὺς,
κύστιν, ὑστέραν, καὶ [διὰ] δριμέων παράθεσιν, ὡς κνησμοὺς καὶ

les palpitations des intestins; ils dissolvent aussi les matières fécales et
16 s'opposent à la persistance de la cuisson. Le suc de pourpier est utile
dans les ardeurs [des intestins], qu'elles tiennent à une maladie, ou à
quelque autre cause, et aussi dans le cas où, par suite de l'excrétion de
matières fécales dures, évacuées par petites portions et avec de fréquentes
interruptions, le sphincter est distendu et frappé, ainsi que le rectum,
17 d'une affection érésipélateuse; dans ce cas on y mêle un œuf. Un lave-
ment d'huile seule convient dans toute inflammation, et quand les parties
sont faibles, ou lorsqu'il y a des coliques; ce lavement agit plus forte-
ment pour dissiper les vents, quand on fait bouillir dans l'huile de la
rue, du cumin, de l'aneth, ou des dattes; ainsi préparé, il convient
18 aussi contre les fièvres qui tiennent au refroidissement. On donne des
lavements de lait dans les inflammations et les ulcérations des intestins,
des reins, de la vessie et de l'utérus, et aussi quand il existe des matières
âcres qui donnent lieu à du prurit, à des inégalités et à des ulcérations à

3. τε om. BV. — Ib. παρακολουθησῶν ABC; παρακολουθεισῶν A 1ª m. V. — Ib. διά om. A 1ª m. — Ib. τινὰ πεῖσιν ex em. Matth.; τιν πεῖσιν M marg.; τιν πίσιν CM text.; τὴν πίσιν AB; τινὰ πίυσιν V. — 4. διά Syn., Aët.; δεῖ Codd. — 6. ἐρυσιπελατώδι αἴσθησιν A; ἐρυσιπελάτω διαίσθησιν BC 1ª m. M; διάθεσιν M marg. — 10. αὐτό (om. ἐν) AB text. C 1ª m. MV. — 11. ἀπὸ ψυγμοῦ Syn.; ἀπὸ ψυγμῶν ABCV; ἀπεψυγμένως M. — 13. [διά] conj.; om. Codd. — Ib. σκληρῶν ἢ δριμέων Aët.

ὄχθους καὶ ἑλκώσεις περὶ τὴν ἐπιφάνειαν συμβαίνειν. Προσλαμ- 19
βάνει δὲ τονώσεως χάριν, πλὴν εἰ μὴ ἀπὸ νομῆς εἴη, καὶ μέλι, ἢ χήνειον σ7έαρ, ἢ ὕειον· ῥητίνην δὲ τερμινθίνην προσπλέκομεν ἐπὶ τῶν προειρημένων. Ὑδρελαίῳ *δὲ ἐπὶ διατάσεων συνεδρευουσῶν τῇ* 20
κατοχῇ τῶν κοπρίων, οἷαι μάλισ7α ἀπὸ ψύξεως συμβαίνουσιν· ὁμοίως δὲ καὶ ἄσφαλτον· τὸ δὲ βούτυρον, ἐπὶ ὧν διὰ φλεγμονὴν ἀπευθυσμένου κατέχεται τὰ σκύβαλα καὶ | συνεσ7ῶτα ἐκκρίνεται· 221
καὶ ῥυπαρῶν ἑλκώσεων οὐσῶν περὶ τὸ ἔντερον, τὸ αὐτὸ ἁρμόζει κλύσμα. Μαλάχης *δὲ χυλὸς καὶ ἀφέψημα ἐπὶ μακρῶν σ7ρόφων καὶ* 21
ἐπὶ πολὺ παρατεινόντων, καὶ φλεγμονῶν περὶ τὰ ἔντερα, καὶ ἕδρας συμπαθούσης, καὶ γυναικείων πείσεων συνουσῶν, εὐχρήσ7ως παραλαμβάνεται. Μελίκρατον *δὲ ἐνίεται, ὅταν ἀπαθῆ μὲν τὰ μέρη, δυσ-* 22
μάλακτον δὲ τὸ ἐγκατεχόμενον κόπριον, καὶ ἐπὶ ὧν χειρουργίᾳ ἀξιολόγῳ μέλλομεν χρῆσθαι. Οἴνῳ *δὲ καὶ ἐλαίῳ, χυλῷ πλισάνης,* 23

la peau. Pour augmenter la force du lavement, on y ajoute soit du miel, 19
soit de la graisse d'oie, ou de porc, à moins que le mal ne tienne à des ulcères rongeants; dans ce cas, on y met de la résine de térébenthinier. On injecte 20
un mélange d'huile et d'eau contre les distensions qui accompagnent la rétention des excréments, affection qui tient surtout au refroidissement; nous employons encore de la même manière le bitume de Judée; mais nous nous servons du beurre, quand la rétention des matières fécales tient à l'inflammation du rectum et quand on a [habituellement] des excréments moulés; nous avons encore recours au même lavement dans les ulcères sordides des intestins. On emploie avec succès le suc, ou la décoction de 21
mauve dans les coliques de longue durée et qui occupent une grande partie du ventre, lorsqu'elles se compliquent d'inflammation des intestins, ou lorsque l'anus participe à cette affection, ou chez la femme, lorsqu'il y a en même temps quelque affection des parties génitales. On 22
injecte de l'eau miellée, lorsque les parties elles-mêmes sont saines, mais que les matières fécales retenues sont difficiles à ramollir, et lorsqu'on va pratiquer quelque opération importante. On administre un lavement 23

2. *εἴη* ex em.; *ἢ ἢ* ABCM; *ἢ* V. — 8. *ἕτερον* M. — 9. *τροφῶν* ABC 1ª m. MV. — 13-14. *κόπριον..... μέλλομεν* om. A 1ª m.

Matth. 221-222.

ἢ μαλάχης κλύζομεν τοὺς ὀπὸν μήκωνος εἰληφότας, καὶ, ἐὰν μὲν
ὑπίωσιν αἱ διαχωρήσεις, ψυχροῖς τοῖς κλύσμασιν· εἰ δὲ μὴ, θερ-
24 μοῖς· καιρὸς δὲ αὐτὴ ἡ ἔπειξις. Γάλα δὲ βόειον, ἢ αἴγειον, ἢ ζωμὸν
ὀρνίθειον ἐνίεμεν τοῖς ὑσκύαμον εἰληφόσιν, οἶνον μετὰ ῥοδίνου καὶ
222 λέκι|θον ᾠῶν εἰς γλυκὺ, ἢ ῥόδινον ἐναφηψημένον ἐπὶ τῶν τεινεσμω-
25 δῶς ἐνοχλουμένων ἐν ἀρχαῖς. Ὑδρομέλιτι δὲ, ἢ φακοῦ ἀφεψήματι
μετὰ μέλιτος ἐνίεμεν, ἢ ὀρόβου ὁμοίως, ἢ πλισάνης χυλὸν μετὰ ῥο-
26 δίνου, ἀποσlήματος ῥαγέντος ἐν κώλῳ. Σύκων δὲ ἀφέψημα ἐνίεμεν
27 τοῖς τὰς βουπρήσlεις καταπιοῦσιν. Μέτρον δὲ τῶν ἐνιεμένων, ὅσον
μὲν ἐπὶ ταῖς φύσεσιν, ἔλατlον ἐπὶ ἀνδρῶν ἐνιέναι δεῖ· πλεῖον δὲ
ἐπὶ τῶν γυναικῶν, πλὴν τὸ πλεῖσlον τρεῖς εἰσι κοτύλαι, τὸ δὲ ἔλατ-
28 τον μία. Στοχασlέον δὲ καὶ τὰς ἡλικίας καὶ τὰ ἐπιτηδεύματα, καὶ

de vin et d'huile, ou de crême d'orge mondée, ou de suc de mauve
à ceux qui ont pris du suc de pavot; s'il y a des selles, on donne les
lavements froids; dans le cas contraire on les donne chauds; le temps
opportun pour le lavement est celui même où on est en proie aux
24 symptômes de l'empoisonnement. On donne un lavement de lait de vache,
ou de chèvre, ou de bouillon de poulet, à ceux qui ont pris de la jus-
quiame; quand on est incommodé par des envies d'aller à la selle res-
semblant au ténesme, on a recours d'abord au vin combiné avec l'huile
de roses, ou à des jaunes d'œuf bouillis dans du vin d'un goût sucré, ou
25 dans l'huile de roses. Si un abcès du colon s'est rompu, on injecte de
l'hydromel, ou une décoction, soit de lentilles, soit d'ers, combinée avec
du miel, ou encore de la crême d'orge mondée, combinée avec de l'huile
26 de roses. A ceux qui ont avalé des *buprestes*, nous administrons un lave-
27 ment de décoction de figues. Pour ce qui regarde la nature du malade,
la dose du lavement doit être plus faible chez les hommes et plus forte
chez les femmes; toutefois la dose la plus forte est de trois cotyles, et
28 la plus petite d'une. On prendra aussi en considération l'âge, le genre
de vie, la capacité des intestins et la gravité des maladies et des accidents.

2. *ὑπίωσιν* ex em. Matth.; *ὑπιῶσιν* Codd. — 3. *αὕτη* V. — Ib. *ἔπηξις* AC 1ª m. V; *ἐπίδειξις* B. — 5. *λέκιθον* ex em.; *λέκινθον* BV; *λεκίνθων* A; *λεκίνθου* C; *λεκίθου* M. — Ib. *εἰς γλυκὺ, ἢ ῥόδινον* Syn.; *ἢ γλυκὺ ῥοδίνου* AC; *ἢ γλυκυροδίνου* BMV. — 8. *ἀποσlήματος* Syn.; *ἀποσlομήματος* Codd.

τὰ μεγέθη τῶν κοιλιῶν καὶ παθῶν καὶ συμπτωμάτων. Πολλάκις καὶ 29 δὶς ἐνίεμεν καὶ τρὶς, μάλιστα ἐπὶ ὧν ἕλκωσις καὶ φλεγμονὴ περὶ τὸ ἀπευθυσμένον ὑπάρχουσα ἐπέχει τὰ ὑπερ|κείμενα σκύβαλα δεσμοῦ 223 τρόπον, τὸ δὲ ἐνιέμενον οὐ διικνούμενον ἐπὶ τὰ ἄνω πάλιν ἐκκρίνεται, ἐπὶ ὧν εἰς μόνην διαβροχὴν ἥρμοσε τὸ ἐνεθέν. Τοσαύτη μὲν 30 ἡ περὶ τῶν ἁπαλῶν κλυσμῶν καταρίθμησις· οἱ δὲ δριμεῖς κλυσμοὶ ἁρμόζουσιν ἀλγήμασι πλευροῦ, οὔλων ῥευματισμοῖς, κεφαλαίᾳ, πυρετοῖς στράγγοις, μὴ σφοδραῖς ἐπιβολαῖς κεχρημένοις, καὶ ῥεμβώδεσι καὶ ἀνωμάλοις, βάρους ἐπὶ τὰ ἔντερα ὑπάρχοντος καὶ γαστέρος ὑγρᾶς ὑπαρχούσης καὶ μαλακοῦ ὑποχονδρίου, καὶ ἐν τύποις ἀμφημερινοῖς, καὶ πνιγμῶν ὄντων καὶ καταφορᾶς, καὶ ἐπὶ δυσπνοίας ἰσχυρᾶς περιπνευμονικοῖς καὶ συναγχικοῖς, τετάνοις, ἐπιληψίᾳ, μανίαις, ἰσχιάσι, σκοτωμα|τικοῖς, ὀρθοπνοϊκοῖς, ὀφθαλμιῶσιν, ἀσκα- 224 ρίδων ἑλμίνθων ἐγκατεχομένων, θανάσιμον εἰληφόσι φάρμακον, ἕλκη ἢ ἐκβράσματα περὶ κεφαλὴν ἔχουσι, καὶ τοῖς ἰόνθους καὶ ὀχθώδη

Souvent aussi nous injectons à deux et à trois reprises, surtout lors- 29 qu'une ulcération, ou une inflammation du rectum retient, comme une ligature, les matières fécales placées au-dessus, et que les médicaments injectés, ne pénétrant pas jusqu'aux parties supérieures, sont [immédiatement] rejetés, cas dans lequel le seul avantage que procure le lavement, consiste dans l'humectation. — Telle est l'énumération des lavements 30 émollients; les lavements âcres, au contraire, conviennent dans les cas suivants : douleurs de côté, fluxions des gencives, maux de tête chroniques; fièvres insidieuses, dont les accès ne sont pas violents, mais vagues et inégaux, s'il y a de la pesanteur aux intestins, si le ventre est relâché et si l'hypocondre est mou; fièvres quotidiennes, lorsqu'il y a de l'étouffement et du cataphora; respiration fortement embarrassée dans la péripneumonie et l'angine; tétanos, épilepsie, aliénation mentale, sciatique, vertige, orthopnée, ophthalmie, vers ascarides, empoisonnement, ulcères ou efflorescences à la tête, boutons ou inégalités à la peau (par

4. τὸ διενιέμενον ABC 1ª m. M; διενιέμενον V. — 6. κλυσμῶν ex em.; κλ. καὶ ἐνεμάτων Codd. — 9. βάρος AB text. C 1ª m. MV. — 11. καὶ πνιγμ... δυσπνοίας om. A 1ª m. — 12. κυνάγχῃ Gal. — 13. ὀρθοπνοϊκοῖς om. BV. — 14. εἰληφώσῃ A; εἰληφὼς ἢ BC 1ª m. MV. — Ib. ἕλκη ex em. Matth.; ἕλκει Codd. — 15. ἐμβράσματα C; μετὰ ἐκβάς B; ἐκφράς corr.

περὶ τὴν ἐπιφάνειαν γεννῶσι, ψώρας, λέπρας, παραλύσει ἀπευθυ-
σμένου ἐντέρου μέχρι σφιγκτῆρος, ληθαργικοῖς, καὶ φλέγμα ἐν
κοιλίᾳ παρακείμενον ἔχουσι καὶ διὰ αὐτὸ ἀπεπΊοῦσι καὶ ἀτροφοῦσι
καὶ ἀχροοῦσι, λειεντερικοῖς, κοιλιακοῖς, ἀμβλυωποῦσιν, ἡλκωμένοις
31 ἐντέρων. Οὐ πᾶσι δὲ τὸ αὐτὸ, οὐδὲ ἐπὶ τούτων, ἥρμοσεν· φεισΊέον
γὰρ τῶν δριμέων κλυσμῶν ἐν τοῖς ὀξέσι καὶ σφοδροῖς πυρετοῖς,
καὶ ἐπὶ οἷς σΊόμαχος, ἢ ἔντερα ἢ ἄλλως ἀσθενῶς ἔχει, καὶ ἐπὶ
225 ὧν | κύσΊις, ἢ νεφροὶ, ἢ μήτρα πέπονθε, καὶ ἐπὶ ὧν αὐτόθεν ἐφυγραί-
νεται κοιλία, ἐν παγετῷ τε, ἢ χειμῶνι, καὶ περικαεῖ θέρει, καὶ
ἐπὶ ἀσθενῶν, ἢ διά τινα νόσον, ἢ φυσικήν τινα τρυφερίαν, καὶ ἐπὶ
παίδων καὶ γυναικῶν καὶ εὐνούχων, καὶ ἐπὶ ἐθνῶν ἀρκτικῶν, ἢ κα-
ταψύχρων, οἷοί εἰσι Γαλάται, Θρᾷκες, Ἰταλοί· οὐ γὰρ δύνανται
φέρειν ἐπιτεταμένους κλυσμούς· καὶ ἐπὶ τῶν ὑπὸ τῆς τυχούσης προσ-
φορᾶς καὶ προφάσεως τὰ ἔντερα ἐξηλκωμένων, καὶ ἐπὶ τραυμάτων
32 ἀξιολόγων καὶ ἐπὶ νευρωδῶν. ΧρησΊέον δὲ θαῤῥαλεώτερον μᾶλλον

exemple la *psore*, la *lèpre*), paralysie du rectum s'étendant jusqu'au
sphincter, *léthargus*, présence dans l'estomac de la pituite qui dérange
la digestion et la nutrition et qui produit de la pâleur, lientérie, flux
31 céliaque, obscurcissement de la vue, ulcérations des intestins. Dans
ces divers cas, le même lavement ne convient pas non plus à tous les ma-
lades; en effet, on modérera l'usage des lavements âcres dans les fièvres
aiguës et violentes, quand l'orifice de l'estomac ou les intestins sont
affaiblis d'une manière quelconque; quand il existe une affection de la
vessie, des reins, ou de la matrice; quand le ventre se relâche de lui-
même; pendant l'hiver, ou les temps de gelée, pendant un été brûlant,
chez les gens faibles, que cette faiblesse tienne à quelque maladie
ou à une délicatesse naturelle, chez les enfants, les femmes et les eu-
nuques, chez les habitants des pays septentrionaux ou très-froids, par
exemple les Gaulois, les Thraces, les Italiens (car ces peuples ne peuvent
supporter les lavements actifs); chez ceux dont les intestins s'ulcèrent à
la moindre cause, ou au moindre aliment [extraordinaire]; enfin dans le
32 cas de plaies considérables, ou qui intéressent les parties *nerveuses*. Ayez
plus d'assurance chez les hommes jeunes, d'une bonne complexion, d'une

1. παραλύσεις Codd. — 4. εἱλκωμένοις B; ἑλκωμένοις V. — 9. δέ Codd. — 11-12. καταψύχων Codd. — 14. ἐξελκωμένων Codd.

ἐπὶ ἀνδρῶν νέων, εὐεκτῶν ἀθλητικῶν, τόπων τοῖς περὶ τὴν Αἴγυπλον εἰθισμένοις Φέρειν τὸ βοήθημα, καὶ τοῖς λοιποῖς εὐκράτοις. Ἤδη 33
δὲ τοῖς | ἄγαν ἐπιτεταμένοις ἐπὶ εὐεκτῶν ἰσχυρῶν εἰθισμένων, οὐ 226
παρόντων πυρετῶν, [ἢ] χρονίων παθῶν, πάχους ὑποκειμένου, ἢ νωθρίας παρακολουθούσης, χρώμεθα. Ἰσχιάσι μὲν οὖν καὶ ὀρθοπνοίαις, 34
μὴ ἀπὸ σλομάχου θλιϐομένου τοῦ πνεύματος, ὀνησιφόροι αἱμαγωγοὶ κλυσμοὶ, ὡς γάρος σιλούρου, ἅλμη, θάλασσα· ἐπὶ ὧν δὲ αὐτὸ μόνον πάχος καὶ ὁλοσχέρεια τῶν παρακειμένων ἐσΊιν, οἱ λοιποὶ ἁρμόζουσι μᾶλλον, καὶ ὅταν εἰς προπαρασκευὴν ἄλλοις βοηθήμασιν ἐπιτελῆται ὁ κλυσμός. | Ἐπὶ ὧν δὲ ἴονθοι καὶ ὀχθώδεις ἐπιφοραὶ περὶ 227 35
τὴν ἐπιφάνειαν ἐγείρονται, ἢ ψωρώδεις, ἢ λεπρώδεις, καὶ βάρος, ἢ δυσπεψίαν ἐπιτελοῦντες, ἥρμοσε μὲν τῶν προειρημένων τις κλυσμῶν, μάλισΊα δὲ ἀρισΊολοχίας σΊρογγύλης ἀφέψημα μετὰ μέλιτος, ἢ ἀλῶν

constitution athlétique, et, pour ce qui regarde les divers pays, pour les habitants de l'Égypte qui sont habitués à supporter ce traitement, ainsi que pour les habitants des autres pays tempérés. On emploie les lave- 33
ments très-actifs chez les individus forts, d'une bonne complexion et qui sont habitués aux lavements, lorsqu'il n'existe ni fièvre, ni maladie chronique, mais qu'il y a un épaississement [des excréments], ou de la torpeur. Les lavements qui expulsent du sang, comme le garon de si- 34
lure, l'eau salée et l'eau de mer, conviennent dans la sciatique et dans l'orthopnée, pourvu que la dyspnée ne tienne pas à l'orifice de l'estomac; on donnera la préférence aux autres lavements, lorsque les excréments ne sont qu'épais et agglomérés, ou lorsqu'on administre un lavement comme préparatif pour d'autres moyens de traitement. Quand il 35
apparaît sur la peau des boutons, ou des proéminences irrégulières de la nature de la *psore*, ou de celle de la *lèpre*, on administrera avec succès, quand ces accidents produisent de la pesanteur, ou dérangent la digestion, un des lavements susdits, mais surtout la décoction d'aristoloche

1. εὐέκτων BV. — Ib. τοῖς ex em. Matth.; τούς Codd. — Ib. τήν om. A 1ª m. — Ib. εὐκράτοις om. C. — 4. [ἢ] conj.; om. Codd. — 7. γάρος σιλούρου *Syn.*, M marg.; γάρ ὀσσιλουρου M; γάρ ὁ σιλούρου V; γάρ ὁ σιλούρου A 2ª m. B; γάρ οὐσιλούρου A; γάρος ἀπο σιλούρου C. — 8. πάθος CM. — 10-p. 215, l. 8. Ἐπὶ ὧν ..... κλυσμόν après ἅλες (p. 216, l. 2) Codd. — 11. ἀγείρονται A. — 11-12. ἢ βάρ. καὶ δυσπ. M. — 12. κλυσμόν. ABC 1ª m. V.; κλυσμός M. — 13. ἢ ἀδῶν AC 1ª m.; ηαδων BV; ἢ ἀλός M.

Matth. 227-228-226-227.

36 228 ἐνιέμενον. Τοῖς δὲ πλευρὸν | ἀλγοῦσι μετὰ φλεβοτομίαν χρηστέον
τῶν προειρημένων τινὶ κλυσμῶν· ὁμοίως δὲ καὶ τοῖς οὖλα ῥευματιζο-
μένοις· κεφαλαίᾳ δὲ καὶ ἐπιληψίᾳ μετὰ [τὰ] ἁρμόζοντα ἐν ἀρχῇ
37 ἐπὶ αὐτῶν παραληφθῆναι βοηθήματα. Ἥρμοσε καὶ ἐλλεβόρου μέ-
λανος ἀφέψημα καὶ λινοζώστεως, μιγνυμένου καὶ ἐπὶ τούτων ἢ
ἀριστολοχίας στρογγύλης, ἢ κενταυρίου χυλοῦ, ἢ πολυποδίου ἀφέ-
38 ψημα, μιγνυμένου καὶ ἐπὶ τούτων μέλιτος. Εἰ δὲ διὰ πλῆθος ἀργῶν
226 39 ὑγρῶν ἀμβλυώττουσιν, ἐνίεμεν σκευαστόν τινα κλυσμόν. | Εἰσὶ δὲ
σκευαστοί· μέλιτος κοτύλης ἥμισυ, ὕδατος κοτύλαι δύο, ἁλῶν ὁλκαὶ
τρεῖς, ἐλαίου κοτύλης τέταρτον· παραπλέκουσι δέ τινες καὶ ᾠὰ
227 40 δύο. | — Ἄλλος κλυστήρ.] Τὸ αὐτὸ μέτρον ἁλῶν, νίτρου τὸ αὐτὸ μέ-
41 τρον· χυλὸς πτισάνης μίγνυται. — Ἄλλως.] Ἀφέψημα κολοκυνθίδων·
κατὰ αὐτὸ δὲ δεῖ τὸ γναφαλῶδες αὐτῶν ἀφέψειν· παραπλέκονται

36 *ronde* avec du miel, ou du sel. On emploiera, dans la douleur de côté, après la saignée, un des lavements dont il vient d'être question; il en est de même pour les fluxions sur les gencives; mais, dans les céphalalgies chroniques et dans l'épilepsie, on y aura recours après les moyens de traitement qu'il convient d'employer au commencement, dans ces cas.
37 On peut encore employer soit une décoction d'ellébore noir, ou de mercuriale, dans laquelle on aura mis aussi du suc d'aristoloche *ronde*, ou de
38 centaurée, soit une décoction de fougerole; on ajoutera du miel. Si les malades ont un obscurcissement de la vue tenant à une surabondance d'humeurs paresseuses, nous administrons quelque lavement préparé
39 sur formule. Les lavements préparés sur formules sont: miel, un demi-cotyle; eau, deux cotyles; sel, trois drachmes; huile, un quart de co-
40 tyle; quelques-uns y ajoutent encore deux œufs. — *Autre lavement :* Sel et soude brute, parties égales; mêlez-y de la crême d'orge mondée. —
41 *Autre lavement :* Décoction de coloquinte; mais il faut en faire bouillir à part les parties filamenteuses; quelquefois on y mêle du sel, ou de la

1. ἐνιεμένων Codd. — Ib. φλεβοτομίας C. — 2. τισι B corr. — 3. μετὰ τά ex em.; μέγα Codd. — 3-4. ἐν..... βοηθήματα om. A 1ª m. — 5. ἀφέψ. λινοζώστ. M. — 6. χυλόν Codd. — 7. πλῆθος ex em. Matth.; πλήθους Codd. — 9. θαλασσείου ὕδατος M marg. — Ib. ἁλῶν ὁλκαί M marg., *Syn.*; ἀλλονοα καί AMV; ἄλλονα καί B; ἄλλοτε καί A 2ª m. M marg. — 13. δεῖ ex em. Matth.; δὴ εἰ Codd. — Ib. ἀφεψεῖ Codd. — Ib. κναφαλῶδες BV.

δὲ αὐτοῖς ἅλες, ἢ νίτρον ἐνίοτε. Ἁπλοῖ δὲ ἴρεως ἀφέψημα, θύμου, 42
θύμβρας, ἀψινθίου, σικύου ἀγρίου· παραπλέκονται δὲ τούτοις ἅλες.
|Ὁμοίως δὲ καὶ πλευριτικοῖς, καὶ περιπνευμονικοῖς, καὶ σκοτωμα- 228 43
τικοῖς, καὶ τετάνῳ, καὶ συνάγχῃ, καὶ ὀφθαλμιῶσι μετὰ φλεβοτο-
μίαν, εἰ ἐπιδέχοιντο, τὸν αὐτὸν ἐνίεμεν κλυσμόν. Τοῖς δὲ αἷμα ταύρειον 44
πεπωκόσιν ἥρμοσαν μὲν καὶ οἱ προειρημένοι κλυσμοί, ἰδίως δὲ ὄξος
μετὰ νίτρου ἐνιέμενον, καὶ κράμβης χυ|λὸς, ἢ σπέρμα μετὰ ὄξους. 229
Τοῖς δὲ τοὺς θανασίμους μύκητας φαγοῦσιν ἐνίενται νίτρον καὶ 45
ἀψίνθιον, καὶ ῥαφάνου χυλὸς, καὶ πηγάνου ἀφέψημα· τοῖς δὲ γα-
λακτοποτοῦσιν ὄξος μετὰ νίτρου, ἢ γάλα ὄνειον μετὰ ἁλῶν πολ-
λῶν. Ἐπὶ δὲ παραλύσεως τοῦ ἀπευθυσμένου ἐντέρου ἅλμην ἐνίεμεν. 46
Τοῖς δὲ ἀσκαρίδας γεννῶσιν ἅλμην, ἢ κενταυρίου ἀφέψημα, ἢ ἀψιν- 47
θίου, ἢ θέρμων, ἢ ἀλόην, ἢ κεδρίαν μετά τινος τῶν ἀφεψημάτων
ἐνίεμεν. Τοῖς δὲ κοιλίαν ῥευματιζομένοις χρονίως ἥρμοσεν ἅλμης 48

soude brute. Les lavements simples [préparés sur formules] sont les dé- 42
coctions d'iris, de *thym*, de *thymbre*, d'absinthe, de concombre sauvage,
auxquelles on ajoute du sel. Nous ferons de même après la saignée dans 43
la pleurésie, la péripneumonie, le vertige, le tétanos, l'angine et l'ophthal-
mie, pourvu que l'état des malades le comporte. Les lavements dont nous 44
venons de parler conviennent aussi à ceux qui ont bu du sang de taureau;
dans ce cas on injectera plus spécialement encore du vinaigre avec de la
soude brute, ou bien soit le suc, soit [la décoction de] la graine de chou
avec du vinaigre. A ceux qui ont mangé des champignons vénéneux, on 45
donne un lavement de soude brute et d'absinthe, ou de suc de raifort, ou
de décoction de rue; quand on a bu du lait [de façon à s'empoisonner],
on a recours au vinaigre avec de la soude brute, ou au lait d'ânesse avec
beaucoup de sel. Dans la paralysie du rectum on donne un lavement 46
d'eau salée. Contre les ascarides, injectez de l'eau salée, ou une décoc- 47
tion de centaurée, d'absinthe, de lupins, ou de l'aloès, ou de la résine
de *cèdre*, ingrédients qu'on ajoute à quelqu'une des décoctions [dont nous
venons de parler]. Dans les fluxions chroniques du canal intestinal, il con- 48

2. παραπλέκεται A 1ª m. BV; παραπλέκσαι C. — 3. τοῖς πλευρ. B. — 5. ἐπιδέχοντο ABCV. — 6. πεπΊνκόσιν ACM. — 11. ἐντέρου *Syn.*; νίτρου ABCMV; νίτρον C 2ª m. — 13. ἅλμης ACM. — 14. κοιλίας AM.

Matth. 229-230.

ἔνεσις, ἀψινθίου ἀφέψημα· ἀποσμήχει καὶ νεαροποιεῖ τὰ κοιλώ-
49 *ματα, ὡς ἐπὶ τῶν ἐκτὸς παλαιῶν ἑλκῶν.* Τοῖς *δὲ ἕλμινθας γεννῶσι θέρμων ἀφέψημα καὶ ἀπόβρεγμα ἐνίεμεν, ἢ ῥοῦν σκυτοδεψικὸν, ἢ*
230 50 | *ἀβροτόνου ἀφέψημα, ἢ ἀψινθίου, ἢ κίκινον ἔλαιον, ἢ ἅλμην.* Τοῖς *δὲ ληθαργικοῖς μετὰ τὰ ἁρμόζοντα ἐν ἀρχαῖς ἐπὶ αὐτῶν βοηθήματα ἐνίεμεν μελίκρατον, προσλαβὸν νίτρου καὶ ἁλῶν μέρος τι· [οἱ] δὲ*
51 *ἀψινθίου χυλόν.* Τοῖς *δὲ λειεντερικοῖς διὰ ἀτονίαν ἐντέρου τὸ ληφθὲν*
52 *ἀποδιδοῦσιν ἐνίεμεν ἀψινθίου ἀφέψημα.* Τεινεσμώδεσι *δὲ προθυμίαις ὑπερβαλλούσαις ἅλμην ἐνίεμεν ὀλίγην, ὅταν μὴ κεκμήκῃ ἡ δύναμις, μηδὲ βαθεῖα περὶ τοῖς σώμασιν ἡ διάθεσις ᾖ· μέλι δὲ οὐ μίγνυμεν· παραμονώτερον γὰρ ὑγραίνει καὶ πλάδων ἐσ̓τὶ ποιητικόν· ἀκρατήτῳ δὲ αἵματος ῥύσει διὰ ἕλκωσιν ἐντέρου πολυγόνου χυλὸν, ἢ*
53 *ἀρνογλώσσου, ἢ μύρτων μελάνων ἐν οἴνῳ ἑψηθέντων.* Προσμίγνυμεν

vient d'injecter de l'eau salée, ou une décoction d'absinthe; cela déterge les excavations et les rend semblables aux plaies récentes, comme cela a
49 lieu pour les vieux ulcères de la peau. Contre les vers, nous injectons une décoction ou une infusion de lupins, du sumac des corroyeurs, une dé-
50 coction d'aurone ou d'absinthe, de l'huile de ricin, ou de l'eau salée. Dans le *léthargus*, après l'emploi du traitement qui convient au commencement de cette maladie, nous donnons un lavement d'eau miellée, à laquelle on ajoute un peu de soude brute et de sel; d'autres administrent, dans ce
51 cas, le suc d'absinthe. Chez les lientériques qui, par faiblesse de l'intestin, rendent [tels qu'ils les ont pris] les aliments ingérés, on injecte une dé-
52 coction d'absinthe. Lorsqu'il y a des envies exagérées d'aller à la selle qui tiennent du ténesme, nous injectons un peu d'eau salée, pourvu que les forces ne soient pas abattues et que la maladie n'ait pas pénétré profondément dans les parties; mais nous n'ajoutons pas de miel, car il humecte d'une manière trop persistante et cause une sursaturation d'humidité; contre un écoulement de sang, tenant à l'ulcération des intestins et dont on ne peut pas triompher, on a recours au suc de renouée des oiseaux,
53 de plantain, ou de baies de myrte noires cuites dans du vin. Dans ce cas

1-2. *κυλώματα* AV; *κυκλώματα* B. — 3. *σκυτοδεψικήν* BMV. — 4. *ἔλαιον* om. C. — 5. *τά*] *τό* ABV. — 6. *ἐπίκρατον* C 1ª m. — Ib. *προλαβών* M. — Ib. *μέρη* ABC 1ª m. MV. — Ib. [*οἱ*] conj.; om. Codd. — 9. *ὑπερβαλούσαις* B. — 10. *βαρεῖα* B; *βοήθεια* C. — 12. *ἢ* om. AC 1ª m. V. — 13. *ἢ μύρτων μελάνων* Syn.; *μύρτων μελάνων* CV; *μύσ̓ρον μελανόν* A; *μύρτον μελανόν* A 2ª m.

δὲ ἐπὶ τῶν προειρημένων καὶ λίβανον, ἢ ἀκακίαν, ἢ ὑποκιστίδα,
ἢ | βαλαύστιον, ἢ σίδιον, ἢ ῥοὸς χυλὸν, ἢ ἐρίου οἰσυπηροῦ σποδὸν, 231
ἢ ὀθονίου πολυπτύχου σχιστῇ στυπτηρίᾳ ἐγκαέντος, ἢ σπόγγου
αἵματι βοείῳ προαναφυραθέντος καὶ πίσσῃ, ἢ ὀνείας ἀφόδου κατὰ
ἑαυτὴν, καὶ μάλιστα εἰ ἀπὸ νομῆς εἴη· ἐνετέον δὲ ἀπλήκτως ψυχρά.
Ἑλκώσεσι δὲ ἐντέρου ἀρευματίστοις γάλα ἐνίεμεν αἴγειον, ἢ βόειον, 54
καὶ λυκίου ∠ δύο, ἢ γῆς Σαμίας ∠ δύο, ἢ ἀμύλου τὸ ἴσον, ἢ πυ-
ρίνης πτισάνης μετὰ βολβοῦ κεκαυμένου, ἢ ἀψινθίου. Ῥευματιζο- 55
μέναις δὲ καὶ πλαδώσαις ἑλκώσεσι χάρτου κεκαυμένου, ἢ σχοίνου
τέφραν, ἢ τὸ διὰ χάρτου μετὰ ὕδατος, ἢ ἀφέψημά τι τῶν στυφόν-
των τινὸς ἐνίεμεν. Ἐνιέναι δὲ δεῖ ἐπὶ μὲν τῶν δραστικωτέρων κλυ- 56
σμῶν πρότερον ἁπαλὸν κλύσμα χάριν τοῦ καὶ τὰ ἐγ|καθήμενα τῶν 232

nous mêlons aussi au lavement de l'encens, du suc d'acacia ou d'hypo-
cistis, des fleurs de grenadier sauvage, de l'écorce de grenade, du suc
de sumac, ou des cendres, soit de laine en suint, soit d'un linge plié plu-
sieurs fois et saturé d'alun de plume, soit d'une éponge trempée préala-
blement dans du sang de bœuf et dans de la poix, soit d'excréments d'âne
seuls, surtout quand ces accidents proviennent d'un ulcère rongeant;
on administrera des lavements froids, mais qui n'engourdissent pas.
Dans les ulcérations des intestins exemptes de fluxion, injectez du lait 54
de chèvre, ou de vache, ou bien deux drachmes de suc de nerprun des
teinturiers, ou deux drachmes de terre de Samos, ou la même quan-
tité soit d'amidon, soit de ptisane de froment, combinés avec de l'ognon
de vaccet brûlé, ou de l'absinthe. Lorsque les ulcérations sont compli- 55
quées de fluxion et d'excès d'humidité, injectez des cendres de papyrus,
ou de roseau, ou le médicament fait avec du papyrus, après l'avoir
dissous dans l'eau, ou quelque décoction d'un médicament astringent.
— Lorsqu'il s'agit de lavements un peu efficaces, on administre d'abord 56
un lavement émollient, pour expulser les matières fécales enclavées et

B; *μύρτου μελανοῦ* A 3ª m.; *μύρτου μέλανος* M. — 1. *ἢ ὑποκ. Syn.; καὶ ὑποκ.* Codd. — 2. *ἴδιον* BV. — Ib. *ἢ συπήρους ποδόν* C 1ª m.; *ἠσυπήρου σποδόν* A; *ἢ συπηρουσποδόν* M; *ἢ συπήρου σποδόν* BV. — 5. *ἑαυτήν* ex em. Matth.; *ἑαυτόν* ABCM; *αὐτόν* V. — Ib. *εἴη* ex em.; *ᾖ ἢ* Codd. — 6. *ἀρευματίστοις Syn.; ἀρευματίστου* Codd. — Ib. *ἐνίεμεν* om. C. — 9. *σχίνου* Codd. — 10. *ἀφέψημά τι* ex em.; *ἀφεψήματι* ABCMV; *ἀφεψήματος* A 2ª m. — 12. *καί* om. A 1ª m.

σκυβάλων ἐκκριθῆναι, καὶ μὴ ἀθρόως καθάψασθαι τῶν σωμάτων
57 οὕτως ἐπιτεταμένον κλυσμόν. Ἐπὶ μὲν οὖν τῶν πυρεσσόντων οὐ
δίδωσιν ἄδειαν τοῦ πολλάκις ἐνιέναι ἡ νόσος· ἐπὶ δὲ τῶν ἀπυρέτων
58 ἐφίεται, ὅσον εἰς εὐκαιρίαν τοῖς κλυσμοῖς. Δεῖ δὲ τὸν μὲν πρῶ-
τον κλυσμὸν πλείονα προσφέρειν, τὸν δὲ δεύτερον ἐλάσσονα, καὶ
πλείονα μὲν ἐπὶ ὧν ἀπὸ κεφαλῆς καὶ τῶν ταύτης μερῶν χάριν
προσάγομεν· ἐλάτλονα δὲ ἐπὶ ὧν ἐκ προχείρου καὶ παρακειμένου
τὴν μεταγωγὴν ποιούμεθα· οὐ δεῖ μέντοι ἐπὶ ὧν ἐποχὴ πολυχρό-
νιος σκυβάλων, ἀπαιτεῖ δὲ ἡ διάθεσις δρασλικωτέραν κάθαρσιν, πα-
ραχρῆμα δριμὺν ἐνιέναι κλυσμὸν, ἀλλὰ καὶ ἐκ δευτέρου καὶ τρίτου
πολλάκις ἐνιέναι τὸν ἁπαλὸν κλυσμὸν, ἔχοντα ἢ ῥητίνης τι, ἢ βου-
τύρου, καὶ μετὰ τὴν ἔκκρισιν τότε τοῖς δρασλικωτέροις χρησλέον.
59 Καιρὸς δὲ τῶν δριμέων κλυσμῶν ἐπὶ τῶν ἀπυρέτων περισλάσεων,
233 ὀξειῶν μὲν κατὰ τὰς ἀρχὰς | καὶ κατὰ τὰς ἀκμὰς τῆς νόσου· ἐν ἀνέσει

pour empêcher qu'un lavement aussi actif ne soit tout à coup en contact
57 avec les parties. Chez les fébricitants, l'affection [considérée en elle-
même] ne permet pas d'administrer sans crainte des lavements à plusieurs
reprises; au contraire, dans les affections apyrétiques, elle le permet,
en tant qu'il s'agit de trouver un temps opportun pour les lavements. —
58 Le premier lavement qu'on donne doit être le plus copieux et le second
moins abondant; on administrera un lavement plus copieux quand il s'a-
git d'opérer une dérivation de la tête, et qu'on donne le lavement en
vue des divers organes de cette partie; le lavement doit être moins abon-
dant, quand on veut déplacer les matières qui sont à portée et dans le
voisinage; cependant, si la rétention des excréments dure depuis long-
temps et que la maladie exige une purgation drastique, on n'administrera
pas de suite le lavement âcre, mais on sera souvent obligé d'adminis-
trer à deux ou à trois reprises un lavement émollient, dans lequel on
aura mis un peu de résine, ou de beurre, pour recourir, après l'évacua-
59 tion, aux lavements plus actifs. Dans les maladies apyrétiques, le temps
opportun pour les lavements âcres est, dans les affections aiguës, le com-
mencement et l'acmé, mais on les administrera dans la rémission des

1. ἐκκρίνεται C. — Ib. καθάψεσθαι CM. — 2. ἐπιτεταμένῳ V; ἐπιτιθέμενον C. — Ib. Ἐπὶ μέν om. A 1ª m. — 3. δέ om. B. — 6. τῶν om. C. — 8. καταγωγήν A. — 9. ἀπεκτεῖ C 1ª m. — 14. ὀξέων Codd.

μέντοι παροξυσμῶν προσάγειν δεῖ· ἐπὶ δὲ χρονίων καὶ παρακμαζουσῶν ἐπιχωρεῖ πᾶς καιρός· ἐν πυρετοῖς δὲ, ἐπιτάσεων καὶ ἀνέσεων γινομένων, ἡ ἄνεσις δοκιμαζέσθω ἀρχομένη. Πολλάκις δὲ καὶ 60
κατὰ τὰς ἀρχὰς ἐπὶ ἐνίων πυρετῶν δριμεῖ κλυσμῷ εὔκαιρον χρῆσθαι τόπον ἐφέξοντι φλεβοτομίας. Ἐπὶ τῶν ἰσοκρατῶν κράσεων χρη- 61
σίέον καὶ θερμοτέρων, ὡς ἐπὶ ἐνίων εὐεκτῶν, πλήθους ἀνὰ σάρκα ὄντος· ὅπου δὲ τὸ ὑγρὸν ἐπικρατεῖ, χρησιμωτέρα ἡ διὰ καθάρσεως ἐλάτlωσίs ἐσlι τῆς ὕλης· καὶ μάλισlα ἐπὶ τῶν ἀθλητῶν διὰ τὸ πρὸς τὸν κλυσμὸν ἔθος, φλεγματώδους κοιλίας οὔσης, καὶ ὑποσωρεύσεως πολλῆς ἐπὶ τὰ κάτω παρακολουθούσης, ἅμα καὶ τῆς λοιπῆς συνδρομῆς· οἷς γὰρ φλέγμα παράκειται ἐν τῇ κοιλίᾳ, ἁρμόσει κλυσμὸς, μηνύει δὲ τοῦτο τὸ μὴ πέτlεσθαι τὴν τροφὴν, συνεχεῖς τε ἐρυγὰς γίνε|σθαι καὶ ὀξείας, καὶ ἀνεμεῖν τὰ σιτία, καὶ εὐχερῶς 234
ἱδροῦν ἐν βαλανείοις, συνήθεις κλυσμοὺς, ἢ καθάρσεις κοιλίας ἐκλε-

accès; dans les maladies chroniques et dans celles qui sont sur leur déclin, toute époque est également opportune; dans les fièvres, lorsqu'il y a des redoublements et des rémissions, on préférera le commencement de la rémission. Dans certaines fièvres, il est souvent opportun 60
de donner, au commencement, un lavement âcre, qui remplace alors la saignée. On aura recours à cette méthode quand le mélange [des qualités 61
élémentaires] est exact, ou que le *chaud* prédomine un peu, par exemple chez certains individus d'une bonne complexion, lorsqu'il y a surabondance d'humeurs dans les chairs (quand *l'humide* prédomine, il est plus convenable de diminuer les matières par l'administration d'un médicament purgatif), et surtout chez les athlètes, parce qu'ils sont habitués aux lavements; [ces lavements leur conviennent,] s'il y a surabondance de pituite dans l'estomac, grande accumulation de matières vers le bas-ventre, unies au concours de symptômes qu'on observe en pareil cas: car, lorsqu'il y a de la pituite dans l'estomac, il faut administrer un lavement; or cet état se reconnaît par les symptômes suivants : absence de digestion; éructations acides continuelles; vomissements des aliments; grande tendance à transpirer dans le bain; suspension des purgations, ou des lavements habituels; abattement des forces; amaigrissement; et,

12. τοῦτο τό ex em. Matth.; τοῦτο BV. — 14. ἱδροῦν ex em. Matth.; ἱδροῦ ACM; τό BV. — 13. σιτία, μὴ εὐχερῶς Codd.

λοιπέναι, ἀδυναμεῖν, ἰσχναίνεσθαι, πυρέσσοντα δὲ δυσρίγως ἔχειν, μὴ ὅλον ἀναθερμαίνεσθαι τὸ σῶμα ὁμαλῶς, μάλιστα δὲ τὰ περὶ τὴν κοιλίαν ἐγκαίεσθαι, καὶ τῶν ἀλλοκότων καὶ δριμέων ἐπιθυμεῖν πομάτων, ἀνορεκτεῖν δὲ πρὸς τροφὴν, πρόσωπον ἄχρουν καὶ μολιβδῶδες ἔχειν, σφυγμὸν ἀργὸν καὶ δυσκίνητον καὶ θλίψεις τινὰς
62 ἀραιὰς ἔχοντα. Καὶ τοσαύταις μὲν περιστάσεσιν οἱ δριμεῖς ἁρμόζουσι κλυσμοί· ἐπεὶ δὲ τῶν αὐλίσκων οἱ μέν εἰσιν εὐθύτρητοι, οἱ δὲ παράτρητοι, οἱ μὲν παράτρητοι ἁρμόζουσιν ἐπί τε δυσεντερικῶν καὶ τῶν εὐπαθέστερα τὰ μέρη ἐχόντων, ὡς μὴ ἐπιγένοιντο νυγμοὶ, καὶ ἐπὶ ὧν ἐκ προχείρου τὴν κένωσιν βουλόμεθα ποιήσασθαι· οἱ δὲ εὐθύτρητοι ἐπὶ ὧν πλείω διώσασθαι τὸ κατάκλυσμα βουλόμεθα
235 καὶ ἐκ τῶν ἄνω τι τόπων ἀγαγεῖν, καὶ ἐπὶ | ὧν παχύτερά ἐστι τὰ
63 ἐνιέμενα. Χρήσιμον καὶ τὴν ἐπὶ ἑνὸς ἑκάστου τῶν πασχόντων τόπων σημείωσιν, ὡς ἂν διαφέρωσιν, ἐκθέσθαι· δυνατὸν γὰρ ἀπὸ τῆς

au moment de la fièvre, sensibilité au froid; chaleur qui ne se répand pas également sur tout le corps, et surtout ardeur brûlante dans la région du ventre; désir de prendre des boissons extraordinaires et âcres; défaut d'appétit; pâleur et couleur plombée de la face; pouls paresseux, qui se met difficilement en mouvement, et dont les pulsations sont de
62 temps en temps éloignées les unes des autres. Ce sont là les circonstances dans lesquelles il faut avoir recours aux lavements âcres; mais, comme les canules sont percées soit en ligne droite, soit latéralement, on doit savoir que les canules percées latéralement conviennent dans la dyssenterie et chez les individus dont les parties sont sujettes à être lésées, afin de ne pas occasionner de l'irritation, et aussi quand nous voulons amener une évacuation des matières qui sont à portée; on aura recours, au contraire, aux canules percées en ligne droite, lorsqu'on veut faire pénétrer plus avant le lavement et soutirer quelque chose aux parties supérieures, enfin quand les ingrédients injectés sont plus épais que de
63 coutume. Il ne sera pas inutile d'exposer les signes particuliers qui indiquent l'affection de chaque partie et en quoi ils diffèrent, car, en

4. δέ om. ACM. — 5. ἀργὸν δυσκ. corr. — 8. οἱ ἁρμόζ. om. ABC 1ª m. M. — Ib. θλίψει A; θρίψις B; θρίψεις MV. — 9. ἐπιγένοντο C.

*τοιαύτης ϖαραδόσεως εἰδέναι, ἐπὶ τίνων ἁρμόσειαν οἱ εὐθύτρητοι.
Σκυϐάλων οὖν ἐγκατεχομένων ϖαρὰ τὴν ἄνωθεν ϖεῖσιν, ἐρυγαὶ καὶ* 64
*διάτασις σ7ομάχου, καὶ κατὰ μεταφρένου ὀδύναι, καὶ σ7ενοχωρίαι
ϖνεύματος συνεδρεύουσιν· ϖαρὰ δὲ τῆς νήσ7εως καὶ λεπ7ῶν ἐν-
τέρων, ναυτίαι καὶ σιελισμοὶ καὶ ϖυρώσεις ϖερὶ ὀμφαλὸν ϖυκναί·
κώλου δὲ ϖεπονθότος, φυσῶν ἐμπιπ7ουσῶν ἐποχαὶ, καὶ σ7ρόφοι
βίαιοι, ὀσφύος κοπῶδες βάρος, καὶ τὰ | ἐκκρινόμενα, ὥσπερ ἐπὶ* 236
*ῥευματισμοῖς, ἄθρυπ7α καὶ διουρηκότα· γασ7ρὸς δὲ οὔσης, κόπρια
ὑπολευκανθίζοντα, ἢ ὀλίγῃ ξανθῇ χολῇ κεχρωσμένα ἀραιῶς καταφέ-
ρεται· νήσ7εως δὲ, γλοιώδη, καὶ ἐπιπάγους μελανίζοντας λαμϐά-
νοντα, καί ϖου καὶ αἱματώδεις ἶνας ἐμφερομένας ἔχοντα, ϖοτὲ δὲ
ὑπέρξανθα καὶ ϖολλὰ καὶ σὺν οὐ ϖολλῇ βασάνῳ ἐξολισθαίνει· ἀπὸ*

traitant ce sujet, il sera possible de savoir dans quels cas conviennent les
canules percées en ligne droite. Si donc les excréments sont retenus 64
par une affection des parties supérieures, il y aura des éructations, de la distension de l'orifice de l'estomac, de la douleur entre les épaules et du resserrement des organes de la respiration; si la rétention tient au jéjunum et aux intestins grêles, on observera des nausées, de la salivation, des ardeurs fréquentes autour du nombril; si le colon est affecté, les flatuosités qui tombent dans cet intestin sont retenues; il y a des coliques violentes et une pesanteur des lombes ressemblant à de la fatigue; les matières évacuées sont entières et nagent dans un liquide, comme cela a lieu dans le cas de fluxion [vers le colon]; si c'est l'estomac qui souffre, de petites quantités d'excréments blanchâtres, ou colorés d'un peu de bile jaune, descendront à des intervalles assez éloignés; en cas d'affection du jéjunum, les excréments ressembleront à du marc d'huile; ils présenteront, à leur surface, des pellicules noirâtres, et il surnagera çà et là des stries sanguinolentes; quelquefois aussi il s'échappera une grande quantité d'excréments fortement colorés en jaune et qui ne fournissent pas des signes bien certains; si les intestins grêles sont ma-

2. *Σκυϐάλων.*] Ici les mss ont en titre *σημεῖα ϖοίων μερῶν ϖεπονθότων ἐπέχεται τὰ σκύϐαλα.* — Ib. *ἐρυγαί* ex em.; *αἴροιται* ABCM; *αἴροιτοι* V. — 3. *διάσ7ασις* Gal. — Ib. *μετάφρενον* M Gal. — 3-4. *σ7ενοχ. ἢ ϖνεύματος* C; *σ7ενοχ. καὶ ϖνεύματα* 2ª m. — 4. *δὲ τῆς νήσ7ιος* C; *τε τῆς νήσ7ιος* 2ª m.; *δὲ τῆς ἴσ7εως* A 1ª m. M; *δὲ τῆς ἰσ7έσεως* V; *τὰ τῆς ἴσ7εως* B; *τὰ τῆς νήσ7εως* corr. — 5. *ϖυρώσεις* ex em. Matth.; *ϖυρέσεις* Codd. — 8. *ἄτριπ7α* ABC 1ª m. MV.

δὲ τῶν λεπτῶν ἐντέρων πρασίζοντα, ποικίλα, συνεχῶς ὀλίγα, ταχείας τὰς μεταβολὰς ποιούμενα, μετὰ ἄσης πολλῆς καὶ μετὰ μαρασμοῦ κατιόντα, ἐκδίδονται· ἀπὸ δὲ τῶν παχέων ἐντέρων, πιτυρώδη τῇ χρόᾳ, μύξης τινὸς ἐμφερομένης, αὐτίκα προθυμηθεὶς πολλὰ ἀθρόως καὶ πολλάκις ὑποχωρεῖ· ἀπὸ δὲ τοῦ ἀπευθυσμένου μύξα καθαρὰ, πάχος ἔχουσα, αἷμα εὐανθὲς σὺν προθυμίᾳ πυκνῇ καὶ
237 65 μόλις ἀποκοπτομένῃ ἔξεισιν ἰόντος. Τοσαύτης δὲ τῆς σημειώσεως ὑπαρχούσης, οὐκ ἂν λάθοιεν, οἷς αὐλίσκοις ἐπὶ τίνων χρηστέον· χρώμεθα δὲ κλυσμοῖς διὰ ὠτικοῦ κλυστῆρος καὶ ἐπὶ κόλπῳ μεγάλῳ, καὶ ἐν μεσοπλευρίῳ γενομένου ἀποστήματος, καὶ ἐπὶ συρίγγων, τὸ μὲν πρῶτον κλύζοντες τὸ ὑγρὸν ὕδατι θερμῷ, ἔπειτα μελικράτῳ ἀνακαθαίροντες, καὶ τὸ τελευταῖον ἐνίεμεν τὰ πυοποιοῦντα τῶν
66 φαρμάκων. Ἐνίεμεν καὶ ἐπὶ τῶν περὶ καυλὸν ἑλκώσεων, ἐνιέντες

lades, les excréments sont porracés, de couleur variée; on les rejette à plusieurs reprises en petite quantité; ils subissent des changements rapides, et l'évacuation est accompagnée de beaucoup d'anxiété et d'amaigrissement; si le gros intestin est affecté, le malade rejette à plusieurs reprises, dès qu'il sent l'envie d'aller à la selle, une grande quantité de matières de la couleur du son, sur lesquelles nage une espèce de mucus; enfin il provient du rectum [malade] un mucus pur et épais, ou du sang vivement coloré, et il y a des envies fréquentes d'aller à la selle qui
65 laissent à peine une interruption après l'évacuation. Comme il existe tant de signes diagnostiques, on n'ignorera pas quelles sont les canules qu'il faut employer dans chaque cas; quant aux injections opérées avec le *clystère auriculaire*, on y a recours dans les grandes collections purulentes, dans les abcès des intervalles intercostaux, dans les fistules; on expulse d'abord le pus avec de l'eau chaude, puis on nettoie la cavité avec de l'eau miellée, enfin on injecte des médicaments qui favorisent la
66 suppuration. Nous faisons aussi des injections dans les ulcérations du

2. ἄσης πολλῆς M marg.; ἀσισμολῆς Codd. — Ib. καί om. AB. — 3. ἐκδίδοσθαι Codd. — Ib. πιτυρώδει ABCV. — 4. χροιᾷ BV. — Ib. προθυμωθεὶς ABV; προτιμωθεὶς C. — 7. ἐξεισιόντος Codd. — Ib. Τοιαύτης C. — 9. διοτικοῦ ABC 1ª m. MV. — 10. μεσοπλευρίῳ ex em. Matth.; μέσῳ πλευρίῳ Codd. — 12. ἐνιέμενα πυοπ. B; ἐνιέντος πυοπ. C. 1ª m.

μελίκρατον, πιτύρων ἀφέψημα, πλισάνης χυλόν. **Ἐνίεμεν** *φάρμακα* 67
καὶ ἐπὶ κόλπων γυναικείων, φλεγμαινόντων μὲν, τήλεως ἀφέψημα,
μαλάχης, πλισάνης μετὰ σλέατος ὑείου, χηνείου, ὀρνιθείου· ἡλκω-
μένων δὲ, τετραφάρμακον ἐνίεμεν, ἢ μυελὸν ἐλάφειον, ἢ βούτυρον,
καὶ τῶν πεσσῶν | τοὺς ἁρμόζοντας· ἐπὶ δὲ τῶν πυοῤῥοούντων, κλύ- 238
ζομεν μελικράτῳ, σλυπληρίᾳ μετὰ ὕδατος, σλοιβῆς ἀφεψήματι μετὰ
οἴνου, ἢ ῥόδων, ἢ κισσοῦ, ἢ σιδίων, ἢ κηκῖδος, ἢ μυρσίνης, ἢ
οἴνῳ μετὰ ὀλίγης σλυπληρίας, ἢ οὔρῳ καὶ οἴνῳ ἴσοις, ἢ μυρσίνης
ἀφεψήματι καὶ οὔρῳ· πεφραγμένων δὲ διά τινος παράθεσιν, ὕδατι,
νίτρῳ μετὰ ὕδατος, μελικράτῳ μετὰ πολλοῦ ῥοίζου· οὕτω γὰρ ἐξω-
σθείη τὸ ἐνερειρηκός· κνησμωδῶν δὲ ὄντων, σεύτλων χυλὸν, πράσου
καρτὸν μετὰ ὄξους, κρόμμυον, ἀμυγδάλινον, ἢ ῥόδινον μετὰ ὄξους
ἐνίεμεν.

pénis, et nous employons, à cet effet, de l'eau miellée, une décoction de son, ou de la ptisane passée. Nous injectons encore des médicaments 67
dans le vagin, et, si cette partie est enflammée, nous avons recours à une décoction de fenugrec, de mauve, ou d'orge mondée, dans laquelle on met de le la graisse de porc, d'oie, ou de poule; si elle est ulcérée, nous introduisons ou le médicament composé des quatre simples, ou de la moelle de cerf, ou du beurre, ou les pessaires appropriés; lorsque le vagin secrète du pus, on le lave avec de l'eau miellée, de l'alun dissous dans de l'eau, avec une décoction de potérium épineux, de roses, de lierre, d'écorce de grenades, de noix de galle, ou de myrte, mêlée à du vin, ou avec du vin dans lequel on met un peu d'alun, ou avec un mélange de quantités égales d'urine et de vin, ou enfin avec un mélange d'urine et de décoction de myrte; si le vagin est obstrué par quelque matière étrangère, on aura recours à l'eau, à la soude brute combinée à l'eau, ou à l'eau miellée, et on poussera fortement les liquides de manière à faire beaucoup de bruit, car, de cette façon, le corps enclavé sera expulsé; si, enfin, il y a du prurit, on injectera du suc de bette, du poireau tondu, ou de l'ognon avec du vinaigre, ou de l'huile d'amandes, ou de l'huile de roses avec du vinaigre.

3-4. *ἑλκωμένων* CM. — 5. *πυοῤῥοούντων* ex em. Matth.; *πυοῤῥούντων* Codd. — 7. *σίδιον* ABC 1ª m; *σιδίου* MV. — 10-11. *ἐξωσθείη* ex em.; *ἐξωσθοίη* M; *ἐξωθείη* ABCV. — 11. *ἐνερηκός* Codd. — 11-12. *χυλοῦ πράσου κάρτων* Codd.

κε΄. Ὕλαι κλυσμῶν ἐπὶ δυσεντερίας. Ἐκ τῶν Λύκου.

1 Τὰ ἐν ταῖς δυσεντερίαις γινόμενα τὰ μὲν αὐτῶν οὐδὲ ἡντιναοῦν
προσοῦσαν ἔχει Φλεγμονήν· οἷς δὲ καὶ σύνεσ7ι Φλεγμονή· γνωρί-
σματα δὲ ἑκατέρων τάδε ἐσ7ίν· ἡ μὲν ὀδύνη περιτ7οτέρα προσοῦσα
καὶ πυρετοί τινες γινόμενοι Φλεγμονὰς ἀποφαίνουσι τοῖς ἕλκεσιν
ὁμοῦ εἶναι· ἀπόντες δὲ οἱ πυρετοὶ καὶ ὀδύνη οὐκ ἰσχυρὰ οὖσα πρὸς
2 οὐ Φλεγμαίνοντός ἐσ7ι τῶν ἑλκῶν. Ἢν μὲν οὖν πρὸς τοῖς ἕλκεσιν
ὑπάρχῃ ἡ Φλεγμονή, οἵδε οἱ κλυσμοὶ ἐπιτήδειοι· Φακῆς χυλὸς,
ἤτοι αὐτὸς μόνος, ἢ καὶ σχίνου τι ἢ καὶ μυῤῥίνης συνέψεσθαι·
3 τῇ Φακῇ δὲ, οἷα ἂν ᾖ, καὶ μήλων κυδωνίων ἀΦέψημα. Ἕψονται δὲ
καὶ πυροὶ καὶ ὄρυζαι καὶ χόνδροι, ἓν ἕκασ7ον τούτων ὁμοῦ μήλοις,
ἢ συμΦύτου ῥίζῃ, ἢ κυτίνοις· ἔσ7ω δὲ οὐ πολὺ μέρος οἱ κύτινοι.
4 190 Καὶ | ἔσ7ι ἐπαρκέσ7ατον τὸ ἐξ ὁτουοῦν τούτων πεποιημένον, καὶ τὰ

25. COMPOSITION DES LAVEMENTS CONTRE LA DYSSENTERIE. — TIRÉ DE LYCUS.

7 de précautions. Chez quelques malades il a suffi de boire une fois ce médicament pour rendre aux parties leur santé primitive : ce n'est pas uniquement, pour ainsi dire, à cause de son effet purgatif que ce médicament est estimé, puisqu'il produit peu à peu par voie de distribution un bien-être conforme à la nature; chez d'autres malades il ne produit cet effet qu'après avoir été pris deux ou trois fois; chez les autres enfin il prépare le corps à profiter des remèdes métasyncritiques.

1. πεπείραται ex em. Matth.; πεπείρασΊαι A 2ª m. BV; πεπείρασθαι ACM. — 3. τά om. CM. — 4. ὅ τι ex em. Ras. et Matth.; ἔσΊι Codd. — 5. διακρίνων Codd. — 11. δεδόκασΊαι, τῷ ex em.; δεδωκασΊῷ M; δεδωκάσΊω AC; δέδωκας τῷ B; δώδεκας τοῦ V; δέδωκας τοῦ 2ª m. — 12. ὑπεργασαμένων Codd.

Matth. 220.

| μϛ'. Καθαρτήρια ἐπὶ ϖυρετῖόντων. [Ἐκ τῶν] Ἀρχιγένους. 220

Ἐπὶ τῶν εὐτρόπων ϖυρετῶν, τουτέσῖιν ἐπὶ ὧν ἰσχὺς μὲν ὑπό- 1
κειται, χρόνου δὲ ἔνδεια, ἀφαίρεσιν ἀθρόαν ποιητέον χάριν τοῦ
διακόψαι τὴν συνέχειαν· Φλεβοτομίᾳ μὲν οὖν ἐπί τε τῶν ἰσοκρατῶν
χρησῖέον, ἐπί τε τῶν θερμοτέρων μᾶλλον ἤπερ ὑγροτέρων· εἴ που
δὲ τὸ ὑγρὸν ἐπικρατέσῖερον εἴη, χρησιμωτέρα ἡ διὰ καθάρσεώς
ἐσῖι τῆς ὕλης ἐλάτῖωσις. Κἂν δέῃ, καθαρὰ οὐκ εὐθὺς σκαμμωνία, 2
οὐδὲ τῶν βιαιοτέρων τι, ἀλλὰ ἠπιώτερα ϖαραληφθήσεται, ϖρῶτον
μὲν ἐπιθέματα καὶ καταχρίσματα ἄγαν ἐκ τῆς βιαίου ὕλης, εἰ τῷ
κατὰ διάδοσιν ἐνεργεῖν ἀμαυρὰ γίνεται. Εἴωθα δὲ ἐγὼ χρῆσθαι 3
καὶ καταπλάσματι ἐπὶ διασῖήματι ἡμέρας, κατὰ ὑποχονδρίου ϖλατὺ
ἕως ὀμφαλοῦ ἐπιῤῥίπῖων αὐτὸ, ὁτὲ δὲ καὶ κατὰ ὅλης τῆς γασῖρὸς,
αἰρίνου ἀλεύρου μέρη τρία ϖρὸς ἓν τοῦ κνεώρου μιγνὺς, ἐν μέλιτι
καθέψων, ἢ καταχρίων, τιθυμάλλου ὀπὸν καὶ κυκλαμίνου χυλὸν

46. PURGATIFS À L'USAGE DES FÉBRICITANTS. — TIRÉ D'ARCHIGÈNE.

Dans les fièvres d'un bon caractère, c'est-à-dire quand les forces sont 1
intactes, mais que le temps manque, on fera une grande déplétion d'un
seul coup pour rompre la continuité : chez ceux donc où aucune qualité
ne prédomine, ou qui sont plutôt chauds qu'humides, on aura recours
à la saignée; mais, s'il arrive quelquefois que l'humide ait le dessus, la
diminution de la matière à l'aide d'une purgation convient mieux. Quand 2
la purgation est nécessaire, on ne recourra pas immédiatement à la scam-
monée pure, ou à quelque médicament assez actif, mais on emploiera
des moyens assez doux, et nommément d'abord des épithèmes et des on-
guents préparés avec des ingrédients très-actifs; dans ce cas en effet ils
s'émoussent, puisqu'ils agissent par transmission. Moi, je me sers habi- 3
tuellement d'un emplâtre large, que j'applique de deux jours l'un sur l'hy-
pocondre jusqu'au nombril, quelquefois aussi sur tout le ventre; à cet
effet je mêle trois parties de farine d'ivraie à une partie de *cnéorum*, que
je fais cuire dans du miel; ou bien j'emploie, sous forme d'onction, parties
égales de suc de tithymalle et de suc de pain de cochon, en y mêlant la

Ch. 46; l. 4. *εἴπερ* ABCV.— Ib. *εἴ που* conj.; *ὑπό* Codd. — 5. *εἴη* conj.; *ἢ* Codd. — 6. *δὲ ἢ καθαρά* Codd. — 7. *ἢ ϖιοτέρα* BV. — 8. *ἢ τό* Codd. — 11. *ἐπιῤῥίπῖον* ABCV. — Ib. *ὥσῖε* Codd. — Ib. *καί* om. B.

Matth. 220-221.

ἴσον ἐλατηρίου ἡμίσει μιγνὺς καὶ ἀνιεὶς αὐτὰ ὑγρῷ τῷ χυλῷ τῆς κυκλαμίνου σὺν ὀλίγῳ μέλιτι, ὡς μὴ ἄγαν ξηραινόμενα θρύπτηται.
4 Καὶ συνεργῶ βαλάνιον προσθεὶς ἐκ τῆς κυκλαμίνου γεγλυμμένον, καὶ ἀποβεβρεγμένον εἰς ἅλμην ἐντιθεὶς, ἢ ἄλλο τι τῶν ὁμοίων.
5 221 Ἔπειτα καὶ τῶν λαμβανομένων ἤρκεσέ μοι λινο|ζώστεως χυλὸς ὅσον εἰς πλῆθος τριῶν κοτυλῶν, ἐμπεπασμένους ἅλας ἔχων, ἢ ὀρὸς ὁμοίως.
6 Ἀλυπότατον δὲ καὶ πάσῃ ἡλικίᾳ ἁρμόττον ἐστίν· πολυποδίου μέρη δύο, κνεώρου, καὶ ἁλὸς, νίτρου ἀνὰ μέρος ἓν, κνήκου μέρος ἕν.
7-8 Δίδοται πρὸς δύναμιν τελείοις δραχμὰς γʹ. Φυρᾶται δὲ μέλιτι εἰς
9 κοπτῆς τρόπον, ἢ ἐμπάσσεται εἰς ὑδρόμελι. Καὶ αὐτὸ δὲ κατὰ ἑαυτὸ κνῆκος ἐν τῷ ἴσῳ πλήθει, ἢ πλεῖστον ὁλκαὶ δʹ ἱκανῶς κινεῖ.
10 Καταλληλότατον δὲ τοῖς εἰρημένοις ἐστὶ πυρετοῖς καὶ τοῦτο καὶ τὸ εἰρημένον κοπτάριον· κλυσμὸς δὲ καὶ ἡ λινόζωστις μὲν, καὶ κολοκυνθίδος δὲ ἀφέψημα χρήσιμόν ἐστι, εἰ μὴ μόνα τὰ σκύβαλα, ἀλλὰ

moitié du suc de concombre sauvage; je délaye le tout dans du suc liquide de pain de cochon avec un peu de miel, afin que le médicament ne se
4 fendille pas par excès de sécheresse. J'agis dans le même sens, en appliquant en même temps un suppositoire fait avec du pain de cochon; je l'introduis après l'avoir trempé dans de l'eau salée; ou bien j'emploie quel-
5 que autre suppositoire analogue. Quant aux médicaments qui sont pris à l'intérieur, il me suffit d'administrer trois cotyles de suc de mercuriale, saupoudrés de sel; ou bien je me sers du petit-lait de la même manière.
6 Le médicament suivant est encore exempt de toute espèce d'inconvénients et peut s'administrer à tout âge : fougerole deux parties, *cnéorum*, sel,
7 soude brute, de chacun une partie; carthame une partie. On le donne sui-
8 vant les forces à la dose de trois drachmes aux adultes. On le mêle au miel pour en faire une espèce de tablette, ou on le saupoudre sur de l'hydro-
9 mel. Le carthame pris seul à la même dose, ou tout au plus à celle de
10 quatre drachmes, purge suffisamment aussi. Ce dernier médicament, ainsi que la tablette mentionnée plus haut, est très-utile dans les fièvres dont nous parlons; en fait de lavements, on aura recours avec succès à la mercuriale, ou à une décoction de coloquinte, si on se propose non-

3. *βαλανεῖον* CM. — 6. *ἐμπεπλασμένους* BV. — 9. *δραχμαί* CM. — 11. *δʹ*] *αʹ* B. — 12-13. *καὶ τοῦτο τὸ εἰρ.* V. — 13. *μέν* om. V. — 13-14. *καὶ ἡ κολ.* ABM; *καὶ τὸ κολ.* B corr. V. — 14. *δέ* om. V.

καὶ τῶν ἀνωτέρω τι κομίζεσθαι δοκιμάζοιμεν. Ὥσπερ οὖν ἐπὶ τῶν 11
τοιούτων πυρετῶν καὶ ταῦτα μὲν ἐν ἀσιτίας τρόπῳ, ὑποδεξαμένης
τροφῆς τὴν παντελῆ κάθαρσιν, προσάγεται, ἐν τρόπῳ δὲ καὶ τρο-
φῆς ἐγὼ τὸν διὰ τῆς κολοκυνθίδος πόλτον δίδωμι σφαίρας κδʹ,
ἐχούσας μέγεθος ποντικοῦ καρύου, ἃς καταπινέτω ὁ θεραπευόμενος
ἀμασήτους, εἶτα διακλυσάμενος τὸ σ7όμα καὶ καταῤῥοφήσας ὕδατος
καθαροῦ κυάθους τρεῖς ἡσυχαζέτω, τὴν κάθαρσιν ἀποδεχόμενος.
Χρησ7ὸν καθαρτικόν ἐσ7ι καὶ πυρετῷ | οὐ βαρύ· ἄγει δὲ ὑδατώδεις 12 222
χολὰς, καὶ παχείας ὕσ7ερον. Πολλοὺς οἶδα ἰαθέντας μετὰ τοῦτο· 13
τοὺς δὲ ἐπὶ ὀλίγον ἐπισημανθέντας λουτρὸν ἐξιάσατο. Οἷς δὲ ἐδέησε 14
καὶ δεύτερον τοιαύτης δόσεως, ιηʹ ἀπὸ τοῦ αὐτοῦ κράματος τὰ
σφαιρία δίδοται. Καὶ τῆς δευτέρας κενώσεως καιρὸς ἀκμὴ τῶν εὐ- 15
τρόπων πυρετῶν, ὅπου κόποι, κεφαλῆς ἀλγηδόνες, βάρη, ἀτονία,
πυρώδης ἐν ἰσχίοις διάθεσις καὶ κάματος. Ἄρισ7όν ἐσ7ι τὸ φάρ- 16

seulement d'emporter les matières fécales, mais aussi d'enlever une par-
tie des matières situées plus haut. De même que, dans ces fièvres, nous 11
donnons les médicaments susdits en prescrivant l'abstinence, de façon à
faire suivre la purgation complète d'une administration d'aliments, de
même je prescris, comme aliment, la bouillie à la coloquinte; j'en admi-
nistre vingt-quatre boules de la grandeur d'une noisette, que le malade
avalera sans les mâcher; il doit ensuite se rincer la bouche, et, après avoir
avalé trois cyathes d'eau pure, il se reposera et attendra la purgation. C'est 12
un bon purgatif et qui n'aggrave pas la fièvre; il évacue de la bile aqueuse,
et plus tard de la bile épaisse. Il est à ma connaissance que plusieurs 13
malades ont guéri, après avoir pris ce médicament; les malades chez les-
quels il reparut des traces de la maladie furent guéris par un bain. Quand 14
il est nécessaire d'administrer une seconde fois cette médication, on donne
dix-huit boules du même mélange. Le temps opportun pour la seconde 15
évacuation est encore l'acmé pour les fièvres de bon caractère, lorsqu'il
y a de la brisure, des maux de tête, de la pesanteur, de la faiblesse, un
sentiment d'ardeur aux hanches et de l'accablement. Cette bouillie à la 16

1. δοκίμαζομεν B text. — 5. ἃς καὶ κατ. V. — 6. ἅμα σίτους BCMV. — 7. καθαροῦ] *calidæ* Ras. — 8. βαρεῖ Codd. — 13. ἀπωνίαι A; ἀτονίαι A 2ª m. BC 1ª m. MV. — 14. πυρώδεις Codd. — Ib. διαθέσεις BV. — Ib. κάματοι C.

Matth. 222-223-245-246.

μακον· σκευάζεται δὲ οὕτως· λαμβάνονται κολοκυνθίδες β', καὶ ἐκγλυφείσαις αὐταῖς ἐγχεῖται ἔλαιον, οὗ διανυκτερεύσαντος, εἶτα ἀποχυθέντος εἰς χύτραν ἐγκεκαινισμένην, ὕδωρ ἴσον ἐμβάλλεται, καὶ θλασθεῖσαι ἐνέψονται [αἱ] κολοκυνθίδες, εἶτα ἐκβάλλονται ἐκθλιβεῖσαι, καὶ μεταχεῖται εἰς ἑτέραν χύτραν ὁ χυλὸς, εἶτα ἀπὸ σιλίγνεως καθαρᾶς ἐκβληθεὶς ἕψεται πόλτος, κἀπειδὰν καλῶς ἔχῃ, μέλανος ἐλλεβόρου καὶ σκαμμωνίας κούφης ἡμιόλκιον, εἰ ἐπιεικὲς
223 βούλοιο, ὁλκὴ δὲ, ὅταν εὔτονον, ἐμ|πάσσεται, καὶ συντορυνηθέντος σφαῖραι γίνονται.

245 |μζ'. Ἱερὰ ἡ διὰ τῆς σικυωνίας. Ἐκ τῶν Ῥούφου· ἐκ τοῦ λόγου τοῦ Περὶ τῶν κατὰ ἄρθρα νοσημάτων.

1 Αὕτη τὴν μὲν ἀρχὴν εὑρέθη πρὸς τὰ πλευριτικά· ὕστερον δὲ
246 καὶ πρὸς ἄλλα ἐφάνη πάνυ χρή|σιμος· λύει δὲ οὐκ εἰς μακρὰν τοὺς
2 πόνους καὶ τῷ μὴ ἄγαν ὀξέως καθαίρειν. Διδόναι δὲ ἐν μελικράτῳ

coloquinte constitue un excellent médicament; on la prépare de la manière suivante: prenez deux coloquintes, creusez-les, versez de l'huile dedans; laissez-la séjourner pendant une nuit, versez-la ensuite dans un pot neuf dans lequel on met une quantité égale d'eau; on fait bouillir dans ce mélange les coloquintes après les avoir broyées, puis on les exprime, on les jette et on verse le suc dans un autre pot; après cela on fait bouillir la pâte fournie par du blé blanc pur, et, quand elle est bien cuite, on y jette de l'ellébore noir et de la scammonée légère à la dose d'une demi-drachme, si on veut préparer un médicament faible, et à celle d'une drachme entière, s'il s'agit d'un médicament fort; puis, après avoir remué le tout ensemble, on en fait des boules.

47. PURGATIF SACRÉ À LA COLOQUINTE. — TIRÉ DE RUFUS DU TRAITÉ *SUR LES MALADIES DES ARTICULATIONS.*

1 Ce médicament a été primitivement inventé contre la pleurésie, mais plus tard il s'est montré éminemment utile aussi contre d'autres maladies; il résout en peu de temps les douleurs, par sa propriété même de ne pas
2 purger très-rapidement. On le donnera avec de l'eau miellée, ou de l'oxy-

4. [αἱ] conj.; om. Codd.— 6. ἐκβληθεὶς conj.; ἐκβληθὲν ABMV; ἐκβοληθὲν C. — 7. μέλ. ἐλλ. τριώβολον, σκαμμ. δὲ ∠α' *Syn.* — Ch. 47; l. 10. ἕτερον C. — 12. τό Codd. — Ib. ἐν μελικράτῳ ex em. Matth.; μελίκρατον Codd.

δεῖ, ἢ ὀξυμέλιτι· ἐμβάλλειν δὲ εἰς πτισάνης χυλὸν διηθημένον καὶ
μέλι, εἰ ἀσθενεῖς τύχοιεν ὄντες. Μέτρον δὲ τοῦ φαρμάκου τὸ μὲν 3
πλεῖστον ∠γ', τὸ δὲ ἐλάχιστον α', οἷς ἂν ἐλάσσονος δοκῇ δεῖν κε-
νώσεως. Ποιεῖ δὲ καὶ ἐπὶ τῶν ἀρθριτικῶν, καὶ πολλάκις αὐτοῦ δι- 4
δόναι χρὴ καί που θαῤῥεῖν αὐτῷ, ὡς ἀεὶ τὸ δέον παρεχομένῳ. Κα- 5
θαίρει δὲ | οὔτε ὀξέως, οὔτε ἀθρόως, οὔτε ἑτέρωθεν μᾶλλον ἢ ἀπὸ 247
τῆς νόσου. Πλῆθος δὲ ἐπὶ τούτων ἀρκεῖ ∠δ' ἐν μελικράτῳ [ἢ] ὕδατι· 6
ἁλῶν δὲ μίσγειν· εὐπορώτερον γὰρ οὕτω γίνεται. Ἡ δὲ σύνθεσις 7
αὐτοῦ τοιάδε ἐστίν· τῆς σικυωνίας τοῦ ἐντὸς ∠β', ἀγαρικοῦ, χαμαι-
δρυος ἀνὰ ∠ι', πάνακος δὲ ὀποῦ καὶ σαγαπηνοῦ ἑκατέρου ἀνὰ η',
πετροσελίνου καὶ ἀριστολοχίας στρογγύλης καὶ πεπέρεως λευκοῦ
ἑκάστου ∠ε', κινναμώμου δὲ καὶ ναρδοστάχυος καὶ σμύρνης καὶ
κρόκου καὶ πολίου ἑκάστου ἀνὰ ∠δ', μέλιτος δὲ τοσοῦτον, ὥστε
φυραθῆναι πάντα.

mel, et, quand les malades sont faibles, on le met dans de la ptisane
passée, ou dans du miel. La dose du médicament est de trois drachmes 3
au plus, et d'une drachme au moins quand on croit devoir produire une
purgation moins forte. Ce médicament est utile aussi pour les goutteux, 4
mais il faut le donner à plusieurs reprises et avoir de la confiance en lui,
comme dans un remède qui produit toujours l'effet désiré. Il ne purge ni 5
rapidement, ni d'un seul coup, et agit principalement sur les matières
morbides. Chez les goutteux il suffit de le donner à la dose de quatre 6
drachmes dans de l'eau miellée, ou dans de l'eau simple; mais on ajoutera du sel, car, de cette façon, il devient plus prompt à traverser le corps.
Sa composition est la suivante : partie intérieure de la coloquinte deux 7
drachmes; agaric, germandrée luisante, de chacun dix drachmes; suc d'opopanax et sagapène, de chacun huit drachmes; persil, aristoloche *ronde*, poivre blanc de chacun cinq drachmes; cannelle, épi de nard, myrrhe, safran, germandrée blanc de neige, de chacun quatre drachmes; miel en quantité suffisante pour pouvoir mêler le tout ensemble.

1. *δεῖ ἢ* ex em. Matth.; *διει* AMV; *δι ...ει* B; *δι'* C. — 2. *εἰ ἀσθενεῖς* conj. Matth.; *ιασθης* ACMV; *ἰαθῇς* B. — 4. *ἐπί* om. C. — 7. [*ἢ*] conj.; om. Codd. — 8. *ἀπορώτερον* C 1ª m. — 9. *β'*] *γ'* *Syn.* — 12. *ε'*] *γ'* *ad Eun.* — 13. *πολιοῦ* MV. — Ib. *μέλιτος* ex em. Matth.; *μέλιτι* Codd.

248 1 | Ὑπήλατον Ἰούστου, κατάγον εὖ τὸν ῥύπον ἐν τῇ γαστρὶ καὶ
ἅμα τόν τε θώρακα τήν τε κεφαλὴν ἐλαφρῦνον.] Ἔχει δὲ κολοκυν-
θίδος Αἰγυπτίας τοῦ ἐντὸς ∠λβ′, πράσιον καὶ χαμαίδρυν καὶ στοι-
χάδα ἕκαστον ἀνὰ ∠ιδ′, γεντιανὴν δὲ καὶ ἀγαρικὸν ἑκάτερον ιβ′,
καὶ βδέλλιον καὶ ναρδόσταχυν καὶ κρόκον καὶ κιννάμωμον ἕκαστον
η′, κασίαν δὲ καὶ σχοίνου ἄνθος καὶ τὸ λευκὸν πέπερι καὶ τὸ μα-
κρὸν καὶ σκίλλαν ὀπτὴν ϛ′ καὶ τοῦ κενταυρίου τῆς ῥίζης δ′· λεῖα
249 | πάντα καταμίγνυται διεθέντι τῷ βδελλίῳ ἀφεψήματι πάνακος καὶ
μέλιτι καθέφθῳ· λαμβάνεται δὲ αὐτοῦ μέγεθος κυάμου πρὸ τῶν
2 σιτίων. — Λυτικὰ γαστρός.] Ἔμβαμμα· ζιγγιβέρεως ∠β′, πεπέ-
ρεως μακροῦ, σκαμμωνίας, ὀποῦ Κυρηναϊκοῦ ἀνὰ ∠α′, ὄξους, γάρου
ἀνὰ κ°α′· τρίψας καὶ ἑνώσας δίδου μετὰ θριδάκων ἕνα πρὸς τὸ
3 λῦσαι τὴν κοιλίαν, δύο δὲ πρὸς τὸ καθᾶραι. — Ἄλλο.] Ζιγγιβέρεως,
4 σκαμμωνίας ἀνὰ Γο α′, ἁλὸς Γο δ′, ὄξους, γάρου ἀνὰ κ°α′. — Κοκ-

1 *Médicament de Justus relâchant le ventre, faisant descendre utilement les
excréments contenus dans le ventre et rendant à la fois la tête et la poitrine
légères.* — Il contient : intérieur de coloquinte d'Égypte, trente-deux
drachmes; marrube, germandrée luisante et lavande à toupet, de chacun
quatorze drachmes; gentiane, agaric, de chacun douze drachmes; bdellium,
épi de nard, safran, cannelle, de chacun huit drachmes; fausse cannelle,
jonc odorant, poivre blanc, poivre long, squille torréfiée, six drachmes;
racine de centaurée, quatre drachmes; on mêle tous ces ingrédients triturés
au bdellium dissous dans une décoction d'opopanax et à du miel fortement
2 cuit; on en prend le volume d'une fève avant le repas.—*Moyens pour relâ-
cher le ventre. Sauce:* Gingembre, deux drachmes; poivre long, scammonée,
silphium, de chacun une drachme; vinaigre, garon, de chacun un cotyle;
après avoir trituré et réuni ces ingrédients, on en donne avec de la laitue
3 une [cuillerée?] pour relâcher le ventre et deux pour purger. — *Autre
sauce.* Gingembre, scammonée, de chacun une once; sel, quatre onces;
4 vinaigre et garon de chacun un cotyle. —*Pilules salubres, favorables à l'o-*

1. Ἰούστου ex em. Ras.; εἰσύστος A 2ª m. CMV; εἰς ....υστος B; εἰσὺς τό A. — 2. καὶ τὴν κεφ. V. — 3. λγ′ C. — 4. ἑκατέρων B text. — 6. κασίαν ex em.; κασίας ABCM; κασσίας V. — 8. καταμίγνυνται A. — Ib. διειθέντι Codd. — 9. κατέφθῳ Codd. — 10. Λυτικὰ γαστρός om. B. — 12. δός BV. — 13. ζιγγιβέρεος Codd.; it. l. 10. — 14. ἁλῶν ἀμμωνιακῶν Γο. δ′, ἀλόης Γο. δ′ Syn.

κάρια ὑγιεινὰ, σῖομαχικὰ, γα|σῖρὸς ὑπακτικὰ μάλισῖα, περιγρά- 250 φει δὲ καὶ τύπους.] Ἀλόης Γο β', ἀψινθίου χυλοῦ Γο γ', σκίλλης ἐγκαρδίου Γο α'· τὴν σκίλλαν ἐμβαλὼν εἰς ζύμην, καὶ ὀπῖήσας ὥσῖε ἑψηθῆναι, τὴν σκίλλαν ἐξελὼν, ἐξινίσας σῖάθμισον, καὶ βαλὼν εἰς ὅλμον εὐτόνως κόψον, ἐπεμβάλλων τὸν χυλὸν τοῦ ἀψινθίου, καὶ τὴν ἀλόην λελειωμένην ὁμοῦ προσεμπάσας ἀναλάμβανε, μαλάξας, ὥσῖε ἑνωθῆναι, καὶ ποιήσας ζύμην ἀνελοῦ, καὶ ἀποθέμενος πλάσσε | κοκκάρια ἐρεβίνθου τὸ μέγεθος, καὶ δίδου τοῖς ἀπὸ νόσου μακρᾶς 251 δυσαναλήπῖως ἔχουσιν, εἰ τυπικῶς νοσοῦσιν, ζ', ἢ ια', ἢ ιγ', ἢ ιε' ἑξῆς ἡμερῶν ε', ἢ ζ', ἢ θ'· ἐὰν δὲ θέλῃς φλεγμαγωγὰ ποιῆσαι, ἢ εὐτονώτερα, πρόσβαλλε τῇ ζύμῃ εὐφορβίου ∠α' εἰς τὸ πᾶν. — **Καθαρτικὸν καλούμενον κοπῖάριον.**] Σεμιδάλεως ∠α', κωνείου ∠δ',

rifice de l'estomac, relâchant beaucoup le ventre, et qui ont la propriété de terminer les fièvres d'accès : Aloès, deux onces; suc d'absinthe, trois onces; partie intérieure de la scille, une once; on jette la scille dans du ferment, on la fait bouillir jusqu'à ce qu'elle soit bien cuite, puis on l'ôte, on en enlève les parties filamenteuses, on la pèse, on la jette dans un mortier pour la piler vigoureusement; ensuite on ajoute le suc d'absinthe, on saupoudre dessus l'aloès trituré, qu'on réunit en même temps aux autres ingrédients, en le pétrissant pour qu'il s'y incorpore; après cela on produit une espèce de fermentation et on enlève du vase le médicament, on en fait des pilules de la grandeur d'un pois chiche et on les met de côté; on donnera sept, ou onze, ou treize, ou quinze de ces pilules pendant cinq, sept, ou neuf jours de suite à ceux qui se rétablissent difficilement d'une maladie de longue durée, lorsque leur état présente des accès réguliers; si vous voulez donner à ces pilules la propriété d'évacuer la pituite, ou les rendre plus actives, vous ajouterez une drachme d'euphorbe au ferment pour tout le médicament. — *Médicament purgatif qu'on appelle tablette:* Fleur de farine, une drachme; ciguë, quatre drachmes; poivre,

1-2. περιγράφει δέ *Syn.*; περιγραφίδα AB; περὶ γραφίδα C; περὶ γραφίδος M; περιγραφία V. — 2. τύπους *Syn.*; τύπου ABCM; τύπῳ V. — Ib. σκίλλαν CM. — 3. ἐμβάλλων AB. — 9. δυσαναλήπῖως *Syn.*; δυσανάληπῖον Codd. — Ib. εἰ τυπικῶς omittit *Syn.* ac sqq. refert ad aliud medicamentum. — 11. πρόσβαλε C. — 12. κώνων C 2ª m.; *noclu pineu* ant. vers. *Syn.*

πεπέρεως ∠β', σκαμμωνίας ∠γ'· ἀναλάμβανε μέλιτι Ἀττικῷ· ἡ
252 6 τελεία δόσις ∠β'· χρῶ καὶ ἐπὶ ἰκτερικῶν. — | Πάστιλλος καθαίρων.]
Σκαμμωνίας ∠δ', εὐφορβίου ∠δ', πεπέρεως ∠δ', φύλλου ∠α', μέ-
7 λιτος λίτρα μία· ἡ δόσις Γο α'. — Ἐλαῖαι καθαρτικαί.] Κόμμεως
Γο α', φοινίκων πατητῶν ἄνευ τῶν ὀστῶν λίτρα α', μέλιτος λίτρα α',
πεπέρεως Γο δ', κυμίνου ∠δ', ἀνίσου ∠δ', ὄξους χοι α', ἐλαιῶν κο-
253 λυμβάδων ἐξοστεϊσμένων λίτρα | α'· λείου τοὺς φοίνικας μετὰ τοῦ
μέλιτος καὶ κόμμεως ἐν θυίᾳ μαγειρικῇ, τὸ δὲ κόμμι πρόβρεχε
τῷ ὄξει, καὶ ὅταν καλῶς λειωθῇ, ἐπίβαλλε τὰ ἄλλα κεκομμένα, καὶ
συλλείου, καὶ τὸ ὄξος δὲ ἐπιβάλλων ἕνου ζωμοῦ δίκην, ἀποβρέξας
δὲ καὶ ἀπογλυκάνας τὰς ἐλαίας εἰς ὕδωρ γλυκύ, ἔμβαλλε ἐκπιέζων
σφόδρα, καὶ δίδου [οὕτως] ἔχοντος κοχλιάρια ε' καὶ ἐλαίας γ'· ὁ
δὲ λαβὼν ἵνα ᾖ εὔπεπτος καὶ τῇ προηγουμένῃ μὴ πολλὰ εἰληφώς·

deux drachmes; scammonée, trois drachmes; incorporez ces ingrédients
dans du miel d'Attique; la dose complète en est de deux drachmes; don-
6 nez-le aussi à ceux qui ont la jaunisse. — *Pastille purgative :* Scammonée,
quatre drachmes; euphorbe, quatre drachmes; poivre, quatre drachmes;
feuilles de faux cannellier, une drachme; miel, une livre; la dose est
7 d'une once. — *Olives purgatives :* Gomme, une once; dattes patètes sans
les noyaux, une livre; miel, une livre; poivre, quatre onces; cumin, quatre onces; anis, quatre onces; vinaigre, une chénice; olives marinées, dont on a ôté les noyaux, une livre; triturez les dattes avec le miel et la gomme dans un mortier de cuisine, après avoir toutefois trempé préalablement la gomme dans du vinaigre; puis, quand le tout est bien trituré, on ajoute les autres ingrédients pilés et on les triture de nouveau tous ensemble; ensuite on ajoute le vinaigre et on réunit le tout à la manière d'une sauce; après cela on trempe et on édulcore les olives dans de l'eau douce et on les ajoute aux autres ingrédients, en les exprimant fortement; enfin, le médicament étant ainsi préparé, on donne cinq cuillerées [de la sauce] et trois olives; celui qui prend ce médicament doit avoir une bonne digestion et ne pas avoir mangé beaucoup la veille; moi,

1. πεπέρεος λϐ' ABC 1a m. MV. — 3. πεπ. ∠α' φύλλου ∠α' M; πεπ. ∠δ', φύλλου ∠δ' V; πεπ. ∠β', φύλλου ∠β' *Syn.*, Paul. — 6. πεπ. Γο δ', ἄμεος Γο δ' κυμ. M. — Ib. χοι] ∠ BV. — 7. ἐξοστισμένων Codd. — 8. μαρικῇ ABC 1a m. MV. — 12. [οὕτως] ἔχοντος conj.; ἔχοντα Codd. — 13. μή] καί C.

ἐγὼ δὲ προσέβαλον καὶ σκαμμωνίας ∠δ'. — Κοιλίας λυτικόν.] 8 Πεπέρεως Γο γ', κυμίνου Γο α', ζιγγιβέρεως Γο α', πηγάνου φύλλων Γο δ', ἐπιθύμου ∠γ', πολυποδίου ∠γ', κνήκου Γο α', μέλιτος τὸ ἀρκοῦν. — | Ἄλλο κοπτάριον.] Κνήκου λευκοῦ λίτρα α' πεφρυγμένου 254 9 καὶ λελεπισμένου, μέλιτος κύαθοι γ', ἀνίσου ∠α', ἰσχάδων τῆς σαρκὸς ἀριθμὸν λ'· δώσεις δὲ πρὸ δείπνου διελών, ὡς βασιλικοῦ καρύου μέγεθος β', ἢ γ'. — Ἄλλο.] Σκαμμωνίας Γο α', ἀλόης ∠δ', 10 εὐφορβίου ∠δ'· ἀναλάμβανε ὕδατι· ὀροβιαῖα δίδου ζ', ἢ θ', ἢ ια', ἢ ιγ', ἢ ιε', ἢ ιζ', ἢ ιθ', ἢ κα'. — Καθαρτικὸν ὑποκαθαῖρον κωλικόν.] 11 Εὐφορβίου, ἴρεως, πετροσελίνου, κυπέρεως ἴσα. — | Τὸ συμ- 255 12 βιωτάριον.] Σκαμμωνίας Γο β', πεπέρεως, ζιγγιβέρεως, ἁλῶν, πετροσελίνου ἀνὰ Γο δ'. — Καθαρτικὸν πρὸς τοὺς ἐλεφαντιῶντας.] 13 Λαβὼν κολοκυνθίδα καλὴν ἔμβρεχε εἰς ἔλαιον νύκτα καὶ ἡμέραν, εἶτα ἀποχέας τὸ ἔλαιον ἕψε ἐν κυθριδίῳ καινῷ τὴν κολοκυνθίδα μετὰ

j'y ajoute aussi quatre drachmes de scammonée. — *Médicament pour relâcher le ventre :* 8 Poivre, trois onces; cumin, une once; gingembre, une once; feuilles de rue, quatre onces; agourre, trois onces; fougerole, trois onces; carthame, une once; miel en quantité suffisante. — *Autre tablette :* 9 Carthame blanc torréfié et pelé, une livre; miel, trois cyathes; anis, une drachme; la chair de trente figues sèches; on divisera ce médicament en morceaux de la grandeur d'une noix, dont on donnera deux ou trois avant le dîner. — *Autre tablette :* 10 Scammonée, une once; aloès, quatre onces; euphorbe, quatre onces; incorporez ces médicaments dans de l'eau; donnez-en des morceaux du volume d'un ers au nombre de sept, de neuf, de onze, de treize, de quinze, de dix-sept, de dix-neuf, ou de vingt et un. — *Médicament purgatif contre les affections du colon et qui purge doucement :* 11 Euphorbe, iris, persil, souchet long, quantités égales. — *Symbiotarium :* 12 Scammonée, deux onces; poivre, gingembre, sel, persil, de chacun quatre onces. — *Médicament purgatif contre l'éléphantiasis :* 13 Prenez une belle coloquinte et laissez-la tremper pendant un jour et une nuit dans de l'huile, enlevez ensuite l'huile et faites bouillir la coloquinte

1. προσέβαλλον A. — 2. γ'] α' CMV. — 9. Καθαρτ. ὑποκαθ. om. V. — 10. ἴρεως *Syn.*; ἢ ἴρεως Codd. — Ib. κυπέρου *Syn.* — 11. ζιγγιβέρεως om. CM text. — 12. τούς om. M. — 14. χυθριδίῳ CM. — Ib. κολοκύνθα BM.

Matth. 255-256-223.

ὕδατος, ἕως καταλειφθῇ κρασείδιον, καὶ πρόσβαλε σεμιδάλεως ὅσον
256 | ἐξαρκεῖ ἀναλαβεῖν τὸ ὕδωρ, καὶ, ὅταν ἑψηθῇ, μίγνυε ἐλλεβόρου μέλανος ∠α', σκαμμωνίας ∠α', καὶ ἀνακινήσας καρφίῳ ἀνήθου, ἀνάπλασσε, ὡς ἐστι θερμὸν, καρύου Ποντικοῦ μέγεθος καὶ δίδου
223 14 καταπιεῖν. — | Ἱερὰ Ἰούστου.] Κολοκυνθίδος ἔντερα ∠κβ', στοιχάδος, χαμαίδρυος, πεπέρεως λευκοῦ, πεπέρεως μέλανος, ἀγαρικοῦ, ἐλλεβόρου μέλανος, σκαμμωνίας ἀνὰ ∠ιγ', ἀμμωνιακοῦ, θύμου, κρόκου, εὐφορβίου ἀνὰ ∠η', σμύρνης ∠δ', σκίλλης ὀπτῆς ∠ις'· ἔνιοι
15 κασίας ∠δ' καὶ ναρδοστάχυος ∠η'· μέλιτος τὸ ἀρκοῦν. — Ἐπίθεμα ἐμετικόν.] Ἐλλεβόρου λευκοῦ ∠η', πεπέρεως ∠δ', χολῆς ταυρείας
16 τὸ ἀρκοῦν· ἀναλαβὼν ἐπιτίθει. — Φάρμακον ὃ τῇ ὀσφρήσει καθαίρει διὰ γαστρός.] Χερσαίου ἐχίνου χολῆς, ἤτοι μελανθίου, ἢ νίτρου, ἑκατέρου ∠ρα', θαψίας χυλοῦ ∠δ', Κνιδίου κόκκου ∠γ', ἐλατη-

dans l'eau dans un pot nouveau, jusqu'à ce qu'il en reste une espèce de pâte, ajoutez alors de la fleur de farine en quantité suffisante pour absorber l'eau, et mêlez-y, quand le tout est bien cuit, une drachme d'ellébore noir et une drachme de scammonée; puis remuez le mélange avec un rameau d'aneth et formez-en, pendant qu'il est encore tout chaud, des morceaux de la grandeur d'une noisette que vous donnerez à avaler.
14 — *Purgatif sacré de Justus :* Partie intérieure de la coloquinte, vingt-deux drachmes; lavande à toupet, germandrée luisante, poivre blanc, poivre noir, agaric, ellébore noir, scammonée, de chacun treize drachmes; gomme ammoniaque, *thym,* safran, euphorbe, de chacun huit drachmes; myrrhe, quatre drachmes; scille torréfiée, seize drachmes (quelques-uns y ajoutent aussi quatre drachmes de fausse cannelle et huit d'épi de
15 nard); miel, en quantite suffisante. — *Épithème vomitif :* Ellébore blanc, huit drachmes; poivre, quatre drachmes; fiel de taureau, en quantité suffisante; incorporez-y ces ingrédients et appliquez le médicament. —
16 *Médicament qui purge lorsqu'on le fait respirer :* Fiel de hérisson, nielle ou soude brute, de chacun cent et une drachmes; suc de thapsie, quatre drachmes; baies de Gnide, trois drachmes; suc de concombre sauvage,

1. πρόσβαλλε B. — 3. μέλ. ∠ας' C καρύου *Syn.;* om. Codd. — 13. Κν. 1a m. — Ib. ἀνακαινίσας Codd. — 4. κρόκου BV; om. C.

ρίου ∠α', ἅπερ εἰς κηρωτῆς εἶδος λειοῦται· ἐλαίου δὲ Σικυωνίου, ἢ κυπρίνου μίξας σφαίρας ἀνάπλαττε δραχμιαίας, ὧν μίαν εὔπεπτος ὢν ὁ καθαρθησόμενος ὀσφραινέσθω· ἐπικλύσει δὲ τῇ ἐχομένῃ εὐώδει μύρῳ· μετὰ ταῦτα ἑαυτὸν ἀνακτάσθω.

une drachme; on triture ces ingrédients de manière à former une espèce de cérat; il faut y ajouter de l'huile de Sicyone, ou de l'huile d'alcanna, et faire des boules du poids d'une drachme; on en fera respirer une à celui qu'on veut purger, pourvu qu'il ait bien digéré; le lendemain il fera un lavage avec quelque huile aromatisée odoriférante; il faut ensuite qu'il se restaure.

4. δὲ αὐτόν CM.

ΒΙΒΛΙΟΝ Θ'.

α'. Περὶ ἀέρος. Ἐκ τῶν Γαληνοῦ.

1 Ἄρισ7ος ἀήρ ἐσ7ιν ὁ ἀκριϐῶς καθαρός· εἴη δὲ ἂν οὗτος ὁ μήτε ἐκ λιμνῶν ἢ ἑλῶν ἀναθυμιάσεως ἐπιθολούμενος, μήτε ἔκ τινος βαράθρου δηλητήριον αὖραν ἀποπνέοντος, ὁποία περί τε Σάρδεις ἐσ7ὶ
2 καὶ Ἱεράπολιν. Οὕτω καὶ ὅς τις ἔκ τινος ὀχετοῦ τῶν ἐκκαθαιρόντων μεγάλην τινὰ πόλιν, ἢ πολυάνθρωπον σ7ρατόπεδον, ἐπιθολοῦται, μοχθηρός ἐσ7ιν· μοχθηρὸς δὲ καὶ ὅς τις ἂν ἔκ τινος σηπε-
3 δόνος, ἢ ζώων, ἢ λαχάνων, ἢ ὀσπρίων, ἢ κόπρων μιαίνηται. Καὶ μὴν καὶ ὅς τις ὁμιχλώδης ἐσ7ὶ διὰ ποταμὸν, ἢ λίμνην γειτνιῶσαν οὐκ ἀγαθὸς, ὥσπερ γε καὶ ὅς τις ἂν ἐν κοίλῳ χωρίῳ πανταχόθεν

LIVRE IX.

1. DE L'AIR. — TIRÉ DE GALIEN.

1 Le meilleur air est celui qui est parfaitement pur; il sera tel, s'il n'est pas rendu trouble par les évaporations d'étangs, ou de marais, ou de quelque gouffre qui exhale un gaz pernicieux, comme il y en a aux en-
2 virons de Sardes et d'Hiérapolis. L'air troublé par l'existence de quelque canal, de ceux, par exemple, qui servent à recevoir les immondices d'une grande ville, ou d'une armée nombreuse, est également mauvais; il en est de même de celui qui est souillé par des matières en putréfaction :
3 animaux, légumes, graines, ou ordures. L'air chargé de brouillard par suite du voisinage d'une rivière, ou d'un étang, et celui qui, enfermé dans un bas-fond environné de tous côtés de montagnes élevées, n'est jamais

Ch. 1; l. 1. ὁ τοιοῦτος Gal. — 2. μήτε ἐξ ἑλῶν Gal. — Ib. τινος om. Gal. — 3. μὴ δειλητήριον A; μὴ δειλητηρίων A 2ª m. C; μὴ δηλητήριον BV. — Ib. ἀναπνέοντος BCV; ἀναπνέοντες A. — 4. Ἱερὰν πόλιν Gal. — Ib. Οὗτος A 1ª m. C 1ª m. — 4-5. καθαιρόντων Gal. — 6. μοχθηρὸς ἱκανῶς ἐσ7ιν Gal. — Ib. τις om. Gal. — 7. ἢ ὀσπρίων om. A 1ª m. BCV Ras. — Ib. κόπρου Gal. — Ib. φαίνηται ABCV. — 9. κύκλῳ χωρίον ABCV.

ὄρεσιν ὑψηλοῖς περιεχόμενος μηδεμίαν αὔραν δέχηται· πνιγώδης τε γὰρ ὅδε καὶ σηπεδονώδης ἐστὶν ἀνάλογον τοῖς ἀποκεκλεισμένοις ἐν οἴκοις τισὶν, ἐν οἷς εὐρὼς ὑπὸ σηπεδόνος τε καὶ ἀπνοίας ἀθροίζεται. Οἱ μὲν δὴ τοιοῦτοι ἁπάσαις ταῖς ἡλικίαις λυμαίνονται, ὥσπερ 4 γε καὶ ὁ καθαρὸς ἀκριβῶς ἁπάσαις ταῖς ἡλικίαις ἀγαθός· ἡ δὲ κατὰ θερμότητα καὶ ψυχρότητα καὶ προσέτι ξηρότητα καὶ ὑγρότητα διαφορὰ τῶν ἀέρων οὐχ ὁμοίως ἔχει πρὸς ἅπαντας, ἀλλὰ τοῖς μὲν εὐκράτοις σώμασιν ὁ εὔκρατος ἀὴρ ἄριστος· ὅσα δὲ ἂν ὑπό τινος ἐξεχούσης ποιότητος δυναστεύηται, τούτοις ἄριστος ὁ ἐναντιώτατος τῇ κρατούσῃ, ψυχρὸς μὲν τῇ θερμῇ, θερμὸς δὲ τῇ ψυχρᾷ, καὶ δὴ καὶ τῇ μὲν ὑγροτέρᾳ ξηρὸς, τῇ δὲ αὐχμηροτέρᾳ τοῦ προσήκοντος εἰς τοσοῦτον ὑγρότερος, εἰς ὅσον κἀκείνη τοῦ συμμέτρου ξηροτέρα.

agité par les vents, sont certainement malsains; car, dans le dernier cas, l'air est étouffant et putride à la façon de celui qui est emprisonné dans certains appartements, où il se forme de la moisissure par suite de putréfaction et d'absence de ventilation. L'air dans ces conditions est per- 4
nicieux à tout âge, de même que l'air parfaitement pur est profitable à tout âge; mais l'air dont les propriétés tiennent au chaud et au froid, ensuite au sec et à l'humide, ne se comporte pas de la même manière chez tous les individus; au contraire, l'air bien tempéré est ce qu'il y a de meilleur pour les corps bien tempérés, tandis que, pour les corps qui sont sous l'empire de quelque qualité prédominante, le meilleur air est celui qui est le plus directement opposé à cette qualité, par exemple l'air froid, si la qualité est chaude; l'air chaud, si la qualité est froide; l'air sec, si la qualité est humide; si elle est plus sèche qu'il ne faut, l'air devra être d'autant plus humide qu'elle s'écarte davantage, sous le rapport de la sécheresse, du tempérament moyen.

1. ὑψηλοῖς ὄρεσι Gal. — Ib. πνοήν Gal. — 2. τε om. Gal. — 3. ἐν ante οἴκοις om. B. — Ib. εὖρος ABCV. — 4. πάσαις ABCV. — 5. ἀκριβῶς om. V. — 6. καὶ ψυχρότητα om. BV. — 8. σώμασιν om. B. — Ib. ἀήρ om. Gal. — Ib. ἂν om. ABCV. — 9. δυναστεύεται ABCV.

β'. Περὶ ὡρῶν.

1 Ὑγρὸν εἶναι καὶ ψυχρὸν τὸν χειμῶνα λέγομεν, οὐχ ὅτι τῶν ἄλ-
λων ὡρῶν ἐστιν ὑγρότατός τε καὶ ψυχρότατος, ἀλλὰ τοῦτο μὲν
ἄλλως αὐτῷ συμβέβηκεν, ὅτι δὲ πλεονεκτεῖ κατὰ αὐτὸν ἡ μὲν ὑγρότης
τῆς ξηρότητος, ἡ δὲ ψυχρότης τῆς θερμότητος, διὰ τοῦτο ὑγρὸς
2 καὶ ψυχρὸς εἶναι λέγεται. Κατὰ ταὐτὰ δὲ καὶ τὸ θέρος, ὅτι κἂν
τούτῳ τὸ μὲν ὑγρὸν ἀπολείπεται τοῦ ξηροῦ, τὸ δὲ ψυχρὸν τοῦ
θερμοῦ, διὰ τοῦτο θερμὸν εἶναι λέγεται καὶ ξηρόν· καὶ γὰρ καὶ
δίκαιον, ἐκ τῆς ἰδίας φύσεως ἑκάστην τῶν ὡρῶν ἐξεταζομένην, ἢ
3 θερμὴν, ἢ ψυχρὰν, ἢ ὑγρὰν, ἢ ξηρὰν ὀνομάζεσθαι. Καὶ δὴ καὶ σκο-
πουμένῳ σοι κατὰ τάδε φανεῖται τὸ ἔαρ ἀκριβῶς μέσον ἁπασῶν
τῶν ὑπερβολῶν· οὔτε γὰρ, ὡς ἐν χειμῶνι, πλεονεκτεῖ τὸ ψυχρὸν
ἐν αὐτῷ τοῦ θερμοῦ, οὔτε, ὡς ἐν θέρει, πλεονεκτεῖται· κατὰ

2. DES SAISONS.

1 Nous disons que l'hiver est humide et froid, non pas parce qu'il est la
plus humide et la plus froide de toutes les autres saisons, mais il pos-
sède ces qualités d'une autre façon, et on dit que cette saison est hu-
mide et froide, parce que, sous son empire, l'humidité l'emporte sur la
2 sécheresse, et le froid sur la chaleur. De la même manière on dit aussi
que l'été est chaud et sec, parce que, dans cette saison, l'humidité est
dominée par la sécheresse et le froid par la chaleur; en effet, il est rai-
sonnable d'appeler chaque saison ou chaude, ou froide, ou humide, ou
3 sèche, en la classant d'après sa nature propre. Si vous faites vos re-
cherches d'après cette règle, vous verrez que le printemps tient exacte-
ment le milieu entre tous les extrêmes, car, dans cette saison, le froid
ne domine pas le chaud, comme en hiver; il n'est pas dominé non plus
par lui, comme en été; de même il y a, à cette époque, une certaine dis-

Ch. 2; l. 3. καὶ ἄλλως Gal.— 4. ταῦτα BCV; ταὐτό Gal. — 5. κἂν] καὶ ABCV. — 7-8. γὰρ δίκαιον Gal. — 8. οἰκείας Gal. — 9. καὶ post δή om. ABCV. — 9-10. σκοπούμενον (om. σοι) A 1ª m. BCV. — 10. καταφανεῖται (om. κατὰ τάδε) ACV; φαίνεται B text.; φανεῖται B corr. — Ib. ἔαρ] ἐν A 1ª m. BCV. — Ib. ἄκρως A 2ª m.; ἄκρος ABV; ἄκρῳ C. — Ib. μέσῳ C; μέσων Gal. — 11. οὔτω ABCV. — 12. οὔτως ἐν ABCV.

ταὐτὰ δὲ καὶ ξηρότητός τε καὶ ὑγρότητος ἰσομοιρία τίς ἐστιν ἐν
αὐτῷ, μήτε, ὡς ἐν θέρει, κρατοῦντος τοῦ ξηροῦ, μήτε, ὡς ἐν χει-
μῶνι, τοῦ ὑγροῦ. Καὶ τὸ φθινόπωρον δὲ ὡσαύτως ἄκρως μὲν οὐδέ- 4
τερόν ἐστιν, ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ ξηρὸν τοῦ ὑγροῦ, καὶ δικαίως
ἂν λεχθείη ταύτῃ μὲν ξηρὸν, ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυ-
χρότητα διαφορᾷ μικτὸν ἐξ ἀμφοῖν. Ἕτερον δέ τι πρόσεστιν αὐτῷ 5
κακὸν, ἡ ἀνωμαλία τῆς κράσεως, καὶ τοῦτό ἐστι τὸ μάλιστα νο-
σῶδες ἐργαζόμενον τὸ φθινόπωρον· πολὺ γὰρ θερμότερόν ἐστι κατὰ
τὴν μεσημβρίαν ἢ κατὰ τὴν ἕω τε καὶ τὴν ἑσπέραν, ὥστε οἱ τὰς
τέσσαρας συζυγίας τῶν κράσεων εἰς τὰς τέσσαρας ὥρας νεῖμαι
σπουδάζοντες ἴστωσαν οὐ μόνον ἦρι κακῶς προσάπτοντες ὑγρότητα
καὶ θερμότητα κράσεως, ἀλλὰ καὶ φθινοπώρῳ ψυχρότητα καὶ ξη-
ρότητα. Ἐγὼ δὲ τοσούτου δέω, θερμὸν καὶ ὑγρὸν ἀποφαίνειν τὸ 6
ἔαρ, ἢ ὅ τί περ ἂν εὔκρατον ᾖ, θερμὸν καὶ ὑγρὸν εἶναι συγχωρεῖν

tribution égale entre la sécheresse et l'humidité, de sorte que ni la sé-
cheresse ne l'emporte, comme en été, ni l'humidité, comme en hiver.
De même, dans l'automne, aucune de ces qualités ne règne au suprême 4
degré; cependant, dans cette saison, le sec prédomine sur l'humide, et,
sous ce rapport, on aura raison d'appeler cette saison sèche, tandis que, par
rapport à la catégorie du chaud et du froid, elle a des propriétés mixtes.
Mais l'automne a encore un autre inconvénient, qui consiste dans l'iné- 5
galité de sa température, et c'est là ce qui le rend surtout morbifique; en
effet il y fait beaucoup plus chaud vers midi que le matin ou le soir; que
ceux qui s'évertuent à classer les quatres saisons d'après les quatre com-
binaisons qui forment les tempéraments, sachent donc qu'ils ont eu
tort non-seulement d'attribuer au printemps un tempérament humide et
chaud, mais aussi d'attribuer à l'automne le froid et la sécheresse. Quant 6
à moi, loin de professer que le printemps est chaud et humide, ou de
donner raison à ceux qui prétendraient que toute chose bien tempérée

1. ταῦτα ABCV. — 2. αὐτοῖς Codd. — 3-4. οὐδὲ ἕτερον BV; οὐδὲν ἕτερον AC. — 4-5. τοῦ ὑγροῦ..... ξηρόν om. ABCV. — 7. ἡ om. V. — 9. οἱ] εἴπερ Gal. — 10. τάς om. ABCV. — 10-11. διανεῖμαι σπεύδουσιν Gal. — 11. μή V. — Ib. προσάψαντες Gal. — 12. ψυχρ. τε καί ABCV. — 13. τούτου δέω C; τοσούτου δέ V; τοσοῦτον ἀποδέω τοῦ Gal. — 14. ᾖ] ἢ V.

τοῖς καὶ τοῦτο ἀποφαινομένοις, ὥστε πᾶν τοὐναντίον ἀποφαίνεσθαι, χειρίστην εἶναι κατάστασιν κράσεως τοῦ περιέχοντος ἡμᾶς ἀέρος τὴν θερμὴν καὶ ὑγρὰν, ἣν ἐν μὲν ταῖς ὥραις οὐκ ἂν εὕροις ὅλως, ἐν δὲ ταῖς νοσώδεσιν, εἴτε καὶ λοιμώδεσι, καταστάσεσιν ἐνίοτε
7 συμπίπτει, κατὰ ἣν κρᾶσιν καὶ σήπεσθαι πάντα πέφυκεν. Ὁπόταν δὲ αἱ ὧραι τὴν προσήκουσαν ἁπάσαις φυλάττωσι κρᾶσιν, ὑγιεινότατον μὲν ἐν αὐταῖς ἔσται τὸ ἔαρ, ὀξυτάτας δὲ νόσους καὶ θανατωδεστάτας, ὡς ἐν ὥραις, οἴσει τὸ φθινόπωρον, ἐπειδὴ τὸ μὲν ἔαρ εὐκρατότατόν ἐστι, τῷ δὲ φθινοπώρῳ πρῶτον μὲν ὑπάρχει τὸ τῆς αὐτῆς ἡμέρας ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος ἴσχειν, εἶτα διαδέχεσθαι τὴν θερινὴν ὥραν, ἐν ᾗ πολλοῖς μὲν οἱ χυμοὶ κατωπτήθη-
8 σαν, ἐνίοις δὲ καὶ ἡ δύναμις ἔκαμεν. Οὐ μόνον δὲ κατὰ τοῦτο μοχθηρόν ἐστι τὸ φθινόπωρον, ἀλλὰ καὶ ὅτι πρότερον μὲν οἱ χυμοὶ τὴν

est chaude et humide, j'affirme tout au contraire, que la plus mauvaise constitution de l'air qui nous environne est le tempérament chaud et humide, tempérament que, d'ailleurs, on chercherait en vain dans le cours régulier des saisons, mais qui se rencontre quelquefois dans les constitutions morbides ou pestilentielles, et pendant le règne duquel toute
7 chose tend naturellement à pourrir. Si les saisons conservent toutes le tempérament qui leur convient, la plus salubre sera le printemps, l'automne, au contraire, produira, autant, du moins que cela dépend des saisons, les maladies les plus aiguës et les plus mortelles; en effet le printemps est le mieux tempéré, tandis que l'automne, outre sa propriété d'amener, dans le cours de la même journée, tantôt de la chaleur et tantôt du froid, vient après l'été, saison pendant laquelle les humeurs ont été brûlées chez beaucoup de gens, et les forces accablées chez quelques-
8 uns. Ce n'est pas seulement sous ce rapport que l'automne est pernicieux, mais aussi parce que les humeurs, dans la saison précédente, se portaient

1. τοῖς... ἀποφαινομ. om. Gal. — Ib. ἀποφαίνομαι Gal. — 2. ἡμᾶς om. Gal. — 3. ἣν ἐν] εἶναι A 1ª m. BCV. — 4. εἴτε] τε Gal. — 5. συμπίπτειν ABCV. — 6. αἱ om. C. — 7-8. θανατώδεις Gal. — 8-9. εὔκρατον Gal. — 9. τῷ ex em.; τό ABCV Gal. — Ib. φθινόπωρον ABCV. — Ib. πρῶτον] τῶν ABCV. — Ib. ὑπαρχόντων τῆς ABCV. — 10. ἴσχειν, εἶτα ex em.; ἴσχει, εἶτα Gal.; ἴσχοντα AB corr. CV; ἴσχονται B text. — 10-11. διαδέχεται Gal. — 11. ᾗ] οἷς B. — 13. πρῶτον Gal. — Ib. μέν om. B.

ἐπὶ τὸ δέρμα κίνησιν ἐκινοῦντο, κατὰ δὲ τὸ φθινόπωρον εἰς τὸ
βάθος ὑπὸ τῆς τοῦ περιέχοντος ψύξεως ὠθοῦνται. Ταῦτα μὲν οὖν 9
ἅπασιν ἀνθρώποις κοινά· τοῖς δὲ οὐκ ὀρθῶς διαιτωμένοις ἐξ ἐπι-
μέτρου προσέρχεται τὸ κατὰ τὰς ὀπώρας, ὧν ἀφθόνως ἐμπιπλά-
μενοι κακοχυμίας πληροῦνται. Ὅσα τοίνυν τῆς ἐαρινῆς ὥρας ἐστὶν 10
ἴδια νοσήματα πάντως τινὰ κινεῖ κίνδυνον· ἐκκαθαίρεται γὰρ ἐν
ταύτῃ τῇ ὥρᾳ τὸ βάθος τοῦ σώματος, ἀπὸ τῶν κυρίων μερῶν ἐπὶ
τὸ δέρμα τῶν μοχθηρῶν χυμῶν ἀφικνουμένων· οὕτω γοῦν λέπραι
καὶ ἀλφοὶ καὶ λειχῆνες ἑλκώδεις τέ τινες ἐξανθήσεις πολλαὶ γί-
νονται. Κατὰ ἕτερον δὲ τρόπον διὰ φυμάτων τε καὶ ἀρθριτίδων 11
καθαίρεται τὸ βάθος τοῦ σώματος, εἰς τὰ ἄκρα μόρια τῆς μετα-
στάσεως γινομένης τῶν μοχθηρῶν χυμῶν. Γίνονται δὲ καὶ αἵματος 12
ῥύσεις, κενοῦσαι τὸ πλῆθος ἅμα καὶ τὴν κακοχυμίαν καὶ κωλύουσαι
τὰς ἐπὶ αὐτοῖς νόσους. Εἰ δέ τι σῶμα εὔχυμον παραλάβοι ἡ ὥρα 13

vers la peau, tandis que, pendant cette saison, le refroidissement de l'air
ambiant les pousse vers la profondeur du corps. Ce que nous venons de 9
dire est commun à tous les hommes, mais, pour ceux qui suivent un mau-
vais régime, il s'y surajoute encore l'inconvénient tenant aux fruits, dont
ils se gorgent outre mesure et qui les chargent d'humeurs mauvaises. Les 10
maladies propres au printemps amènent donc toujours un certain danger;
en effet, dans cette saison, les humeurs mauvaises se portant des parties
principales vers la peau, la profondeur du corps est purifiée; il se forme
donc ainsi des *lèpres*, des *alphos*, des *lichens* et un grand nombre d'ef-
florescences ulcéreuses. La profondeur du corps se purifie encore d'une 11
autre manière par l'effet des tumeurs purulentes et des accès de goutte,
quand le transport des humeurs mauvaises se fait vers les extrémités. Il 12
survient aussi des écoulements de sang, qui évacuent à la fois la sura-
bondance et la mauvaise qualité des humeurs et préviennent les mala-
dies qui tiennent à ces causes. Si le printemps rencontre un corps doué 13

4. ὅν A 1ª m. B; ὄν CV. — 5. θε-ρινῆς C 2ª m. Ras. — 6. πάντως..... κίνδ.] πάντ' ἐστὶν ἀκίνδυνα Gal. — 7. αὐτῇ Gal. — 8-9. αἵ τε λέπρ. καὶ οἱ ἀλφοί Gal. — 9. καὶ λειχ. om. Gal. — 10. ἐν τοῖς φύμασι καὶ ταῖς ἀρθρίτισι Gal. — 11. ἄκρα] κύρια ABCV. — 13. ἅμα om. Gal. — Ib. καὶ κωλύουσαι ex em.; κωλύουσι A 2ª m. Gal.; λύουσαι ABCV 2ª m; χύουσαι V. — 14. ἐπὶ] ἐν Gal.— Ib. νόσοις ABC 1ª m.— Ib. τις AB; τινος C. — Ib. παρέλαβεν ἡ τοῦ ἦρος ὥρα Gal.

Matth. 224.

τοῦ ἦρος, Φυλάτlει τοῦτο ὑγιεινότατον, οὐδὲν ἐκ τῆς ἰδίας Φύσεως νεωτερίζουσα· οὐ μὴν τό γε Θέρος, ἢ τὸ Φθινόπωρον, ἢ ὁ χειμών· ταῦτα γὰρ εἰ καθαρὸν σῶμα καὶ πάντως ἄμεμπlον παραλάβοι, τὸ μὲν τὴν ὠχρὰν χολὴν εἴωθε πλείονα τοῦ δέοντος γεννᾷν, τὸ δὲ τὴν
14 μέλαιναν, ὁ χειμὼν δὲ τὸ Φλέγμα. Πρὸς μὲν οὖν τὸ Θέρος αἱ ψυχραὶ καὶ ὑγραὶ κράσεις ἄρισlα διάκεινται, πρὸς χειμῶνα δὲ αἱ Θερμαὶ καὶ ξηραὶ, καθάπερ γε καὶ κακῶς αἱ μὲν Θερμαὶ καὶ ξηραὶ πρὸς Θέρος, αἱ δὲ ὑγραὶ καὶ ψυχραὶ πρὸς χειμῶνα.

224 | γ'. Περὶ τῆς κατὰ μῆνα τῶν ἀέρων διαφορᾶς. Ἐκ τῶν Ἀντύλλου· ἐκ τοῦ α' λόγου τῶν ἔξωθεν προσπιπlόντων.

1 Ἐργάζεται δὲ διαφορὰς ἐν τῷ ἀέρι παραπλησίως τῷ ἡλίῳ καὶ ἡ σελήνη, περιιοῦσα τὸν τῶν ζῳδίων κύκλον· ἐργάζεται δὲ καὶ αὕτη τέσσαρας ὥρας μηνιαίας ἀναλογούσας ταῖς ἐτησίοις, ἑβδομα-

d'humeurs de bonne qualité, il le conserve dans un état de santé complète, parce qu'il n'y introduit par sa propre nature aucun élément nouveau; mais il n'en est pas de même pour l'été, l'automne, ou l'hiver : en effet, quand ces saisons rencontrent un corps pur et irréprochable sous tous les rapports, le premier engendre habituellement plus de bile pâle qu'il n'en faut, le second produit le même effet pour la bile noire, et l'hiver
14 pour la pituite. Les tempéraments froids et humides sont donc dans les rapports les plus favorables avec l'été, et les tempéraments chauds et secs avec l'hiver; de même les tempéraments chauds et secs se concilient mal avec l'été, et les tempéraments humides et froids avec l'hiver.

3. SUR LA DIFFÉRENCE MENSUELLE DE L'AIR. — TIRÉ D'ANTYLLUS, DU PREMIER LIVRE QUI TRAITE *DES AGENTS EXTÉRIEURS*.

1 En parcourant le cercle zodiacal, la lune produit des changements dans l'air de la même manière que le soleil, et elle amène aussi quatre saisons mensuelles, qui répondent aux saisons annuelles, mais qui accom-

2. τὸ Θέρος C; τὸ μέγεθος A 1ª m. BV. — Ib. τό om. ABCV. — Ib. ὁ om. BV. — 3. τὸ σῶμα Gal. — Ib. παντοίως Gal. — 5. οὖν] δή Gal. — 6. Φύσεις Gal. — Ch. 3; l. 9. ἡλίῳ] ἀέρι St. — 11. αὐτή ABCMV. — Ib. μηνιαίους AC St.; μηνιαίου V; μηνιαῖον B. — Ib. ἐτησίαις ABCMV.

δικῷ δὲ ἀριθμῷ περικυκλουμένας. Ἡ μὲν οὖν πρώτη τοῦ μηνὸς ἑβδο- 2
μὰς ἀρχὴν μὲν ἀπὸ νουμηνίας ἔχει, πρόεισι δὲ μέχρι διχοτόμου·
ἔστι δὲ ἔαρι ἐοικυῖα· ὑγρὰ γὰρ καὶ θερμή. Ἐντεῦθεν καὶ τὸ πε- 3
ριέχον ἐν τῷ καιρῷ τῷδε ὑγρότατον, καὶ οἱ ὄμβροι τηνικαῦτα, ὡς
ἐπίπαν, καταῤῥήγνυνται, καὶ οὗτοί γε ὑγροὶ καὶ γονιμώτατοι πα-
ραπλησίως τοῖς ἐαρινοῖς. Ἡ δὲ δευτέρα ἑβδομὰς ἄρχεται μὲν ἀπὸ 4
διχοτόμου, πρόεισι δὲ μέχρι πανσελήνου· θέρει δὲ παραπλήσιος
διὰ τοῦτο, ὅτι καρποὺς πέσσει μάλιστα. Ἡ γε μὴν μετὰ πανσέ- 5
ληνον ἑβδομὰς μέχρι διχοτόμου φθινούσης τῆς σελήνης ξηρὰ καὶ
μετοπώρῳ παραπλήσιος. Ἡ δὲ τελευταία χειμῶνι ἔοικεν. Ὅσα οὖν 6-7
αἱ τοῦ ἐνιαυτοῦ ὧραι ἐπιφέρουσι, τοσαῦτα καὶ παρὰ τῶν μηνιαίων
ἡγητέον ἀπαντᾷν· ἐκεῖνο δὲ προσδιαληπτέον, ὅτι ὁ μὲν ἥλιος κατὰ
τὴν ἑαυτοῦ δύναμιν θερμαίνει τὰ σώματα, ἡ σελήνη δὲ μᾶλλον
ὑγραίνει. Παρὰ ταύτην οὖν τὴν αἰτίαν τούς τε ἐγκεφάλους | διερω- 8
225

plissent leur révolution d'après un nombre septénaire. Le premier sep- 2
ténaire du mois commence donc à la nouvelle lune et va jusqu'au pre-
mier quartier; il ressemble au printemps, car il est humide et chaud.
Pour cette raison l'atmosphère est aussi très-humide à cette époque; 3
habituellement il tombe alors des averses, et ces averses sont *humides* et
très-fertiles comme celles du printemps. Le second septénaire commence 4
au premier quartier et va jusqu'à la pleine lune; il ressemble à l'été,
parce que c'est surtout lui qui fait mûrir les fruits. Le septénaire qui 5
vient après la pleine lune et va jusqu'au dernier quartier, est sec et res-
semble à l'automne. Le dernier septénaire ressemble à l'hiver. Il faut 6-7
donc admettre que les saisons mensuelles donnent lieu à des effets iden-
tiques avec ceux qu'amènent les saisons annuelles; mais, en outre, on
doit considérer que le soleil, par sa vertu propre, réchauffe les corps,
tandis que la lune les humecte plutôt. Pour cette raison donc elle rend 8

2. νεομηνίας A 2ª m. BV St. — 3. ἐοικυῖα ἔαρι St.; ἐοικυῖα A 1ª m. BC 1ª m. MV. — Ib. θερμή. Ἐντεῦθεν St.; θερμὴ ἡ σελήνη ἡ ἐντεῦθεν Codd. — 4. τούτῳ St. — Ib. ὑγρότερον St.; θερμότατον M marg. V. — Ib. οἱ ὄμβροι St.; om. ABMV; ἴσως οἱ ἄνθρωποι A 2ª m. CM marg. — 7. διχοτόμου St.; διχοτομίας Codd. — Ib. ἄχρι St. — 8. τε St. — 9. ἕως St. — Ib. ψυχρὰ καὶ ξηρά Aët. — 10. φθινοπώρῳ St. — Ib. δέ] μέντοι St. — 13. αὐτοῦ St. — Ib. ἡ δὲ σελ. St. — 14-p. 289, 1. διερωτέρους St.; ἀεὶ ὑγροτέρους Codd.

Matth. 225.

τέρους ἀποτελεῖ, καὶ τὰ κρέα σήπει, καὶ τὰ σώματα τῶν αἰθριοκοιτούντων ὑγρότερα καὶ ἀμβλύτερα ἀπεργάζεται, καὶ καρηβαρίας καὶ ἐπιληψίας ἀνακινεῖ κατὰ τὴν ὁμοίαν αἰτίαν.

δʹ. Περὶ τῆς κατὰ ἡμέραν διαφορᾶς τῶν ἀέρων. Τοῦ αὐτοῦ· ἐκ τοῦ αὐτοῦ λόγου.

1 Τὴν ἡμέραν λαμβάνομεν μετὰ τῆς νυκτός· ἀναλογίαν δὲ καὶ
2 ταύτην φαμὲν ἔχειν πρὸς τὸν ἐνιαυτόν. Ἔστι δὲ ὁ μὲν ὄρθρος ὑγρὸς
καὶ θερμὸς, ἔαρι παραπλήσιος· διὰ τοῦτο οἵ τε ὕπνοι εὐκρινεῖς,
καὶ τὰ σώματα ἀνεῖται, καὶ τὰ τῶν ὑγιαινόντων καὶ τὰ τῶν νο-
σούντων; ὥστε καὶ τοῖς πυρέσσουσιν εὐφορώτατον εἶναι τόνδε τὸν
καιρόν· καὶ γὰρ ἀναθυμιάσεις ἀνίασι περὶ τὸν ὄρθρον καὶ αὖραι
3 ποταμῶν ἀποπνέουσιν ὑγραὶ καὶ δρόσος ἐπιπίπτει. Τὰ δὲ μέσα
τῆς ἡμέρας θέρει παρείκασται, τὰ δὲ κατὰ τὴν δείλην φθινοπώρῳ.

le cerveau plus humide, fait pourrir la viande, et rend plus humide et plus torpide le corps de ceux qui couchent en plein air; c'est pour la même cause qu'elle occasionne aussi de la pesanteur de tête et des accès d'épilepsie.

4. DE LA DIFFÉRENCE JOURNALIÈRE DE L'AIR. — DU MÊME AUTEUR, TIRÉ DU MÊME LIVRE.

1 Nous comprenons par le mot *journalier* l'ensemble d'un jour et d'une
nuit, et nous disons que cet espace de temps a aussi de l'analogie avec
2 l'année. Le matin est humide et chaud comme le printemps; pour cette rai-
son le sommeil du matin favorise les crises; le corps est relâché aussi bien
chez les gens en santé que chez les malades; c'est pour cela que les fé-
bricitants se sentent le plus à leur aise vers cette époque de la journée;
dans la matinée, en effet, il s'élève des vapeurs, les rivières exhalent des
3 souffles humides et la rosée tombe. On assimile le milieu du jour à l'été,

1. τῶν om. V. — 1-2. αἰθριοκοιτούντων St.; ἐν αἰθρίᾳ διαγόντων Codd. — Ch. 4; l. 4. Τήν om. St. — Ib. σὺν τῇ νυκτί St. — 4-5. δ' αὐτήν St. — 5. ἔφαμεν ἔχειν τινὰ πρός St. — 6. ἐοικώς St. — 7. ἀνεῖται τά St. — Ib. ὑγ. κατὰ τῶν ABC 1ª m. M text. V. — 9. καὶ γάρ om. St. — Ib. ἀνίασι ex em.; ἀνιᾶσι Codd.; δὲ ἄνεισι St. — 11. καὶ τὰ περί St.

Matth. 225-226

Τῆς δὲ νυκτὸς τὰ μὲν πρῶτα καὶ περὶ τὴν ἑσπέραν ὅμοια τῇ | δείλῃ· 4
ἐντεῦθεν οὔτε ὑπνοῦν ἐπιτρέπομεν τοῖς κάμνουσιν, οὔτε ποτὸν προσ-
Φέρομεν, οὔτε ἄλλο προσάγομεν βοήθημα, εἰ μή τι ἕτερον προκα-
λοῖτο, ὑφορώμενοι τὸν καιρὸν τοῦτον, ὥσπερ καὶ τὸν δειλινόν. Τὰ 5
δὲ μέσα τῆς νυκτὸς χειμῶνι ἐξείκασται· πλεῖστον γὰρ τότε ὁ ἥλιος,
καθάπερ καὶ ἐν χειμῶνι, ἀφέστηκεν ἡμῶν· αἵ τε οὖν ὀδύναι τοῖς
νοσοῦσιν ἰσχυρότεραι τῆς νυκτὸς εἰκότως, διὰ τὴν ψύξιν πυκνου-
μένης τῆς ἐπιφανείας καὶ ἀπολαμβανομένης τῆς κατὰ τὸ ἄδηλον
διαπνοῆς. Καὶ τὰ ῥεύματα δὲ καὶ τὰ τῶν ὀφθαλμιώντων καὶ τὰ τῶν 6
δυσεντερικῶν καὶ κοιλιακῶν καὶ τὰ αἱματικὰ ἀπὸ τῆς αὐτῆς προ-
φάσεως ἐπιγίνεται, παντὸς τοῦ εἰωθότος ἀπιέναι κατὰ τὸ ἀφανὲς
εἰς ἕνα τόπον συνδιδομένου τὸν ῥευματιζόμενον. Τὰ δὲ τελευταῖα 7
τῆς νυκτὸς διὰ τὴν πρὸς τὸν ὄρθρον γειτνίασιν τῆς αὐτῆς κράσεως
ἐκείνῳ μεταλαμβάνει.

et l'après-midi à l'automne. Le commencement de la nuit, vers le soir, 4
ressemble à l'après-midi; pour cette raison nous ne permettons pas alors
aux malades de dormir, nous ne leur donnons pas à boire et nous ne
leur administrons aucun autre agent thérapeutique, à moins que quelque
autre circonstance ne nous y engage, parce que nous tenons ce temps
en suspicion, ainsi que l'après-midi. Le milieu de la nuit ressemble à 5
l'hiver, car alors le soleil est le plus éloigné de chez nous, comme cela
a lieu en hiver; pendant la nuit les douleurs sont donc naturellement
plus fortes chez les malades, attendu que le refroidissement condense la
surface du corps et intercepte la transpiration insensible. C'est pour le 6
même motif que les flux surviennent surtout alors, aussi bien pour les
gens qui souffrent d'ophthalmie, ou qui ont la dyssenterie, ou le flux
céliaque que pour les flux sanguins, parce que tous les matériaux qui
s'échappent habituellement par la transpiration insensible se concentrent
alors dans un seul endroit, celui qui est le siége de la fluxion. A cause 7
de la proximité du matin, la dernière partie de la nuit participe au même
tempérament que cette partie du jour.

1. καὶ τὰ περὶ St. — 2. ὕπνου V; ὕπνον ABC 1ª m. M text. — Ib. κάμνουσι περὶ τήνδε τὴν ὥραν St. — 6. ἡμῖν ABC 1ª m. M text. V. — 8. ἐπιλαμϐ. ABC 1ª m. M text. V.— 9-10. καὶ τῶν δυσεντ. ABC 1ª m. MV.— 10. καὶ τῶν κοιλ. M. — 11. ἀπεῖναι M marg. St.; om. ABC 1ª m. MV. — 12. συνδιδομένων τῶν ῥευματιζομένων ABC 1ª m. M text. V.

ε'. Περὶ ἀέρος. Ἐκ τῶν Ἀθηναίου· ἐκ τοῦ κθ' λόγου.

1 Διαφέρει δὲ καὶ ὁ ἡλιούμενος ἀὴρ τοῦ ἀνηλίου καὶ σκιεροῦ, καὶ
ὁ μετὰ ἡμέραν τοῦ νύκτωρ· ὁ μὲν γὰρ ἡλιούμενος θερμότερός τέ
227 2 ἐστι καὶ λεπτότερος· ὁ δὲ σκιερὸς παχύτερος. | Ὁμοίως δὲ καὶ ὁ
φωτεινὸς ἧττον ψυχρὸς καὶ λεπτός ἐστιν, ὁ δὲ ἀφώτιστος καὶ ζο-
3 φερὸς καὶ ψυχρότερός ἐστι καὶ παχύτερος. Ὁ μὲν οὖν θερμότερος
καὶ λεπτότερος εὐδιάπνευστα τὰ σώματα παρασκευάζει, ὁ δὲ ψυ-
χρὸς καὶ παχὺς τοὐναντίον· διόπερ αἱ νύκτες τοῖς ῥευματιζομέ-
4 νοις καὶ φλεγμαίνουσι καὶ πυρέσσουσι δυσφορέστεραι. Διαφέρει
δὲ καὶ ὁ κατὰ πόλιν ἀὴρ τοῦ κατὰ χώραν· πρῶτον μὲν γὰρ συνέ-
χεται τοῖς οἰκοδομήμασιν ὁ κατὰ πόλιν· διόπερ ὁμοίως τοῖς κοίλοις
τόποις θερμότερός ἐστι καὶ παχύτερος· ὅ τε γὰρ ἥλιος ἀδιάπνευστον
ὄντα τὸν ἀέρα συνεχῶς θερμαίνει καὶ πυροῖ μᾶλλον, ἥ τε ἀκινησία
παχύνει, τῆς κινήσεως ὁμοίως τοῖς ῥιπίζουσι λεπτυνούσης ἅμα καὶ

5. DE L'AIR. — TIRÉ D'ATHÉNÉE, DU XXIX[e] LIVRE.

1 L'air qui est sous l'influence du soleil diffère de celui qui est à
l'ombre et qui échappe à cette influence; l'air diurne diffère de l'air noc-
turne, car l'air exposé au soleil est plutôt chaud et ténu, et l'air ombragé
2 plutôt épais. De même l'air éclairé est ténu et moins froid, tandis que
3 l'air non éclairé et nébuleux est plutôt froid et épais. Or l'air qui est
chaud et ténu rend la perspiration facile; l'air froid et épais produit
l'effet contraire; voilà pourquoi la nuit est plus pénible que le jour pour
4 les malades affectés de fluxion, d'inflammation ou de fièvre. L'air de la
ville diffère aussi de l'air de la campagne; en effet, l'air de la ville est
limité par les édifices, et, pour cette raison, il est chaud et épais à l'instar
de celui des bas-fonds, car, n'étant pas agité, le soleil l'échauffe, ou
plutôt le brûle sans interruption, tandis que le défaut de mouvement
l'épaissit, attendu que le mouvement atténue et refroidit à la fois l'air,

Ch. 5; l. 2. καθ' ἡμέραν Gal. — 2-3. τέ ἐστι om. Gal. — 4. φωτιστός BV. — Ib. ἧττον..... ἀφώτιστος om. BV. — Ib. ἶσον A 1[a] m. M text. — 6. τά om. ACM. — Ib. σώματα om. CM. — 9. κατὰ τὴν πόλιν et κατὰ τὴν χώραν Gal. — 11. παχύτερος· ἥλιος γάρ Gal. — 12. ἡ δέ Gal.

ψυχούσης τὸν ἀέρα. Παχύνεται δὲ ὁ κατὰ πόλιν ἀήρ, οὐ μόνον διὰ 5 τὴν ἀκινησίαν συναγόμενος εἰς ἑαυτόν, ἀλλὰ καὶ τῷ σκιάζεσθαι τὸν πλείονα χρόνον, καὶ πολὺ μᾶλλον τῷ πολλὰς καὶ παντοδαπὰς ἐκ τῆς πόλεως ῥεῖν εἰς αὐτὸν ἀναθυμιάσεις, καὶ πολὺ μᾶλλον ἐν ταῖς εἰς τέλος ἀδιαπνεύστοις πόλεσιν. Ὁ δὲ ἐν ταῖς χώραις ἀήρ, 6 λεπτὸς ὢν καὶ καθαρὸς, ὀρεκτικωτέρους ἀπεργάζεται πρὸς τροφὰς καὶ εὐπεπτοτέρους, εὐτροφωτέρους τε καὶ εὐρουστέρους καὶ εὐαισθητοτέρους, ὅθεν κατὰ μὲν τὴν πόλιν δυσδιαφόρητα μένει καὶ πλήρη τὰ σώματα, πάντοθεν κατειλημμένου τοῦ ἀέρος ἅμα καὶ τῷ πλήθει τῶν οἰκιῶν καὶ τῇ τῶν | τειχῶν περιθέσει· ἐπὶ δὲ τῆς χώρας αἴ- 229 θριος ὤν, ἀνειμένως καὶ λεληθότως τὸ περιττεῦον ἐκκρίνων, κοῦφόν τε καὶ εὔπνουν καὶ ἕτοιμον κατασκευάζει πρὸς τὴν τῆς τροφῆς λῆψιν.

laisons d'un pays, si, lorsqu'on l'humecte, elle laisse échapper, non-seulement une odeur terreuse, mais aussi une odeur agréable, comme cela a lieu en Égypte; autre signe : en sortant de la maison, le matin, lorsque la fumée, l'odeur de la viande cuite et les émanations de tout ce qu'on apporte en ville, ne se sont pas encore mêlées aux exhalaisons de la terre elle-même, vous sentirez une douce vapeur qui s'élève du sol, comme cela arrive à ceux qui, en Égypte, sortent dans la matinée; si quel-

Ch. 17; l. 9. ἀναπέμπει Codd. — 9. ἔπειτα......... οἰκίας conj. Dübner; ἔπειτα εἴωθεν τῆς οἰκείας Codd. — 10. ἀπό τε B. — Ib. καπνόν Codd. — 11. ἐς V. — 12. αἰσθοιτό V. — 13. ϖροϊούσῃ Codd.

Matth. 239-240.

ψας φαίη κουφοτέρου ἑαυτοῦ αἰσθάνεσθαι καὶ εὐκινητοτέρου, καὶ
2 τροφῆς ὀρέγεσθαι. Γένοιτο δὲ ἄν σοι τεκμήριον καὶ εἰ τὰ φυόμενα
240 ἐκ τῆς γῆς εὐβαφῆ καὶ εὔχροα καὶ εὐω|δέστερα ὑπάρχοι, καὶ εἰ
ἀφορῶν τις ἐς τὴν χλόην μὴ θέλοι ταχὺ μεταφέρειν εἰς ἄλλο τὴν
ὄψιν, καὶ εἰ τὰ χαμαιζηλότερα δένδρα τῶν ὑψηλοτέρων εὐποτμό-
τερα εἴη, καὶ εἰ πάντα εὔχροια ἔχοι, καὶ εὔτροφα τὰ φύλλα καὶ
3 τοὺς καρποὺς εὐθὺς ἐκφύσαι πεπείρους εὐωδεστέρους τε. Τεκμαίροιο
δὲ ἂν τὴν ἡδίω τοῦ χωρίου ἀναθυμίασιν ὑγιεινὴν, καὶ ἀπὸ τῶν ἐν
τῷ χωρίῳ γεννωμένων ζώων· πάντα γὰρ τὰ παιδία εὐθαλέστερα
καὶ εὔσαρκα καὶ τὸ χρῶμα εὐανθέστερα, καὶ τοὺς σκύλακας καὶ τῶν
ἄλλων ζώων τὰ νεογνὰ κρείττω καὶ ὑγιεινότερα τῶν ἐν ἄλλοις χω-
4 ρίοις ἴδοις ἄν. Ἀλλὰ μὴν καὶ ὅσα ἀποτίθενται ἄνθρωποι σπέρματα,
οἷον πυροὺς, ἢ κριθὰς, καὶ τῶν ἄλλων καρπῶν ἰσχάδας, φοίνικας

qu'un qui a couché pendant longtemps sur la terre prétend qu'il se sent
plus léger et plus agile et qu'il désire prendre des aliments [ce sera un
2 troisième signe de la salubrité du sol]. Vous tirerez encore un autre
signe de ce fait, que les plantes ont une couleur vive et naturelle, et sont
plus odoriférantes qu'ailleurs, puis de cette circonstance qu'après avoir
regardé l'herbe, on ne désire pas immédiatement détourner ses yeux vers
quelque autre objet, enfin de ce que les arbres bas viennent mieux que les
arbres élevés, et de ce que tous sont bien colorés et produisent régulière-
ment des feuilles bien nourries et des fruits mûrs plus ou moins odorifé-
3 rants. Vous conclurez encore que les exhalaisons d'un pays sont salubres,
si elles sont agréables, et vous tirerez la même conclusion des créatures
engendrées dans le pays : en effet, les enfants y sont plus florissants,
d'une belle carnation et plus vivement colorés; de même vous verrez
que les jeunes chiens et les petits des autres animaux y sont d'une plus
4 belle venue et se portent mieux que dans les autres pays. De plus, si
les graines qu'on met en réserve, comme le froment et l'orge, comme
aussi les figues sèches, les dattes et les autres produits semblables, restent

1. κουφοτέρου ex em.; κουφότερον C; κοπώτεροι M; κουφώτεροι marg.; κοπωτέρου B; εὐκοπώτερον V. — Ib. εὐκινητότερον M. — 3. ἐν βαφῆ B; εὐαφῆ V. — Ib. ὑπάρχει B text. V. — 4. ἐς τὴν] ἐστι BCM. — Ib. μή] καί C. — 5. χαμαιζηλότερα ex em. Matth.; χάμαι ζηλότερα M; χαμαὶ ξυλότερα C; χαμαὶ ξηρότερα BV. — 7. ἐκφυσαῖνον BM text. V. — 9. γενωμένων C; γενομένων V. — 11. νεόγεια Codd. — 12. καί om. BC. — 13. ἢ om. M.

καὶ τὰ ὅμοια, εἰ ἐπὶ πλείονα ἀδιάφθορα μένοι χρόνον, τεκμήριον
ποιοῦ τοῦ ὑγιεινὸν εἶναι τὸ ἀπὸ τοῦ χωρίου ἀναθυμιώμενον. Καὶ 5
τοὺς ὕπνους δὲ ἡδίονας ἂν εὕροις, καὶ τὴν ψυχὴν οὐκ ἐκταρασσομένην ὑπὸ τῶν κατὰ τοὺς ὕπνους φαντασιῶν.

| ιη'. Διάγνωσις μοχθηρᾶς ἀναθυμιάσεως. 241

Τεκμαίροιο δὲ ἂν καὶ τὴν μοχθηρὰν τῶν χωρίων ἀναθυμίασιν, 1
εἰ βῶλόν τις γῆς λαβὼν βρέχοι ἐν ὕδατι· ὀδμὴ γὰρ ἂν γένοιτο,
ὁποία σβεννυμένων τῶν ἀνθράκων. Καὶ πάντα τῶν εἰρημένων ἐναντία 2
εὑρὼν ἐν χωρίοις, ἔχοις ἂν κατάληψιν τοῦ μοχθηρὰν ἔχειν τὸ χωρίον ἀναθυμίασιν. Εἰ δέ τις ἀνάγκη γένοιτο διατρίβειν χρόνον τινὰ 3
ἐν τοιούτῳ χωρίῳ, ἐν τοῖς ὑπερῴοις καὶ ὑψηλοτάτοις οἰκήμασι τὰς διατριβὰς ποιούμενος ἥκισΊα ἂν βλάπΊοιτο· πάντα γὰρ τὰ ἐκ τῆς γῆς ἢ τῶν ὑγρῶν ἀναθυμιώμενα πέσσεται μετεωριζόμενα καὶ καθαίρεται, τὸ παχύτερον καταλιπόντα ἐν τῷ τοῦ ἀέρος παχυτέρῳ μέρει.

pendant plus longtemps à l'abri de la corruption, vous regarderez cela
comme une preuve de la salubrité des exhalaisons du pays. Enfin vous 5
vous apercevrez que le sommeil est plus doux, et que l'âme n'est pas troublée par des songes pendant le sommeil.

18. MOYEN DE RECONNAÎTRE LES EXHALAISONS NUISIBLES.

Vous porterez encore un jugement sur les mauvaises qualités des exha- 1
laisons d'un pays, en prenant une motte de terre et en l'humectant d'eau, car il se manifestera une odeur semblable à celle des charbons éteints.
Si, dans un pays, vous constatez que tout est au rebours de ce que nous 2
venons de dire, vous comprendrez que ce pays a des exhalaisons nuisibles. S'il est indispensable qu'on séjourne pendant quelque temps 3
dans un tel pays, on en atténuera les mauvais effets en se tenant dans des chambres très-élevées appartenant aux étages supérieurs, car toutes les exhalaisons, soit du sol, soit des liquides, sont digérées et purifiées, lorsqu'elles s'élèvent dans l'air, attendu qu'elles abandonnent à la partie la plus épaisse de l'air leurs éléments les plus épais.

1. ἀδιάφορα BCV. — 3. ὕπν. δὲ ἡδείους ἂν M; ὕπν. ἂν ἡδίωνας V. — Ch. 18; l. 6. τις] τῆς C. — Ib. βρέχοιεν ὕδ. Codd. — 8. ἐν χωρίοις om. M. — Ib. μετάληψιν C. — 10. τούτῳ C. — 12. ἀγρῶν C.

ιθʹ. Ὅτι διὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν ὑγιεινά ἐστι καὶ οὐχ ὑγιεινὰ τὰ χωρία.

1 Τῶν χωρίων τὰ μὲν πρὸς μεσημβρίαν κατά τε πάσας τὰς τοῦ ἐνιαυτοῦ ἡμέρας καὶ σχεδὸν ὅλας μεταλαμβάνοντα τοῦ ἡλίου μάλιστά ἐστιν ὑγιεινά· τὰ δὲ κατάντη πρὸς ἄρκτον, ὡς ἂν οὔτε πάσαις [οὔτε ὅλαις] ταῖς τοῦ ἐνιαυτοῦ ἡμέραις δεχόμενα τὴν αὐγὴν τοῦ ἡλίου· φωτίζεται [γὰρ] ὀλιγοστὸν χρόνον τῆς ἡμέρας, καί ποτε τὸ φῶς ἐγκεκλιμένον μάλιστα προσπίπτει καὶ ἀτονώτερον· ἥκιστα
2 242 ὑγιεινά. Δῆλον δέ | ἐστιν· εἰ γὰρ πρὸς μεσημβρίαν πᾶσα κέκλικεν ἡ χώρα, τῆς πρὸς ἄρκτον κεκλιμένης εὐωδεστέρα πέπεπται μᾶλλον, ἀλλὰ καὶ πάντων δένδρων οἱ πλέον ἡλίου μεταλαμβάνοντες καρποὶ τῶν ἧττον μεταλαμβανόντων κρείττους· μείζους τε γάρ εἰσι καὶ εὐωδέστεροι, καὶ θᾶττον πεπαίνονται καὶ τῇ γεύσει μᾶλλόν εἰσι κεχαρισμένοι, καὶ ἑκάστου δένδρου τὸ πρὸς μεσημβρίαν τετραμμέ-

19. QUE LES PAYS SONT SALUBRES OU INSALUBRES EN RAISON DE LEUR POSITION PAR RAPPORT AU SOLEIL.

1 Les pays qui sont tournés vers le midi sont les plus salubres, parce qu'ils jouissent du soleil durant tous les jours de l'année et pendant presque toute la journée; les pays tournés vers le nord sont les moins salubres, attendu qu'ils ne reçoivent pas la lumière du soleil, ni pendant tous les jours de l'année, ni pendant tout le jour, car ils ne sont éclairés que pendant une très-petite partie du jour, et, à certaines époques, la
2 lumière les frappe obliquement et avec peu d'intensité. En voici la preuve : un pays qui est entièrement tourné vers le midi est plus odoriférant, et il est sous l'influence d'une chaleur plus intense qu'un pays tourné vers le nord; de plus, les fruits des arbres, quels qu'ils soient, sont meilleurs quand ils reçoivent beaucoup de soleil que quand ils en reçoivent peu : en effet, ils sont plus grands, plus odorants, mûrissent plus vite, et ont un goût plus agréable; de même, pour les arbres, la partie de la circonférence

Ch. 19. Tit. Περὶ χωρίων εὐκράτων V. — 1. κατάντη em. Dübn.; κατά τε Codd. — Ib. πάσας V. — Ib. τάς B. — 4. οὔτε ὅλ. conj. Dübn.; om. Codd. — 5. γάρ conj. Dübn.; om. Codd. — Ib. ὀλίγιστον CMV.

νον τῆς περιφερείας μέρος ὑγρότερον καὶ μανότερον καὶ ἁπαλώτερον καὶ εὐκαμπέστερον καὶ ἐλαφρότερον καὶ εὐτονώτερον καὶ τέκτονι εὐχερέστερον, καὶ αὔξει πλέον εἰς εὖρος, τὸ δὲ πρὸς ἄρκτον ξηρότερον καὶ πυκνότερον καὶ βαρύτερον καὶ δυσκαμπέστερον καὶ τοῖς ἐργαζομένοις ἐργωδέστερον, αὔξεται δὲ ἐπὶ ἔλαττον τῇ περιφερείᾳ. Ἤδη τοίνυν οὐ μόνον τοῦτο καταφανὲς, ὅτι τὰ πρὸς μεσημβρίαν κα- 3
τάντη χωρία τῆς πρὸς τὸν ἥλιον ἕνεκα σχέσεως τῶν πρὸς ἄρκτον ὑγιεινότερα, ἀλλὰ καὶ τόδε, ὅτι τὰ πρὸς ἀνατολὰς, ἢ δύσεις κατάντη χωρία τῶν μὲν πρὸς μεσημβρίαν καταντῶν ἧττόν ἐστιν ὑγιεινὰ, τῶν δὲ πρὸς ἄρκτον ὑγιεινότερα, ὅτι τούτων μὲν μᾶλλον ἡλίου μεταλαμβάνει, ἐκείνων δὲ ἧττον.

| κ'. Ποῖαι ἀγυιαὶ ὑγιεινὰ τὰ καταστήματα τῶν πόλεων ποιοῦσι καὶ ποῖαι οὐχ ὑγιεινά; 243

Ἐν πόλει, ὅταν ἀγυιαὶ παράλληλοι ὑπάρχωσιν, ἀεὶ μὲν καὶ εἰς 1
μῆκος ἀλλήλαις, καὶ ἀεὶ δὲ εἰς πλάτος, ταῖς ὁμοταγέσι μὲν ἀνατολῇ

tournée vers le midi est plus chargée de sève, moins dense, moins ferme, plus flexible, plus légère, plus résistante, plus commode pour les charpentiers et croît davantage en largeur, tandis que la partie tournée vers le nord est plus sèche, plus compacte, plus lourde, moins flexible, donne plus de peine aux ouvriers et croît moins dans sa circonférence. Il est 3
donc clair non-seulement que les pays tournés vers le midi sont plus sains que les pays tournés vers le nord, à cause de leur position par rapport au soleil; mais aussi que les pays tournés vers le levant et le couchant le cèdent pour la salubrité aux pays penchés vers le midi et l'emportent sur ceux qui sont tournés vers le nord, parce qu'ils reçoivent plus de soleil que les derniers et moins que les premiers.

20. QUELLE EST LA DISPOSITION DES RUES QUI RENDENT LA CONDITION D'UNE VILLE SAINE OU MALSAINE.

Si, dans une ville, toutes les rues sont parallèles, les unes en longueur, 1
les autres en largeur; si les rues du même ordre regardent directe-

1. καὶ ἁπαλ. om. BV. — 5. δέ om. M. — 6. κάταντα BC 1ª m. MV. — 7. τῆς] τούς CM. — 8. ὅτι em. Matth.; ἐπεί Codd. — Ch. 20; l. 12. αἰεί C 1ª m. MV. — 13. ἀλλήλαι Codd. — 13-p. 319, 1. ἀνατολὴ ἰσημερινή Codd.

Matth. 243-244.

ἰσημερινῇ καὶ δύσει ἐπὶ εὐθείας κείμεναι, αἱ δὲ ἄρκτῳ καὶ μεσημβρίᾳ, πᾶσαι δὲ τέμνωσι τὴν πόλιν, αἱ μὲν κατὰ τὸ μῆκος ὅλον, αἱ δὲ κατὰ τὸ πλάτος μέχρι περάτων, οὐδὲν οἰκοδόμημα τὸ μεταξὺ ἑαυτῆς ἑκάστη ἔχουσά τι ἐνιστάμενον, ἐπὶ πολὺ τῶν προαστείων καθαρὰς ἐπὶ εὐθείας τὰς ἐπὶ ἑαυτῇ ἑκάστη ἔχουσα ὁδοὺς, εὐάερον τὴν πόλιν παρέχουσιν, εὐήλιόν τε καὶ καθαρὸν καὶ εὐήνεμον τὸ κατάστημα ποιοῦσιν, ὅτι οἱ ἄνεμοι, βορέας καὶ νότος, εὖρός τε καὶ ζέφυρος, οἳ δὴ κορυφαιότατοι τῶν ἀνέμων εἰσὶ καὶ εὐτακτότατοι, διαῤῥέουσι διὰ τῶν ἀγυιῶν εὐπετῶς ἐπὶ εὐθείας αὐτοῖς κειμένων, καὶ οὐδὲν ἔχοντες τὸ ἐνιστάμενον τῇ ῥύσει, διάπνευστοι δὲ τῇ πόλει γενόμενοι οὐδὲν ἐργάζονται βίαιον· ἄνεμοι γὰρ, ὅταν μὴ ἔχωσι τὸ κωλῦον, λανθάνουσι παριόντες· οὐ μὴν ἀργοὶ διέρχονται τὴν πόλιν·
244. καθαίρουσι γὰρ τὸ κα|τάστημα, τοὺς καπνοὺς ἐκβάλλοντες τῆς πό-
2 λεως τούς τε κονιορτοὺς καὶ τὰς ἀναθυμιάσεις πάσας. Εὐήλιόν τε τὴν

ment, les unes le levant et le couchant équinoxiaux, les autres le nord et le midi; si toutes coupent la ville soit dans toute sa longueur, soit dans toute sa largeur, jusqu'aux extrémités; si aucune d'elles ne contient dans son parcours quelque édifice qui fasse obstacle; si les routes des faubourgs, qui font suite à chacune d'elles, les continuent suivant la même ligne droite et se trouvent dégagées jusqu'à une grande distance, ces rues rendront la ville bien aérée, bien exposée aux vents, bien éclairée par le soleil, et propre, parce que les vents, c'est-à-dire ceux du nord, du sud, de l'est et de l'ouest, qui sont de tous les plus importants et les mieux réglés, traversent facilement les rues, attendu qu'elles sont situées dans la même direction qu'eux, et qu'ainsi ces vents, ne rencontrant aucun obstacle à leur passage, ne produisent aucun effet violent lorsqu'ils soufflent à travers la ville; car les vents, quand ils ne rencontrent pas d'obstacle, passent sans qu'on s'en aperçoive; cependant ils ne traversent pas la ville sans exercer une influence, puisqu'ils purifient la localité, en chassant de la ville la fumée, la poussière
2 et les exhalaisons, quelles qu'elles soient. Des rues ainsi disposées ren-

1. δύσει ex em.; δύσιν B; δύσις CMV. — 2. πάσαις Codd. — 3. οὐδέν] οὐ διό C. — 5. ὁδοῦ CM. — 7. οἱ] ὡς C. — 9. ἑαυτοῖς Codd.

Matth. 244.

πόλιν οὕτως ἔχουσαι ποιοῦσιν αἱ ἀγυιαὶ, ὅτι ἥλιος ἀνατέλλων καὶ δυόμενος εἰσέρχεται, [τὰς] κατ' ἀνατολὴν ἐπὶ εὐθείας, μεσουρανῶν δὲ εἰς πάσας τὰς [κατ'] ἄρκτους καὶ μεσημβρίας, ὥστε ἡλιοῦσθαι ἑκάστης ἡμέρας ἐν τῇ πόλει τὰς ἀγυιάς. Ἐὰν δὲ πάσας μήτε παραλλήλους 3
τὰς ἀγυιὰς ἔχῃ, μήτε εὐθείας, σκολιὰς δὲ ἢ ἀδιεξιτήτους τινὰς αὐτῶν καὶ πρὸς τοὺς ἀνέμους λοξὰς, πολλὴν τοῦ ἀέρος ταραχὴν ἔχει· ἑνὸς γὰρ πνεύσαντος ἀνέμου, πολλοὺς γενέσθαι συμβαίνει καὶ μαχομένους ἀλλήλοις· ὁ μὲν γὰρ ἄνεμος ἐπὶ εὐθείας ῥεῖ· αἱ δὲ ἀγυιαὶ οὐκ εἰσὶν εὐθεῖαι· ἐμπίπτων οὖν ταῖς ἀδιεξιτήτοις οὐκ εἰσέρχεται διὰ τὸ μὴ εἶναι ὁδὸν, ἀράσσει δὲ τὸν ἐν τῇ ἀγυιᾷ ἀέρα καὶ ἀντικυμαίνεται· ταῖς δὲ σκολιαῖς καὶ διέξοδον ἐχούσαις διὰ τὸ ἄλλως ἄλλας ἐγκεκλᾶσθαι, ἀπὸ ὧν μὲν ἀποπαλλόμενος περιῤῥεῖ καὶ πολλάκις φέρεται πάλιν εἰς τοὺς αὐτοὺς ὅθεν εἰσεῤῥύη τόπους καὶ ἀντικυμαίνει ἑαυτῷ· ἀπὸ ὧν δὲ εἰς ἑτέρους· [οὐ] γὰρ τεταγμένους οἱ

dront l'accès du soleil facile dans la ville, puisqu'il y pénètre à son coucher et à son lever; il pénètre en ligne droite, à son lever, dans les rues qui sont tournées à l'est, à son midi, dans celles qui regardent le nord ou le sud; les rues de la ville subiront donc tous les jours l'influence du soleil. Si toutes les rues ne sont ni parallèles, ni droites, si quelques- 3
unes sont obliques ou sans issue et ont une direction oblique par rapport aux vents, l'air de la ville sera notablement troublé dans ses mouvements : en effet, lors même qu'un seul vent souffle, ce vent se partagera en plusieurs opposés les uns aux autres, car le vent souffle en ligne droite, tandis que les rues ne sont pas rectilignes; par conséquent, s'il tombe sur des rues sans issue (*impasses*), il n'y entre pas puisqu'il ne trouve aucun passage, mais il agite l'air contenu dans la rue et produit un mouvement de flux et de reflux, tandis que, dans les rues obliques et qui sont ouvertes aux deux extrémités, comme elles se coupent tantôt d'une façon et tantôt d'une autre, il sera repoussé dans quelques-unes et s'échappera de tout côté; souvent il retournera au même endroit par où il est entré et ses ondes se feront mutuellement obstacle entre elles;

1. ὁ ἥλ. CM. — 2. [τὰς] κατ' ἀνατ. em. Dübn.; καὶ ἀνατολῆς BMV; καὶ ἀνατέλλων C. — 4. πάσαις Codd. — 5. ἔχειν Codd. — Ib. σκολιαί Codd. — Ib. δὲ ἢ ἀδιεξ. em. Dübn.; τε διεξ. Codd. — 9. ταῖς μὲν CM. — 10-11. ἀντισημαίνεται CM. text. — 13. ὅθεν ex em.; ἀσθενεῖς Codd. — 14. ἑαυτόν Codd. — Ib. οὐ om. Codd.

ἄνεμοι τὰς ἀντιπνεύσεις ποιοῦνται, ὥσπερ ἡ αὐγὴ τὰς ἀνταυγίας·
245 | ἐκείνη μὲν γὰρ κατὰ ἴσας ἀνακλᾶται ἀεὶ γωνίας· οἱ δὲ, ὥσπερ
καὶ τὸ ὕδωρ, ὅπου ἂν τύχωσιν ὁδοῦ, ἐκεῖσε μεταῤῥέουσι, κωλυό-
4 μενοι ἐπὶ εὐθείας Φέρεσθαι. Συμβαίνει οὖν ἔσΊιν ὅτε προσπεσόντα
τὸν ἄνεμον σΊερεῷ σχίζεσθαι εἰς ἑκάτερα, ὅταν παράκεινται ἑκα-
τέρωθεν ὁδοὶ, καὶ πάλιν τοῦτο πάσχειν καὶ ἑτέραν ῥύσιν τοιούτῳ
προσπεσόντα, καὶ γίνεσθαι πολλοὺς ἕνα ὄντα, καὶ συμπίπΊειν ἑαυ-
τῷ, ὁτὲ μὲν ἐκ πλαγίου Φερόμενον, ὁτὲ δὲ ἐξ ἐναντίας, καὶ κατὰ
ἑκάσΊην ἔγκλισιν τῶν ἀγυιῶν ἀντιθλιβόμενον τῇ προσπΊώσει ἀράσ-
σειν σφοδρῶς τὸ κατάσΊημα· ταῖς μὲν γὰρ ἥκουσιν οἱ ἄνεμοι ἁπαλῶς,
5 ταῖς δὲ ἀντιπίπΊουσιν. Κλονεῖται οὖν ἀντιπνεόμενον οὐδενὶ σὺν
6 κόσμῳ τὸ κατάσΊημα τῆς πόλεως. Ἑνὸς οὖν τινος ἀέρος κυκήσει
συγκυκᾶται ὅλον, ὡς καὶ τὸ τοῦ ἀνθρώπου συμφυὲς πνεῦμα οὕτως

dans d'autres, il s'échappera dans une direction différente, car les cou-
rants répercutés du vent ne sont pas réglés comme les rayons réfractés
de la lumière : en effet, la lumière est toujours réfractée à angles égaux,
tandis que les vents, aussi bien que l'eau, changent leur cours dans toute
direction où ils trouvent un passage, si quelque chose les empêche de
4 marcher en ligne droite. Il arrivera donc quelquefois que le vent, en
tombant sur un corps solide, se bifurquera vers les deux côtés, s'il existe
deux voies ouvertes; un second courant d'air, en arrivant dans les mêmes
circonstances, éprouvera la même bifurcation, et le vent, qui était unique,
se divisant ainsi en plusieurs, retombera sur lui-même, en se portant
tantôt dans une direction latérale, tantôt dans une direction opposée; à
chaque angle de rue, étant pressé en sens contraire, il frappera de divers
côtés la ville en soufflant dessus : en effet, dans quelques rues, les vents
arrivent doucement, tandis que, dans d'autres, ils rencontrent un obs-
5 tacle. La ville, étant exposée à des courants d'air en sens contraire, sera
6 donc frappée par les vents d'une façon très-fâcheuse. Toute la constitu-
tion de la ville sera bouleversée par suite du mélange de deux parties
d'un même courant, l'une étant répercutée, l'autre conservant sa di-
rection primitive; de même le souffle inné de l'homme présente un

2. *αἰεὶ* C 1ª m. V; om. BM. — 4. *Συμβαίνειν* Codd. — 5. *σΊερεῶς* Codd. — 9-10. *ἀνάσσειν* B text. CM. — 10-11. *τοῖς..... τοῖς* Codd. — 13. *συγκυκᾶται ὅλον* em. Dübn.; *συγκυκᾷ τάγιον* V; *συγκυκατάγιον* BCM.

ἔχον ἐμποδίζει τὰς πέψεις καὶ τὰς ἀναδόσεις· τοιούτου δὲ ὄντος
ἂν [οὐκ] εἴη ὑγιεινόν. Ἀλλὰ μὴν καὶ τὸ τοῦ ἡλίου φῶς ἐπὶ εὐθείας 7
ἀεὶ ἀπὸ αὐτοῦ φερόμενον σκολιαῖς ταῖς ἀγυιαῖς οὐκ ἂν προσπίπτοι
ὁμαλῶς, ἀλλὰ σποράδην ἐφάψαιτο ἂν τινῶν τῆς πόλεως, καὶ οὕτως
ἥκιστα | ἂν ἡλιοῖτο ἡ πόλις, καὶ ἥκιστα ἂν διαλύοιτο ἡ ἀναθυμίασις 246
ὑπὸ τοῦ ἡλίου· μάλιστα δὲ ἂν εἴη παχὺ καὶ δυσδιάπνευστον τὸ
κατάστημα, τὸ δὲ τοιοῦτον οὐκ ἔστιν ὑγιεινόν. Ταῦτα δὲ, εἰ εἶεν 8
αἱ πόλεις ἐν ἐπιπέδῳ χωρίῳ, συμβαίνει· εἰ δὲ εἶεν [ἐν] ἀνωμαλεῖ,
αἱ μὲν παραλλήλους ἔχουσαι τὰς ἀγυιὰς δυσάεροι γίνονται, ὅταν
τοῖς ὑψηλοτέροις μέρεσι τῶν ἀγυιῶν ἐναντίως πνεύσῃ· αἱ δὲ σκολιὰς ἔχουσαι τὰς ἀγυιὰς ἀμείνους· τὰ γὰρ ἐν τοῖς ὑψηλοτέροις τοῦ χωρίου τῆς πόλεως μέρη εὐαερώτερα συμβαίνει εἶναι.

obstacle à la digestion et à la distribution des aliments, quand il est
dans une pareille condition; s'il en est ainsi, la constitution de la ville
ne sera pas saine. En outre la lumière du soleil, qui part toujours de 7
cet astre en ligne droite, ne tombera pas d'une manière égale sur des rues obliques, mais ne frappera que çà et là certaines régions de la ville; de cette façon, elle subira très-faiblement l'influence du soleil et les exhalaisons ne seront que très-peu dissipées par lui; la ville offrira donc surtout un air épais et un séjour d'une ventilation difficile; or un pareil
séjour n'est pas favorable à la santé. Ce que je viens de dire s'applique 8
aux villes qui sont situées dans un pays plat; mais, si elles sont bâties dans un pays accidenté, celles qui ont des rues parallèles deviennent mal aérées, quand le vent souffle dans une direction contraire aux parties les plus élevées des rues, tandis que les villes à rues obliques sont alors dans de meilleures conditions, car il arrive que les régions de la ville situées dans les parties les plus élevées du pays sont mieux aérées.

1. ἔχων Codd. — 2. οὐκ om. Codd. — 3. ἐπί C. — Ib. σκολιάν BCM. — 4. ἐφάψασθαι τῶν Codd. — 5. ἂν post καὶ ἥκιστα om. V. — Ib. διαλύει τὴν ἀναθυμίασιν Codd. — 8. ἐν om. CM. — Ib. ἐν om. Codd. — 10. πνεύσῃ ἄνεμος CM.

κα'. Περὶ πυριάσεων καὶ καταπλασμάτων καὶ σικυῶν. Ἐκ τῶν Γαληνοῦ.

1 Ἀραιὸν εἰώθασιν αἱ πυρίαι τὸ δέρμα πρὸς τὰς διαπνοὰς ἐργάζεσθαι καὶ τὸ κατὰ τὴν Φλεγμονὴν αἷμα λεπτύνειν τε καὶ διαφο-
2 ρεῖν. Εἰ μὲν οὖν ταῦτα πραχθείη, κενωθήσεταί τι τοῦ αἵματος, ἧττόν τε διατεινόμενα τὰ πεπονθότα μέρη πρὸς τοῦ λοιποῦ πρᾳότερον ὀδυνήσεται· μὴ γενομένου δὲ ἐλάττονος τοῦ κατὰ τὴν Φλεγμονὴν αἵματος, ἢ καὶ πνεύματος ἀτμώδους ἐκ τῆς θερμασίας γεννηθέντος, αὐξάνεσθαι συμβαίνει τὴν ὀδύνην· οὐ γίνεται δὲ ἔλαττον τὸ αἷμα διὰ τὴν ἐνεστῶσαν τῷ σώματι περιουσίαν τῶν χυμῶν· ἐπὶ γὰρ τὸ θερμαινόμενον μέρος ἕλκεται πλέον ἢ διαφορεῖται, Φύσει ἐχόντων τῶν θερμαινόντων ὥσπερ τὸ διαφορεῖν τὸ περιεχόμενον οἷς ἂν πλησιάζῃ μορίοις, οὕτω τὸ ἕλκειν τὸ περιττεῦον ἐκ τῶν
3 γειτνιώντων. Αἱ μὲν οὖν ὑγραὶ πυρίαι Φλεγμοναῖς ἁρμόττουσιν

21. DES FOMENTATIONS, DES CATAPLASMES ET DES VENTOUSES. — TIRÉ DE GALIEN.

1 Les fomentations rendent ordinairement la peau rare, de manière à favoriser la perspiration ; elles atténuent et dissipent le sang contenu
2 dans la partie enflammée. Si donc elles produisent cet effet, une portion du sang sera évacuée et les parties affectées étant moins distendues seront dorénavant le siége d'une douleur moins forte ; mais, si la quantité du sang contenu dans la partie enflammée ne diminue pas, ou si la chaleur produit un pneuma vaporeux, la douleur augmentera ; or c'est la surabondance d'humeurs dans le corps qui empêche le sang de diminuer, car la quantité que la chaleur artificielle attire vers la partie sera plus considérable que la portion dissipée, attendu que les moyens échauffants ont par leur nature aussi bien la propriété d'attirer le superflu des parties voisines que celle de dissiper ce qui est contenu dans les parties
3 sur lesquelles on les applique. Les fomentations humides conviennent donc contre les inflammations produites par des humeurs plus ou moins

Ch. 21. Tit. καὶ αἰονήσεως καὶ κατ. Ind. Codd. — 1. Ἀραιόν τε Gal. — 3. κενωθήσεται δέ τις BCV. — 4. μόρια Gal. — 5. γινομένου Gal. — 6. ἢ καὶ πνεύμ. om. BC 1ª m. V. — 8. τὴν ἐν τῷ παντὶ σώματι Gal. — 9. Φύσιν Gal. — 10. τῶν om. Codd. — Ib. ὥσπερ διαφ. Gal. — 11. πλησιάζοι Codd. — Ib. οὕτω ἕλκειν Gal.; τως ἕλκειν B; τῷ ἕλκειν CV. — 12. ἁρμόζουσιν Gal.

ὑπὸ χολωδεσΊέρων χυμῶν γεγονυίαις· αἱ δὲ ξηραὶ ταῖς ὑπὸ τοῦ
λεπΊοῦ καὶ ὑδατώδους αἵματος· ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ τὰ
ἐναντία τῶν ἐναντίων ἰάματα εἶναι. Κατὰ τὸν αὐτὸν οὖν σκοπὸν 4
αἱ μὲν ἄδηκτοι πυρίαι τοῖς δακνώδεσιν ἁρμότΊουσι χυμοῖς· αἱ δὲ
δακνώδεις, ἐπειδὴ λεπΊύνουσι, τοῖς παχέσι καὶ γλίσχροις. Καὶ θερ- 5
μαίνειν δὲ ὑποχόνδρια αἰονήσεσιν, ἢ καταπλάσμασιν οὐ διὰ παντὸς
ἀσφαλὲς, ἀλλὰ ἐκείνων μόνων τῶν ἀῤῥώσΊων, ἐπὶ ὧν οὐδέν ἐσΊι
περιτΊὸν ἐν ὅλῳ τῷ σώματι· τοῖς δὲ ἄλλοις ἅπασι κακὸν ἔσχατον.
Τῶν μέσων οὖν, ὡς ἔνιοι καλοῦσι, πρόνοια μέγισΊον μὲν κακὸν 6
ἐπὶ τῶν μὴ φλεβοτομηθέντων ἐσΊὶν, οὐ μέγισΊον δὲ ἐπὶ τῶν φλε-
βοτομηθέντων, ἀλλὰ ὅμως κἀπὶ τούτων βλάπΊειν τι πέφυκεν ἐπὶ
τοῖς συνεχέσι πυρετοῖς· διακαιόμενα γὰρ ὑπὸ τοῦ πλήθους τῆς θερ-

bilieuses, et les fomentations sèches contre celles que produit le sang
ténu et aqueux; car il faut toujours se rappeler *que les contraires sont*
guéris par les contraires. En vertu de la même indication, les fomenta- 4
tions qui ne sont pas irritantes conviennent donc contre les humeurs qui
causent des picotements, et les fomentations qui sont irritantes, contre
les humeurs épaisses et visqueuses, parce qu'elles atténuent. Il n'est pas 5
toujours sans danger d'échauffer les hypocondres par des affusions, ou
des cataplasmes; mais on peut y recourir seulement chez les malades
qui n'ont rien de superflu dans l'ensemble du corps; pour tous les
autres, c'est ce qu'il y a de plus pernicieux. Les *précautions pour les par-* 6
ties centrales (les hypocondres), comme disent certains médecins (les *métho-*
diques), sont donc très-nuisibles chez les malades qui n'ont pas été saignés;
chez ceux qui l'ont été, elles ne sont pas un très-grand mal; cependant,
même dans ce cas, elles sont encore de nature à faire quelque tort, s'il
s'agit d'une fièvre continue : en effet, les viscères, déjà incendiés par
l'excès de chaleur, éprouvent encore un surcroît de chaleur et de brû-

1. ὑγρῶν Gal. — Ib. τοῦ om. Gal. — 2. ἀεί] ἀλλά Codd. — 3. τοῦτον οὖν τὸν σκ. Gal. — 4. ἄδηκται Codd. — Ib. ἐναρμότΊουσι CV. — 5. δακνώδης B text. C. — 6. αἰονήσεσιν ἢ] εὐπείσεσι BCV. — 7. ἐκεῖνον μόνον τὸν ἄῤῥωσΊον Codd.; ἐπ' ἐκείνων μόνων τῶν ἀῤῥώσΊων Gal. — Ib. ὃν Codd. — 7-8. οὐκέτ' ἀλᾶται περ. Gal. — 9. μέσων τοῦ σώματος Gal. — Ib. ἔνιοι] οὗτοι (i. e. οἱ μεθοδικοί) Gal. — 10-11. ἐσΊὶν.... φλεβοτομηθέντων om. Codd. — 11. τι om. B. — 11-12. ἐν τοῖς συνόχοις Gal. — 12-p. 325, 1. θέρμης Gal.

7 *μαστίας τὰ σπλάγχνα προσεπιδιακαίεται κἀξοπτᾶται. Μόνοι τοι-*
γαροῦν ἐκεῖνοι δεήσονται προνοίας τοιαύτης, οἷς ἡ σῆψις συνέστη ἐν
ἑνὶ μορίῳ, φλεβοτομηθέντες δηλονότι, καὶ οὕτω ποιησόμεθα αὐτῶν
τὴν πρόνοιαν, οὐκ εὐθέως ἐξ ἀρχῆς χαλῶντες, ἀλλὰ πᾶν τοὐναντίον
ἐπὶ τῶν πλείστων ἐργαζόμενοι· Φερομένων γὰρ ἔτι τῶν ῥευμάτων
ἐπὶ τὸ πάθος, ἀποκρούεσθαι βέλτιον καὶ στέλλειν, οὐχ ἕλκειν ἐπὶ
8 *αὐτό. Εἰ δὲ ἥ τε φορὰ παύσαιτο διὰ τῶν ἀποκρουστικῶν, ἥ τε γε-*
νομένη πύκνωσις τοῖς πεπονθόσι κατέχοι τὰ παχύτερα, καιρὸς ἤδη
χαλᾷν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα· μάλιστα δὲ, ὅταν εἰς
ἧπαρ ἢ γαστέρα κατασκήπτῃ τὰ περιττὰ, τοῖς στύφουσι χρῆσθαι·
κύρια ταῦτα γὰρ ἱκανῶς τὰ μόρια, καὶ πάντως ἐργάζεσθαι τὸ σφέ-
τερον ἔργον ἀναγκαῖα κἂν ταῖς νόσοις· ἔστι δὲ οὐ σμικρὸν αὐτῶν

7 lure. Ainsi les seuls malades qui auront besoin de ces *précautions* sont ceux chez lesquels la putréfaction ne s'est développée que dans une seule partie, pourvu toutefois qu'ils aient été saignés; après cela, nous prendrons pour eux ces *précautions;* cependant nous ne recourrons pas immédiatement à cette médecine relâchante, nous ferons même tout le contraire chez le plus grand nombre : en effet, tant que les fluxions se portent encore vers la partie affectée, ce qu'il y a de mieux à faire est de répercuter et de réprimer les humeurs au lieu de les attirer vers cette
8 partie. Mais le temps opportun pour relâcher, dans le but d'évacuer ce qui est contenu dans les parties affectées, ne se présente que lorsque le mouvement des fluxions a cessé par l'effet des répercussifs et que la condensation ainsi produite retient dans ces parties la portion la plus épaisse des humeurs; c'est surtout lorsque les superfluités tombent sur le foie, ou l'estomac, qu'il faut employer des astringents; car ce sont des parties très-importantes, et il est tout à fait indispensable qu'elles remplissent leurs fonctions, même en cas de maladie : en effet, leur fonction est très-

1. *προσέτι διακαίεται* Gal. — Ib. *καὶ ἐξοπτᾶται* Gal. — 2-3. *ἐν ἑνὶ συνέστη μορίῳ* Gal.; *σύνεστιν ἐν ἑνὶ μ.* Codd. — 3. *προφλεβ.* Gal. — Ib. *οὗτοι ποιησ. δέ* Gal. — 5. *φαινομένων* Codd. — Ib. *ἔτι*] *καί* Codd. — 6. *πεπονθός* Gal. — Ib. *βέλτ. ἐστι* Gal. — Ib. *καί* om. BC 1ª m. V. — Ib. *ἀναστέλλειν* Gal. — 7. *αὐτό* Aët.; *αὐτά* Codd., Gal. — Ib. *Ἤδη τε φορᾶς σπεῦσαι ἀποκρουστικόν* Codd. — Ib. *ἥ τε* om. C. — 7-8. *ἐκ τῆς στύψεως ἐγγενομένη* Gal. — 8. *κατέχει* Codd. — 9-10. *ὅταν εἰσὶ περὶ γαστ.* Codd. — 11. *ταῦτα*] *τε* Gal. — Ib. *παντός* BV. — 12. *ἀναγκαῖα κἂν* om. Codd. cum lac. — Ib. *ἐστὶ δους μικρόν* Codd.

τὸ ἔργον, καὶ διὰ τοῦτο περιτΊότερον ἢ τὰ ἄλλα μόρια τῶν σΊυ-
φόντων χρῄζουσιν. Κἀπειδὰν *καιρὸς ᾖ διαφορεῖν τὰ σΊηριχθέντα,* 9
καὶ τότε δεῖται σΊύφεσθαι τὰ μέτρια, ὥσΊε εἰ κἂν ἐλαχίσΊην ποτὲ
ὑπόνοιαν σχοῖς ἥπατος ἢ γασΊρὸς κακοπραγούντων, εὐθέως ἀψίν-
θιον τὸ Ποντικὸν *προαφεψήσας ἐν ἐλαίῳ αἰόνησον τὰ μόρια.* Μὴ *εὐ-* 10
ποροῦντι δὲ ἀψινθίου, μήλινον, ἢ μασΊίχινον, ἢ σχίνινον ἀρκέσει
τὴν πρώτην· εἰ δὲ μικρὸς ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου
μύρον. Καὶ *τῶν ἄλλων δέ τι φαρμάκων ἐμβάλλων εἰς τοὔλαιον, οἷς* 11
ἐπιμέμικται τῇ πικρᾷ ποιότητι δύναμις σΊυπΊική, χρήσῃ κατὰ τὸν
αὐτὸν τρόπον. Ὡσαύτως *δὲ καὶ τὰ καταπλάσματα σύνθετον ἐχέτω* 12
τὴν δύναμιν ἔκ τε τῆς χαλασΊικῆς λεπΊομεροῦς καὶ πικρᾶς καὶ σΊυ-
φούσης. Ἐπικρατείτω *δὲ ἐν αὐταῖς, εἰ μὲν ἀποκρούεσθαι καὶ τόνον* 13
ἐντιθέναι βουλοίμεθα, τὸ σΊῦφον· εἰ δὲ τέμνειν καὶ διαῤῥύπΊειν,

essentielle, et, pour cette raison, elles réclament d'une manière plus
urgente encore que les autres parties l'usage des astringents. Même 9
lorsqu'on est arrivé à l'époque de la maladie où il faut dissiper les ma-
tières enclavées [dans les organes affectés], ces parties ont encore besoin
qu'on y produise un resserrement modéré : donc le plus léger soupçon
d'un mauvais état du foie ou de l'estomac suffira pour engager à faire
immédiatement sur ces parties des affusions d'absinthe du Pont bouillie
dans de l'huile. Si vous n'avez pas d'absinthe à votre disposition, il suf- 10
fira d'employer le premier jour de l'huile de pommes, de mastic, ou
de lentisque; si la fièvre n'est pas considérable, on peut encore recou-
rir à l'huile parfumée de nard. Si vous ajoutez à l'huile quelqu'un des 11
autres médicaments qui ont à la fois de l'amertume et des vertus astrin-
gentes, vous pourrez encore vous en servir de la même manière. Les 12
cataplasmes devront être aussi doués de vertus multiples, lesquelles con-
sistent en des propriétés relâchantes subtiles, dans l'amertume et dans
l'astringence. Si nous voulons répercuter et renforcer, c'est l'astringence 13
qui doit prédominer; si nous voulons exercer un effet incisif et détersif,

1. *τῷ ἔργῳ* BC 1ª m. V. — Ib. *εἰ* BC 1ª m. V. — 2. Ἀμέλει *κἀπειδάν* Gal. — 3. *εἰ* om. Gal. — 4. *σχῇς* Codd. — Ib. *ἥπατος γ.* BV; *ἥπατος γὰρ πρός* C. — 6. *δ' ἂν ἀψ.* CV. — Ib. *σχήνινον* C; *χήνινον* B; *χήνιον* V. — 8. *ἐμβαλών* C Gal.; *εἰσβαλών* V. — 9. *δυνάμει σΊυπΊικῇ* Codd. — Ib. *χρήσει* Codd. — 11-12. *πικρ. σΊυφ.* Codd. — 12. *ἀποκρ. τε καί* Gal. — 13. *βουλόμεθα* Codd.

τὸ πικρόν· εἰ δὲ διαφορεῖν, τὰ λεπτομερῆ τῶν χαλώντων· τὰ γὰρ
14 παχυμερῆ τοῖς ἐκπυήσουσιν ἀπεδείχθη χρήσιμα. Κώλου δὲ πάσχοντος, ἢ τῶν ἄλλων ἐντέρων, ἢ τῶν κατὰ ὑποχόνδρια μυῶν, ἢ περιτοναίου, μικτέον οὐδαμῶς ἐστι τὰ στύφοντα, καθάπερ οὐδὲ κύστεως, ἢ μήτρας, ὅταν γε, ὡς εἴρηται, μήτε ἐπιῤῥέῃ μηθὲν ἔτι, μήτε πλῆθος, ἢ περιττώματα πολλὰ κατὰ ὅλον ὑπάρχῃ τὸ σῶμα.
15 Νεφροὶ δὲ καὶ θώραξ ἐν μέσῳ τῶν εἰρημένων εἰσὶν, ὅσον ἀπολείπονται γαστρὸς καὶ ἥπατος, τοσοῦτον τῶν ἄλλων πλεονεκτοῦντες.
16 Περὶ δὲ τοῦ σπληνὸς οὐχ ἁπλῶς ἀποφήνασθαι δυνατὸν, ἀλλὰ μετὰ τοῦ διορίσασθαι τήν τε φύσιν ὅλου τοῦ σώματος καὶ τὴν ἐν τῷ τῆς θεραπείας χρόνῳ διάθεσιν· εἰ μὲν γὰρ τῇ φύσει τῶν ἀθροιζόντων εἴη περίττωμα μελαγχολικὸν ὁ κάμνων, ἢ κατὰ ἐκεῖνον τὸν χρόνον

l'amertume doit avoir le dessus, et, s'il s'agit de dissiper, les relâchants subtils l'emporteront; car nous avons déjà montré que les relâchants épais
14 sont utiles dans le cas où on veut provoquer la suppuration. Si le colon, ou les autres intestins, ou les muscles de l'hypocondre, ou le péritoine, sont le siége de la maladie, ou bien si c'est la vessie, ou la matrice, il ne faut, en aucune façon, ajouter des astringents [aux fomentations et aux cataplasmes], dès l'instant où, comme nous venons de le dire, il n'y a plus d'afflux du tout, et où le corps ne contient plus de surabondance d'hu-
15 meurs, ou des matières excrémentitielles en grande quantité. Les reins et la poitrine tiennent le milieu entre les deux classes d'organes dont nous venons de parler, car leur importance est inférieure à celle de l'estomac et du foie, dans une proportion égale à la prééminence qu'elles ont sur
16 les autres parties. Quant à la rate, il est impossible de donner une règle simple pour cet organe; on ne peut le faire qu'après avoir déterminé quelle est la nature de l'organisme, et quel est son état au moment où on va appliquer le traitement : en effet, si le malade, par sa nature, rentre dans la classe des gens sujets à l'accumulation des superfluités

2. λεπτομερῆ BV; tenuium partium Ras.— Ib. ἐκπτουσιν C; ἐκπτοῦσιν BV.— Ib. χρήσιμον Codd.; χρηστά Gal.— 3. ἐντέρων τινός Gal.— 4. περιτονέου V; περὶ τοῦ νέου BC.— Ib. ἐστι om. Gal. — 5. ὅταν πως εἴρ. Codd.—Ib. ἐπιῤῥέειν Codd. — Ib. μηδέν Gal.— 6. ὑπάρχει Codd. — 7-8. ὅσον γὰρ ἀπολ. Gal.— 8. τοσούτῳ C. — Ib. πλεονεκτοῦνται Gal.— 9-10. μετ' αὐτοῦ διορμᾶσθαι Codd. — 11. τῇ] ἤτοι Gal. — 11-12. τῶν ἁρμοζόντων ἢ περὶ τὸν μελαγχ. Codd. — 12. ἢ om. Codd.

ὁ τοιοῦτος ἐν αὐτῷ πλεονάζοι χυμὸς, ἀναγκαῖόν ἐσῖιν ἐν τῇ θερα-
πείᾳ τοῦ σπληνὸς ἐπιπλέκεσθαι τὰ σῖύφοντα χάριν τοῦ φυλάτῖεσθαι
τοῦ σπλάγχνου τὸν τόνον· οὕτω γὰρ ἕλξει τε πρὸς ἑαυτὸν τὰ πε-
ριτῖὰ, καὶ καθάρας τὸ σῶμα πάλιν αὐτὸς ἐκκρινεῖ διὰ τῆς γασῖρός.
Εἰ δὲ μηδὲν ὅλως εἴη περίτῖωμα μελαγχολικὸν, ἢ οὐδὲ ὅλως σῖυ- 17
πῖέον, ἢ ὡς ἥκισῖα. Προσέχειν δὲ ἀκριϐῶς τὸν νοῦν οὐ κατὰ τὸν 18
σπλῆνα μόνον, ἀλλὰ καὶ κατὰ τὰ σύμπαντα ἄλλα μόρια, κατὰ ἃ
σήπεται χυμὸς, ὁποῖον μέντοι τῶν συμπῖωμάτων ἐσῖὶ τὸ ἰσχυρό-
τατον, ὁποῖον δέ τι τὸ δεύτερον, ἢ τὸ τρίτον, ἵνα ἐξ αὐτῶν τὴν
διάθεσιν ἀκριϐῶς ἐξευρὼν οἰκείαν αὐτῇ καὶ τὴν θεραπείαν ἁρμόσῃς·
ἐνίοτε μὲν γὰρ ἡ θέρμη κρατεῖ κατὰ τὸ πεπονθὸς, ἐνίοτε δὲ ὄγκος,
ἤτοι διὰ τὸ πλῆθος τοῦ χυμοῦ σκληρὸς, ἢ διὰ τὸ πάχος. Εἰ μὲν 19
οὖν ἡ θέρμη κρατοίη, πειρᾶσθαι διαφορεῖν ἀτρέμα διὰ τῶν χλια-

atrabilaires, ou si, au moment dont il s'agit, cette humeur existe chez lui en excès, il faut faire entrer les substances astringentes dans le traitement de la rate, afin de conserver à cet organe sa tonicité; car, de cette façon, elle attirera à soi les superfluités, et, après avoir purifié le corps, elle les expulsera de nouveau par les selles. Si, au contraire, il n'existe 17
pas la moindre superfluité atrabilaire, on ne resserrera pas du tout, ou, du moins, on ne le fera qu'à un degré très-faible. Mais, soit qu'il s'agisse 18
de la rate, ou de tout autre organe contenant des humeurs en putréfaction, il faut examiner, avec l'attention la plus scrupuleuse, quel est le symptôme prédominant, et quels sont ceux qui viennent en second, ou en troisième lieu, afin que vous puissiez déterminer ainsi, avec exactitude, l'état [de la partie affectée] et y appliquer le traitement convenable; car, dans certains cas, la chaleur prédomine dans la partie affectée, dans d'autres, c'est la dureté de la tumeur, que cette dureté tienne à la surabondance, ou à l'épaisseur des humeurs. Si donc la chaleur a le dessus, 19
on tâchera de produire une douce transpiration à l'aide des substances

1. τοιοῦτος αὐτῷ Codd. — 2. ἐπιπλ. τοῖς ἄλλοις Gal. — 3. ἕλξηται πρός Codd. — 4. ἐκκρίνει Codd. — 5. μηδὲν οὐδὲ ὅλως ἢ Gal. — 5-6. σῖυπῖαιόνιος ἤκ. BC 1ª m. V. — 7. κατὰ σύμπ. τἄλλα Gal. — 9. δέ τοι BV; om. Gal. — Ib. ἵνα] ἦν BV; ἢν C 1ª m. — 10. ἁρμόσεις Codd. — 11-13. κατὰ..... θέρμη om. V. — 11-12. ἐνίοτε... πλῆθος om. BC. — 13. κρατεῖ ἡ BC; ἡ V.

ρὰν ἐχόντων θερμασίαν, οἷόν ἐσῖι τό τε λινόσπερμα καὶ τὸ χαμαίμηλον· ἐπιμιγνύναι δὲ αὐτοῖς ἄλευρον ἐκ κριθῶν, ἢ κυάμων·
20 οὐδέτερον γὰρ αὐτῶν θερμαίνει. Πολλάκις δὲ, ὡς οἶσθα, τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν ἀρτόμελι παρασκευάζοντες εἰς κατάπλασμα τοιαύτης Φλεγμονῆς, ὕδατος ἐμίξαμεν· ἐπὶ δὲ σπληνὸς ἔσῖιν ὅτε
21 καὶ ὄξους. Εἰ δὲ ἡ μὲν θέρμη τοῦ Φλεγμαίνοντος μορίου μὴ πολὺ τοῦ κατὰ Φύσιν ἐξεσῖήκοι, μέγεθος δὲ ἀξιόλογον εἴη, διαφορεῖν θαῤῥοῦντα, χωρὶς ὕδατος ἐπιμιγνύντα τοῖς εἰρημένοις καὶ τῆλιν.
22 Εἰ δὲ οἷον σκιῤῥώδης τις ἡ Φλεγμονὴ τυγχάνοι διὰ πάχος, ἢ γλισχρότητα τῶν ἐν αὐτῇ χυμῶν, ὄξους τε ἅμα καὶ τῶν λεπῖυνόντων μικτέον Φαρμάκων, καὶ μάλισῖα ἐπὶ σπληνός· τὸ γάρ τοι σπλάγχνον τοῦτο διὰ τὸ παχὺν ἐπισπᾶσθαι χυμὸν ἐξ ἥπατος ὑπὸ τοῦ τοιούτου καὶ νοσεῖ τὰ πολλὰ, καὶ διὰ τοῦτο αὐτῷ τὰ διὰ ὀξυμέλιτος καὶ

douées d'une chaleur tiède; telles sont la graine de lin et la camomille; on y mêlera de la farine d'orge, ou de fèves, car aucune de ces deux
20 substances n'est échauffante. Vous savez que souvent, dans le but d'avoir un cataplasme pour une pareille inflammation, nous avons préparé ce que les médecins appellent *pain au miel*, en y ajoutant de l'eau; s'il
21 s'agit de la rate, nous y mettons quelquefois aussi du vinaigre. Si, au contraire, la chaleur de la partie enflammée ne dépasse pas de beaucoup la chaleur naturelle, mais si son volume est considérable, il faut dissiper les humeurs avec hardiesse, en mêlant même aux ingrédients
22 susdits du fenugrec sans y mettre de l'eau. Si, par suite de l'épaississement, ou de la viscosité des humeurs contenues dans la partie enflammée, l'inflammation se rapproche de la nature du *squirre*, on mêlera [aux fomentations et aux cataplasmes] à la fois du vinaigre et des substances atténuantes, surtout quand il s'agit de la rate; en effet, comme cet organe attire les humeurs épaisses du foie, c'est de la présence de ces humeurs que naissent le plus souvent ses maladies; pour cette raison, les cataplasmes préparés avec l'oxymel, l'absinthe et les câpres lui con-

1. λινόσπερμον Gal. — 4. κατασκευάζοντες Codd. — 5. ἐπεμίξαμεν Gal. — 6. μέν om. Gal. — 8. θαῤῥούντως Gal. — 9. σκληρώδεις C. — Ib. ἡ om. Gal. — Ib. τυγχάνοι ex em.; τυγχάνῃ BC; τυγχάνει V; τύχοι Gal. — 9-10. διὰ τὸ π. ἢ τὴν γλ. Gal. — 10. λεπῖυνόντων] πικρῶν Gal. — 11. τοι om. Codd. — 12-13. τοιούτου κενώσει Codd. — 13. τοῦτ' οὖν αὐτὸ τά τε διά Gal.

ἀψινθίου καὶ καππάρεως ἐπιτήδεια καταπλάσματα. Ἧττον δὲ ἐπὶ 23
θώρακος τοῖς στύφουσι χρηστέον· ἀποκρούεται γὰρ εἰς πνεύμονα
καὶ καρδίαν ἐνίοτε τὰ τοιαῦτα τοὺς τὴν φλεγμονὴν ἐργαζομένους
χυμοὺς, ἀλλὰ διὰ τῶν ἐδεσμάτων φυλακτέον αὐτοῖς τὸν τόνον. Πολὺ 24
δὲ δὴ μᾶλλον ἐπὶ πνεύμονος ἀφεκτέον τῶν στυφόντων, ὅπου γε καὶ
τοῖς χαλαστικοῖς μικτέον ἐπὶ αὐτῷ τῶν δριμυτέρων τι καὶ σαφῶς
θερμαινόντων· ἕλκειν γὰρ ἔξω μᾶλλον ἢ ἀποκρούεσθαι προσήκει·
διὸ καὶ σικύαι προκενωθέντων χρήσιμοι. Πληθωρικῶν δὲ ὑπαρχόν- 25
των, οὐ χρώμεθα σικύαις ἐν ἀρχῇ τῶν παθῶν, ὥσπερ οὐδὲ ἐπὶ ἄλ-
λου φλεγμαίνοντος οὐδενὸς, ἀλλὰ ὅταν μήτε ἐπιῤῥέῃ μηδὲν ἔτι, καὶ
προκενώσωμεν ὅλον τὸ σῶμα, χρεία τε γενηθῇ κινῆσαί τι καὶ μο-
χλεῦσαι κατὰ τὸ φλεγμαῖνον, ἢ πρὸς τοὐκτὸς ἐπισπάσασθαι. Γι- 26
νομένων δὲ ἔτι τῶν παθῶν, οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν

viennent particulièrement. Dans le cas d'affection de la poitrine, il faut 23
moins avoir recours aux astringents, car de pareils médicaments rejettent
quelquefois sur le poumon ou sur le cœur les humeurs qui causent
l'inflammation; c'est à l'aide des aliments qu'il faut conserver la tonicité
de ces parties. A plus forte raison devra-t-on s'abstenir des astringents 24
quand il s'agit du poumon; dans ce cas, en effet, on mêlera même aux
substances relâchantes quelqu'un des agents doués d'une certaine âcreté
et d'une vertu échauffante manifeste : en effet, il faut alors plutôt atti-
rer vers l'extérieur que répercuter; pour cette raison les ventouses sont
bonnes après qu'on a opéré une déplétion. Mais, si les malades sont en 25
butte à la pléthore, nous n'employons pas les ventouses au commence-
ment des maladies, pas même lorsqu'il s'agit de l'inflammation de
quelque autre partie; mais nous y avons recours lorsqu'il n'y a plus d'af-
flux du tout, après une déplétion générale de tout le corps, et qu'il y
a nécessité de mettre en mouvement et de soulever quelque matière
contenue dans la partie enflammée, ou d'attirer vers l'extérieur. Si, au 26
contraire, les maladies sont encore en train de se former, il ne faut pas

3. *τούς*] *εἰς* Codd. — 5. *δεῖ* Codd. — Ib. *πνεύματος* C; *πνεύμονος φλεγμαίνοντος* Gal. — Ib. *ἀφεκτέον ἐστὶ* Gal. — Ib. *τὸν στύφοντα* Codd. — Ib. *ὁπότε καί* Codd. — 8. *αἱ σικύαι* Gal. — Ib. *γάρ* C; om. Codd. — 9. *χρησόμεθα* Gal. — 10. *θερμαίνοντος* Codd. — Ib. *ἐπίῤῥεν* CV; *ἐπίρεν* B. — 11-12. *χρεία σοι γένηται κενῶσαί τι καὶ ἐκμοχλ.* Gal. — 12. *τὸ ἐκτός* C; *τὸ οἶκτος* BV. — 12-13. *Γενόμενον δέ τι* Codd. — 13. *οὐχ αὐτοῖς* Codd.

μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιβάλλειν τὴν σικύαν ἀντισπάσεως ἕνεκα· κατὰ τὴν ἀρχὴν δὲ τοῖς ἀποκρουστικοῖς χρηστέον.
27 *Ἐπεὶ δὲ τῶν ὀστῶν τοῦ κρανίου μέσων κειμένων, τὴν δύναμιν αὐτῶν ἐξικέσθαι βουλόμεθα πρὸς τὸ βάθος, μίξομεν τοῖς ἀποκρουστικοῖς τῶν ποδηγεῖν τι δυναμένων, τουτέστι τῶν λεπτομερῶν κατὰ*
28 *τὴν οὐσίαν. Ὄξος μὲν οὖν οὐ μόνον ἐστὶ λεπτομερὲς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀποκρουστικῆς δυνάμεως οὐ μετρίως μετείληφεν, ὅθεν εἰκότως ἐν ἀρχῇ τῶν παθῶν αὐτῷ χρῶνται, ῥόδινον μιγνύντες· ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ καὶ σπονδυλίου καὶ ἑρπύλλου μιγνύουσιν, ἤδη τι καὶ θερμαῖνον ἐχόντων, οὐ μόνον λεπτομερὲς, ᾧ καιρῷ χρὴ μεταβαίνειν ἐπὶ τὰ πέττοντά τε καὶ διαφοροῦντα πλέον ἢ κατὰ τὴν χρείαν τῶν φλεγμαινόντων, ἑκάτερον αἱρούμενοι, ὡς ἂν ἐκλυομένης αὐτῶν τῆς δυνάμεως ὑπὸ τῶν ἐν τῷ μεταξὺ τεταγμένων ὀστῶν.*

appliquer de ventouse aux organes qui commencent à être malades, mais aux parties qui communiquent avec elles pour opérer une révulsion;
27 dans le commencement, au contraire, on emploiera les répercussifs. Si nous voulons que l'efficacité de ces substances pénètre jusqu'à la profondeur, malgré l'interposition des os du crâne, nous mêlons aux répercussifs quelque ingrédient qui puisse leur frayer la route, c'est-à-dire qui
28 ait une substance subtile. Non-seulement le vinaigre rentre dans cette catégorie, mais il est doué aussi, à un degré assez prononcé, de la vertu répercussive; on a donc raison de l'employer dans le commencement des maladies, en y mêlant de l'huile de roses; mais, quand la maladie a déjà duré quelque temps, on y mêle de la berce, ou du serpolet, médicaments qui ne sont pas uniquement subtils, mais qui ont aussi quelque chose d'échauffant; car, dans ce dernier cas, il faut passer à l'emploi des substances qui provoquent la maturation et la perspiration plus fortement qu'il ne convient [rationnellement] aux inflammations; et, si on choisit un de ces deux ingrédients, c'est que leur action est affaiblie par

2. *ἕνεκεν* Gal. — 3. *Ἐπί* Codd. — Ib. *ὀστέων* Codd. — Ib. *μέσον* V; *μέσου* BC. — 4. *ἐπιμίξομεν* Gal. — 8. *τῷ ῥοδίνῳ* Gal. — 10. *ᾧ καιρῷ* ex em.; *ὃ καιρῷ* BC; *ὃ καὶ ῥῷ* V; *ἐν ᾧ καιρῷ* Gal. — 11. *μετακενοῦν* Codd. — Ib. *διαπέττοντα* Gal. — 12. *ἑκατέρων* Codd. — Ib. *αἱρούμεναι* BV; *αἱρούμενον* Gal. — 12-13. *ἑλκομένης* B text. — 13. *ὑπὸ τῶν* om. Gal.

Οὕτω γοῦν καὶ τῷ κασΊορίῳ χρώμεθα, καίτοι γε ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι, κἂν ἐν ἐσχάτῳ τῆς παρακμῆς ὦσιν· θερμότερον γάρ ἐσΊιν ἢ ὡς ταῖς Φλεγμοναῖς ἐπιτήδειον εἶναι, ὑπάρχει δὲ τῷ Φαρμάκῳ τούτῳ καὶ τὸ λεπΊομερὲς τῆς οὐσίας. 29

κβ'. Περὶ ἐμϐροχῶν. Ἐκ τῶν Ἀντύλλου· ἐκ τοῦ α' λόγου τοῦ Περὶ βοηθημάτων.

Matth. 246.

Ἐμϐροχὴ καταπλασμάτων δύναμιν μὲν ἐλάτΊονα ἔχει, χρώμεθα δὲ αὐτῇ παραιτούμενοι τὰ καταπλάσματα, ἤτοι διὰ τὸν καιρὸν, ἢ διὰ τὸν τόπον, ἢ διὰ τὴν δύναμιν, διὰ μὲν τὸν καιρὸν ἐν ἀρχῇ τῶν νόσων παραλαμϐάνοντες ἐμϐροχὰς, ἀκαίρου τηνικαῦτα τῆς χρήσεως τῶν καταπλασμάτων καθεσΊώσης· διὰ δὲ τὸν τόπον ἐπὶ κεφαλῆς ἐμϐροχαῖς χρώμεθα, μὴ πάνυ τι πρὸς τὰ καταπλάσματα εὖ διατιθεμένης· διὰ δὲ τὴν δύναμιν ἐπὶ τῶν ἰσχνῶν, οὐ δυναμένης Φέρειν 1

l'interposition des os. De la même manière nous avons encore recours au castoréum, quoique nous ne nous en servions pas dans les autres cas, même quand la maladie est arrivée à la dernière période du déclin; car cet ingrédient est trop chaud pour qu'il puisse convenir dans les inflammations; il a encore cet avantage que ses particules sont subtiles. 29

22. DES EMBROCATIONS. — TIRÉ D'ANTYLLUS, DU PREMIER LIVRE *SUR LES MOYENS DE TRAITEMENT*.

L'embrocation a moins d'efficacité que les cataplasmes, et nous y recourons quand nous rejetons l'usage des cataplasmes, soit à cause de l'époque de la maladie, soit à cause de la partie affectée, soit enfin à cause des forces : à cause de l'époque de la maladie, quand nous employons des embrocations au commencement, attendu que l'emploi des cataplasmes est alors inopportun; à cause de la partie affectée, dans les affections de la tête, parce que cette partie se prête peu à l'usage des cataplasmes; enfin à cause des forces, quand les gens sont maigres; en effet, quand les forces sont épuisées, on ne peut pas supporter le poids 1

1. οὖν Gal. — 3. ὡς ἐν ταῖς Gal. — 3-4. τῷ τοιούτῳ Φαρμ. Gal. — Ch. 22; l. 10. τι Aët.; τῇ ABCM; τοῖς V. — 10-11. εὖ διατιθεμένης Aët.; εὖ διατιθεμένοις ABCV; εὐδιατιθεμένοις M. — 11. δέ om. AB.

2 τῆς ἀσθενοῦς δυνάμεως τὸ βάρος τῶν καταπλασμάτων. Ἐπιτηδειό-
247 τατον δὲ τὸ χαμαιμήλινον ἔλαιον, μά|λιστα ἐπὶ ὧν οὔπω τέλεον ἡ
κατὰ τὴν κεφαλὴν ὕλη νοσοποιὸς πέπαυται τῆς ἀναφορᾶς· τήν τε
γὰρ οὖσαν ἐν τῇ κεφαλῇ διαφορεῖ καὶ ἑτέραν οὐκ ἐπισπᾶται, ὅπερ
3 οὐκ ἄλλῳ τινὶ συντετύχηκε φαρμάκῳ. Χρὴ δὲ εἰδέναι, ὅτι ἐπὶ τῶν
φρενιτικῶν προσάγειν χρὴ βρέγματι καὶ κροτάφοις, ἀποχωροῦντας
τῆς κορυφῆς καὶ τῶν ὄπισθεν μερῶν· τὰς γὰρ καταψύξεις οὐ φέρει
ταῦτα τὰ μόρια, τῆς ἀρχῆς τῶν νεύρων ἐν αὐτοῖς τυγχανούσης·
τὰς μέντοι θερμαινούσας διαβροχὰς ἐποχετεύειν αὐτοῖς ἀφειδῶς
4 προσήκει. Εἰδέναι δὲ δεῖ ὅτι ὕδωρ μὲν ψυχρὸν καὶ ὀξύκρατον ἐν
σπόγγοις καινοῖς δεῖ παραλαμβάνειν· οἰνέλαιον δὲ ἐν ἐρίοις τοῖς
5 οἰσυπηροῖς· ὁμοίως δὲ καὶ ὑδρέλαιον. Μοτοὶ δὲ πρὸς πάσας τὰς
ἐμβροχὰς οἱ ἐξ ὀθονίων καθαρῶν ἐπιτήδειοι.

2 des cataplasmes. Le médicament le mieux approprié aux embrocations
est l'huile de camomille, surtout quand la matière qui produit une ma-
ladie de la tête n'a pas encore entièrement cessé de se porter en haut;
car cette huile dissipe la matière contenue dans la tête et n'en attire au-
cune autre, propriétés qu'on ne trouve réunies dans aucun autre médi-
3 cament. Il faut savoir que, chez les malades affectés de *phrenitis*, on doit
appliquer les embrocations sur le bregma et aux tempes, en évitant le
sommet et les parties postérieures, car ces parties ne supportent pas le
refroidissement, attendu qu'elles contiennent l'origine des nerfs; mais
il convient d'y faire sans ménagement les embrocations échauffantes.
4 Sachez encore qu'il faut appliquer l'eau froide, ou l'eau vinaigrée avec
des éponges neuves, et le mélange de vin et d'huile, ainsi que celui d'eau
5 et d'huile, en se servant de la laine en suint. La charpie, si elle est faite
avec du linge propre, convient [du reste] pour toute espèce d'embro-
cation.

2. οὔπω τέλεον ex em.; οὔ ποτ' ἔλαιον ABV; οὔποτ' ἔλαιον M; οὔπω τή-λαιον C. — 3. κεφ. ὑπόληνος ὁποῖος Codd. — 8. τυγχανόντων Codd. — 9. ἀποχ. B. — 12. οἰσυπηροῖς ex em. Matth.; ὑπηροῖς ABV; ὑπήροις CM.

κγ'. Περὶ καταιονήσεως, ἀποσπογγισμῶν, προσκλύσματος· ἐκ τοῦ αὐτοῦ λόγου.

Χρώμεθα δὲ καταντλήσει μὲν ὑπὲρ διαβροχῆς σωμάτων, ἤτοι 1
μιμούμενοι τὴν τοῦ λουτροῦ χρῆσιν, ὅταν διά τινα περίσ7ασιν μὴ
|δυνώμεθα λουτρὸν παραλαβεῖν, βουλόμενοι μὲν ὑγρᾶναι τὰ σώματα, 248
οὐ δυνάμενοι δὲ διὰ ἐμβροχῆς τοῦτο ποιῆσαι, οὐ πάνυ δυομένης
εἰς βάθος. Ἀποσπογγισμὸν δὲ παραλαμβάνομεν, ἤτοι τὸν ἐπικεί- 2
μενον ἀποῤῥύψαι προαιρούμενοι ῥύπον, ἢ ἰχῶρα, ἢ αἷμα, ἢ ἐπίπα-
γον, ἢ πύον ἐπιπεπηγὸς, ἢ αὐτὰ τὰ φάρμακα, καὶ τὰ ἐπικεχρι-
σμένα, ἢ δῆξιν, ἢ κνησμὸν ἐνοχλοῦντα τοῖς σώμασιν, ἐπὶ δὲ
προσώπου ῥῶσαι βουλόμενοι καὶ τόνον ἐνθεῖναι. Ὑπὲρ τῆς αὐτῆς 3
δὲ χρείας καὶ τὸ πρόσκλυσμα παραλαμβάνομεν. Καταντλητέον δὲ 4
κεφαλὴν μὲν διὰ ἀγρυπνίας καὶ παρακοπάς. Καὶ σ7όμαχος δὲ καὶ ὑπο- 5
χόνδριον ἐλαίῳ θερμῷ καταντλεῖται· ὁμοίως δὲ καὶ πλευρὰ καὶ

23. DES AFFUSIONS, DE L'USAGE DES ÉPONGES ET DES LOTIONS. — TIRÉ DU MÊME LIVRE.

Nous avons recours aux affusions pour humecter les parties, ou lorsque 1
nous voulons imiter l'effet produit par un bain, si certaines circons-
tances nous empêchent d'en administrer un, c'est-à-dire lorsque nous
voulons humecter les parties et que nous ne pouvons atteindre ce but à
l'aide des embrocations, attendu que cette médication ne pénètre pas
très-profondément. Nous employons des éponges pour enlever la crasse, 2
les liquides séreux, le sang, les croûtes, le pus desséché, les médica-
ments, ou les onctions [qui se trouvent sur la peau], ou bien lorsqu'il
existe soit des picotements, soit un prurit gênant; mais, à la figure, nous
les employons pour renforcer et pour donner du ton. C'est pour pro- 3
duire le même effet que nous avons recours aux lotions. On fera des af- 4
fusions sur la tête dans le cas d'insomnie ou de délire. On fait aussi des 5
affusions d'huile chaude sur la région de l'orifice de l'estomac et sur les

Ch. 23. Tit. ἀπογογγυλ. Ind. Codd.; γογγυλ. Ind. M. — 3. δυνάμεθα Codd. — 6. ἀποψύξαι CM text. — 9. προσώπου ῥῶσαι ex em.; προσώπῳ ῥῶσαι M; προσωπορῶσαι AC; πρόσω πορῶσαι BV. — 11. ἀγρυπνίαν C.

Matth. 248-249.

6 ῥάχις καὶ κύστις. Τετανικούς τε καὶ ἰσχιαδικοὺς ἐλαίῳ θερμῷ
καταντλητέον· σκέλη δὲ τῶν χρονίως καὶ καταξήρως πυρεσσόντων,
καὶ εἴ τι μὴ ἐφιδροῖντο ὅλως, ἢ μετὰ τοὺς ἱδρῶτας ἀπεξηραμμένων,
7 ὑδρελαίῳ. Καὶ μεταγωγῆς δὲ χάριν καταιονήσομεν τὰ σκέλη ὕδατι
πολλῷ, ἢ ὑδρελαίῳ, καὶ πλανωμένην δὲ ὕλην κατασχεῖν ἐν ἀκυ-
ροτέροις βουλόμενοι μορίοις· τηνικαῦτα δὲ θερμοτέρῳ χρώμεθα
249 μέχρι δήξεως, | καὶ μέτρον ποιούμεθα τῆς καταντλήσεως τὸ ἐρύ-
8 θημα καὶ τὸ οἴδημα. Καταντλοῦμεν δὲ καὶ, εἴτε φλεγμονὰς λῦσαι
9 βουλόμενοι, ἢ ἀποστήματα θᾶττον μεταβάλλειν εἰς πύον. Προσ-
κλύσματι δὲ χρώμεθα ἐπὶ προσώπῳ ἐν μὲν καύσοις πυρετοῖς θέ-
ρους μὲν ὕδατι γαλακτώδει, χειμῶνος δὲ θερμοτέρῳ, καὶ μάλιστα
10 εἰ κεφαλὴ τύχοι ἀπαθὴς εἶναι. Φυλακτέον δὲ τὸν ἐγχρονισμόν· κα-
11 ταφορᾶς γὰρ καὶ ψύξεως κινδυνώδους κατάρχει. Ἀντιφυσᾶν δὲ δεῖ

6 hypocondres, ainsi que sur les côtés, l'épine du dos et la vessie. On
prescrira des affusions d'huile chaude aux malades affectés de téta-
nos ou de sciatique; mais on fait des affusions d'huile et d'eau sur les
jambes dans les fièvres très-sèches et de longue durée, soit que les
malades n'aient pas de sueur consécutive du tout, ou que la peau se des-
7 sèche après la sueur. Nous ferons encore des affusions abondantes d'eau,
ou d'huile et d'eau sur les jambes pour déplacer les humeurs, ou pour
retenir une matière errante dans des parties moins importantes; mais,
dans ce cas, les affusions doivent être chaudes jusqu'au point de pro-
duire des picotements; alors, quand il se manifeste de la rougeur et de la
8 tuméfaction, nous cessons l'affusion. Nous faisons encore des affusions,
soit pour résoudre des inflammations, soit pour accélérer la suppuration
9 des abcès. Dans les fièvres ardentes, nous employons des lotions sur la
figure; nous les faisons, en été, avec de l'eau à la température du lait
récemment trait, et, en hiver, avec de l'eau plus chaude, surtout quand
10 la tête est exempte d'affections. Mais il faut éviter d'insister pendant
longtemps sur les lotions, puisque cela amène le *cataphora* et un refroi-
11 dissement dangereux. On soufflera avec la bouche sur la partie où on

3. μὴ ἐφιδροῖντο ex em. Matth.; μὴ ἐφιδροῦντο C; μοι ἐφίδρυντο ABMV. — 4. καταιωνίσαμεν C. — 11. μέν om. ABCV. — 12. εἰ καὶ (ἢ?) κεφαλή (-ήν V.) ACMV. — Ib. ἐγχρονισμόν Aët.; ἐχθρονισμόν ABCM text.; ἐκθρονισμόν V. — 13. γάρ Aët.; τε Codd. — Ib. κατάρχει Aët.; κατ' ἀρχήν Codd.

τὸν προσαντλούμενον τῷ στόματι ὑπὲρ τοῦ μὴ πληχθῆναι ὑπὸ τῆς
προσαντλήσεως, ἀλλὰ ἀντερείδειν πρὸς τὰς πληγὰς διὰ τῆς ἀντι-
βάσεως τοῦ πνεύματος. Ὑποκείσθω δὲ σπόγγος ἀνθερεῶνι ξηρὸς 12
πρὸς τὸ μὴ καταῤῥεῖν ἐκ τῆς καταιονήσεως εἰς τὸ στέρνον. Ἐνίοτε 13
δὲ καὶ ὀξύκρατον θερμὸν δοκιμάζομεν εἶναι τὸ πρόσκλυσμα, μά-
λιστα ἐν πυρετοῖς ἁπλουστέροις καὶ οὐδὲν κακότροπον ἔχουσιν. Ἐπὶ 14
δὲ ὀφθαλμῶν ῥευματιζομένων χρώμεθα στροβίλου | αὐτοῦ τοῦ κώ- 250
νου τεθλασμένου ἀφεψήματι· ἐπὶ δὲ τῶν χειμερινῶν περὶ τοὺς
ὀφθαλμοὺς ἰσχυρᾶς (?) καὶ χημώσεως τήλεως ἀφεψήματι τῆς λευκῆς·
χρὴ δὲ ἀφεψήσαντα δὶς ἢ τρὶς τὴν τῆλιν καὶ τὰ πρῶτα ἀφεψήματα
ἀποχέοντας οὕτω τῷ τελευταίῳ προσαντλεῖν. Ὁ δὲ ἀποσπογγισμὸς 15
ὕλης μὲν τῆς αὐτῆς τῷ προσκλύσματι παραλαμβάνεται· καὶ γὰρ
δύναμιν ὁμοίαν ἔχει. Ὑπὲρ δὲ τοῦ νίψαι καὶ ἀποῤῥύψαι σπόγγον 16
ἀποτεθλιμμένος ἐξ ὕδατος θερμοῦ ἐπιτηδεύεται, ἐνίοτέ τινες καί τι

applique les affusions, afin qu'elle ne soit pas engourdie par le choc du
liquide, mais qu'elle y résiste, ce choc étant atténué par l'impulsion
contraire du souffle. On placera une éponge sèche sous le menton, afin 12
que le liquide ne s'écoule pas sur la poitrine. Nous sommes d'avis de 13
faire quelquefois des lotions d'eau vinaigrée chaude, surtout dans les
fièvres simples qui n'ont aucun mauvais caractère. Dans les fluxions des 14
yeux, nous employons une décoction de pignons doux écrasés; mais,
dans les affections hivernales des yeux et aussi dans le chémosis intense,
nous avons recours à la décoction de fenugrec blanc; on fera bouillir deux
ou trois fois le fenugrec, on jettera les premières décoctions et on fera
l'affusion avec la dernière. Les mêmes matières qui servent pour les lo- 15
tions servent aussi quand on a recours aux éponges; car les lotions et
l'emploi des éponges ont la même efficacité. Dans le but de laver et de 16
nettoyer l'éponge, on a besoin de la presser dans l'eau chaude; on
emploie parfois aussi à cet effet quelque drogue détersive qu'on fait dis-

1. πλησθῆναι Codd. — 3. σπόγγος ἀθερεῶνι M marg.; σπόγγοις ἀνθεραίων ἢ M text.; σπόγγοις ἀθεραίων ἢ ABCV. — 6. οὐδέ C. — 10. ἀφεψήσαντα..... πρῶτα om. A 1ª m. — Ib. τήν om. B. — 11. χέοντας C. — 14. ἀποτεθλιμμένον Codd. — 14-p. 337, 1. ἐνίοτέ τινες καί τό Codd.

Matth. 250-251.

ῥυπ7ικὸν φάρμακον, ἤτοι τῷ ὕδατι ἐνδιειμένον, ἢ πρὸ τοῦ ἀπο-
σπογγισμοῦ ἔχριον· νῦν τὸ νίτρον, ἢ ἀφρόνιτρον, ἐπὶ τοιούτῳ,
17 καταχρίομεν. Πυρεσσόντων δὲ, ἐπὶ τῶν ὀφειλόντων ἀποσπογγί-
ζεσθαι ὕδατι ψυχρῷ, κατὰ τὰς ἐπιδόσεις παραιτούμεθα· ἐν δὲ ταῖς
18 ἀκμαῖς ἢ καὶ παρακμαῖς τεθαῤῥηκότως παραλαμβάνομεν. Δεῖ δὲ
καὶ τοὺς παρὰ τὰ ὦτα μῦς προχρίειν ἐλαίῳ, καθιέναι δὲ καὶ εἰς
τοὺς ἀκουσ7ικοὺς πόρους καὶ εἰς τοὺς μυκτῆρας ἔλαιον ὑπὲρ τοῦ μὴ
19 ψύχεσθαι· Ἀρχιγένης δὲ ἀξιοῖ καὶ τὸ σ7έρνον. Ἐν ἀκαίροις δὲ εἰς
251 | ὕπνον καταγωγαῖς τὸ πρόσωπον ἀποσπογγίζομεν, νίτρον εἰς τὸ
20 ὕδωρ τήκοντες. Ὅλον δὲ ἀποσπογγίζομεν τὸ σῶμα ἐν καταξήροις
καὶ καυσώδεσι πυρετοῖς διὰ ὑδρελαίου, παραμείναντες τὴν σ7άσιν
τῶν παροξυσμῶν.

κδ'. Περὶ καταπλασμάτων· ἐκ τοῦ αὐτοῦ λόγου.

1 Ὅσαι τῶν φλεγμονῶν μήτε πρὸς ἐμβροχὰς ἔχουσιν ἐπιτηδείως,

soudre dans l'eau, ou dont on enduit l'éponge avant de s'en servir :
actuellement nous l'enduisons, dans ce but, de soude brute ou d'*a-*
17 *phronitron.* Si les malades ont de la fièvre, et si leur état réclame l'ap-
plication de l'eau froide à l'aide d'éponges, nous nous refusons à ce
traitement pendant l'augment, tandis que nous l'employons sans aucune
18 crainte pendant l'acmé et pendant le déclin. On oindra préalablement
aussi les muscles voisins de l'oreille avec de l'huile, et on en injectera
dans le conduit auriculaire et dans le nez pour éviter le refroidisse-
19 ment; Archigène est d'avis d'en oindre aussi la poitrine. Quand il y a
une propension inopportune au sommeil, il faut laver la figure avec des
20 éponges trempées dans de l'eau où on a dissous de la soude brute. Dans
les fièvres ardentes et très-sèches, nous lavons tout le corps avec des
éponges imbibées d'huile et d'eau, en attendant que les paroxysmes
soient apaisés.

24. DES CATAPLASMES. — TIRÉ DU MÊME LIVRE.

1 Les cataplasmes conviennent surtout aux inflammations qui ne se

1. τοῦ ὕδατος ἐνδιημένου Codd. — 2. χριομένου τὸ νίτρον ἀφῶν τινι τοιούτῳ Codd. — 11. παραμέναντες C; παραμόνοντες ABV.

μήτε ἐμπλάσ7ροις ἤδη καὶ κατακλύσμασιν ἐπακούειν δύνανται, τρυ-
Φερώτεραι τῆς τούτων ἐπιϐολῆς τυγχάνουσαι, ταύταις μάλισ7α ἐπι-
τήδεια τὰ καταπλάσματα. Τῶν καταπλασμάτων τὰ μὲν θερμαίνει 2
καὶ διαφορεῖ, τὰ δὲ ψύχει καὶ σ7ύφει καὶ ἀποκρούεται. Σκευάζεται 3
δὲ αὐτῶν τὰ μὲν ἄνευ ὕδατος, καὶ τὰ μὲν αὐτῶν ἄνευ ἑψήσεως, τὰ δὲ
ἑφθὰ γίνεται· καλεῖται δὲ τὰ ἄνεφθα μακτά. Καὶ τῶν μὲν μακτῶν ὅρος 4
ἐσ7ὶ τῆς σκευασίας ἱκανῶς λελειῶσθαι καὶ ἡνῶσθαι καὶ ἀμόλυντα
εἶναι καὶ μὴ περιῤῥεῖν· τῶν δὲ ἑφθῶν οὐκ ἔσ7ι μέτρον τὸ μὴ μο-
λῦναι· δυνατὸν γὰρ ἂν τοῦτο γενέσθαι διὰ τὸ πλῆθος τῶν ἐμϐαλ-
λομένων ξηρῶν ἐν τῷ ὑγρῷ, ἀλλὰ τὸ τὰς δυνάμεις, χυθέντων τῶν
ξηρῶν, ἀναμιχθῆναι καὶ ἑνωθῆναι. Χρώμεθα δὲ ποικίλοις κατα- 5
πλάσμασι, τῆς τε | τῶν τόπων διαφορᾶς ἐπιζητούσης, τῶν τε παθῶν 252
οὐ πάντων, οὐδὲ ἐν παντὶ καιρῷ τοῖς αὐτοῖς χαιρόντων καταπλά-

prêtent pas très-bien aux embrocations, et qui ne peuvent céder aux em-
plâtres ou aux affusions, parce qu'elles sont trop délicates (?) pour pou-
voir supporter ces moyens de traitement. Parmi les cataplasmes, les uns 2
réchauffent et dissipent, les autres refroidissent, resserrent et réper-
cutent. Quelques-uns sont faits sans eau; on prépare les uns sans les 3
cuire, et les autres en les soumettant à la coction; on appelle cata-
plasmes pétris les cataplasmes qui ne sont pas cuits. La préparation des 4
cataplasmes pétris est achevée, lorsque les ingrédients qui les composent sont bien mélangés et sont devenus impalpables, lorsqu'ils ne tachent pas le doigt et ne coulent pas; mais, pour les cataplasmes cuits, ce n'est pas une raison de regarder la préparation comme achevée quand les ingrédients ne tachent plus; car cela peut tenir à la grande quantité des ingrédients secs qu'on a mis dans le liquide; on reconnaît que la préparation est achevée à ce signe que les ingrédients secs, étant devenus coulants, les médicaments qui composent ces cataplasmes se sont mêlés et
unis. Nous employons des cataplasmes variés, parce que la différence des 5
lieux affectés l'exige, et que ni toutes les maladies, ni toutes les époques de la même maladie, ne requièrent l'emploi des mêmes cataplasmes.

1. *καί* om. V. — Ib. *καταπλάσμασιν* ABMV. — 2. *ταῖς* CM. — Ib. *ἐπιϐολαῖς* Codd. — Ib. *τυγχάνουσαι.* Après ce mot le reste du chap. manque dans B qui a *ἐλλείπει ἓν φύλλον.* — 3. *μέν* om. C 1ª m. — 10. *ἄλλο τό* Codd.

Matth. 252.

6 σμασιν. Εὐθὺς μὲν οὖν χρώμεθα πρὸς τὰς κοινὰς τῶν ὑποχονδρίων
φλεγμονάς· ἔσ7ι δὲ τῶν ἑφθῶν προχειρότατον τὸ κοινόν· ὠμήλυσιν
δὲ αὐτὸ καλοῦμεν, εἰς ὕδωρ ἐμπάσσοντες λινόσπερμόν τε καὶ γῦριν
7 καὶ ἐπιχέοντες μετὰ τὴν ἕψησιν ἔλαιον. Καὶ, ἐὰν μὲν ὑγρᾶναι θέλω-
μεν τὰ ὑποχόνδρια, κατάξηρα ὄντα, χρώμεθα γύρει· ἐὰν δὲ μαλάξαι,
ἀντὶ ταύτης ἄρτον ἐμπλέκομεν τῷ λινοσπέρμῳ· ἐὰν δὲ θερμᾶναι
σφοδρότερον, κρίθινον τῷ λινοσπέρμῳ συμπλέκομεν· ἐὰν δὲ θερ-
μᾶναι καὶ ξηρᾶναι, τῆλιν· ἐὰν δὲ θερμᾶναι καὶ προσδιαφορῆσαι,
8 πίτυρα. Ἐμπνευματώσεως δὲ ἐνοχλούσης τὰ ὑποχόνδρια, λινόσπερ-
μον μετὰ κυμίνου παραπλησίως ἑφθόν· σ7ομάχου δὲ ἐκλυομένου,
ἄλφιτα ἄναλα ἔσ7ω ἔμπλασμα· ἀνορεκτοῦντος καὶ ἀτονοῦντος, ἀψιν-
θίου κόμη προαφεψέσθω, καὶ εἰς τὸ ἀφέψημα ἐμπασσέσθω ἄλφιτα.
9 Ἐπὶ τῶν σφόδρα τρυφερῶν καὶ οὐδὲ αὐτὰ τὰ ξηρὰ ἐμβάλλομεν,

6 Ainsi on emploie d'abord des cataplasmes contre les inflammations ha-
bituelles des hypocondres; or, parmi les cataplasmes cuits, celui qu'on
se procure le plus facilement est le cataplasme commun; on l'appelle
omelysis; [on le fait] en jetant de la graine de lin et de la farine fine dans
de l'eau et en versant de l'huile sur ces ingrédients, après les avoir fait
7 bouillir. Si nous voulons humecter les hypocondres, quand cette région
est très-sèche, nous employons de la farine fine; si nous voulons les ra-
mollir, nous ajoutons à la graine de lin du pain au lieu de farine; si
nous voulons échauffer plus fortement, nous ajoutons du pain d'orge
à la même graine; si on veut à la fois échauffer et dessécher, on y met
du fenugrec; enfin, si on veut échauffer et favoriser la perspiration, on
8 y met du son. Si les hypocondres sont fatigués par un développement
de gaz, le cataplasme doit se composer de graine de lin et de cumin,
cuits comme il a été dit plus haut; si l'orifice de l'estomac est affaibli,
le cataplasme se composera d'*alphiton* sans sel; mais, si cette partie est
relâchée, et si cette affection entraîne un défaut d'appétit, on fera bouillir
d'abord des feuilles d'absinthe et on jettera ensuite l'alphiton dans la
9 décoction. Chez les malades très-délicats, nous n'employons pas pour le
cataplasme des ingrédients secs en nature, tels que la graine de lin,

2. ὀμήλυσιν Codd. — 5. δέ] τε M. — 8. δέ om. M. — 10. ἑφθῷ Codd. — 12. προαφεψείσθω Codd. et ainsi souvent.

οἷον λινόσπερμον, ἢ γῦριν, ἢ τῆλιν, | ἀλλὰ ἀφεψήσαντες αὐτὰ εἰς 253
λιπαρὸν μελίκρατον, τὰ ἀφεψήματα διηθήσαντες ἐκχέομεν, κἄπειτα
μέχρι συσῖάσεως ἕψομεν οὕτως· ἵνα δὲ ἐν πυρετῷ, διηθουμένην
γῦριν ἐν ὀξυμέλιτι παραπλησίως. Σομφὸν δὲ οἴδημα ἔχοντας κυα- 10
μίνῳ ἀλεύρῳ σὺν Αἰθιοπικῷ κυμίνῳ· ἐσκιῤῥωμένον δὲ τῷ διὰ σύκων.
Σκευάζεται δὲ οὕτως· κόπῖεται τὰ σῦκα χωρὶς τῶν κεγχραμίδων, εἶτα 11
ἐν οἴνῳ γλυκεῖ λεανθέντα ἕψεται, νίτρου λείου συμπλακέντος ὀλίγου.
Εἰ δὲ σφόδρα σπλὴν ἐσκιῤῥῶσθαι τύχοι, σὺν ὀξυμέλιτι τὰ σῦκα 12
ἕψεται. Ἥπατι δὲ φλεγμαίνοντι τῆλις κατάλληλος ἐν μελικράτῳ 13
ἑφθὴ καὶ ἄρτος σὺν λινοσπέρμῳ· βέλτιον δὲ καὶ ἠρυγγίου σπέρμα
συμμιχθέν. Πρὸς δὲ τὰς τῶν ἐντέρων φλεγμονὰς τὸ διὰ λινοσπέρ- 14
μου καὶ γύρεως, πρὸς δὲ ῥευματισμοὺς ἐντέρων τὸ διὰ κέγχρου,
πρὸς δὲ κύσῖιν λινόσπερμα μετὰ λιβανωτίδος, πρὸς δὲ αἰδοῖα τὰ

la farine fine, ou le fenugrec, mais nous les faisons bouillir dans de
l'eau miellée très-chargée, ensuite nous passons la décoction au tamis
et nous la transvasons pour la faire bouillir de nouveau, jusqu'à ce
qu'elle ait acquis de la consistance; quand il y a de la fièvre, nous em-
ployons de la farine fine, préparée avec de l'oxymel, que nous passons
au tamis de la même manière. Quand il existe [aux hypocondres] une 10
tuméfaction qui a la consistance d'une éponge, nous faisons un cata-
plasme de farine de fèves avec du cumin d'Éthiopie, et, quand le gon-
flement est de la nature du *squirre*, nous avons recours au cataplasme
de figues. On le prépare de la manière suivante : piler les figues sans 11
les pepins, ensuite les triturer et les faire bouillir dans du vin d'un goût
sucré, en y mêlant un peu de soude brute triturée. Si la rate est affectée 12
d'une tumeur *squirreuse* très-prononcée, on fait bouillir les figues dans
du vinaigre miellé. Contre l'inflammation du foie on a recours au fenu- 13
grec, ou au pain cuit, avec de la graine de lin dans de l'eau miellée; il
vaut mieux encore y mettre de la graine de panicaut. Le cataplasme de 14
graine de lin et de farine fine convient contre les inflammations des in-
testins, celui du petit millet contre les fluxions de ces organes, celui de
graine de lin combinée avec de l'armarinte contre les affections de la vessie;

3. *διηθουμένην* conj.; *διηκούμενον* A; — 5. *τό* Codd. — 6. *κεχραμίδων* Codd. *τὸ διηκούμενον* V; *τὸ διοικούμενον* CM. — 7. *ὀλίγον* ACV. — 8. *ἐσκληρῶσθαι* C.

μὲν λιπαρὰ ἀνεπιτήδεια, τὰ δὲ στύφοντα κατάλληλα, οἷόν ἐστι τὸ
διὰ σιδίων· δεῖ δὲ τὰ σίδια ξηρὰ κοπέντα ἐμπάσσεσθαι οἴνῳ καὶ
15 συμπλέκεσθαι αὐτοῖς κηκῖδα λείαν. Ἀγαθὸν δὲ καὶ τὸ διὰ φακῶν
κατάπλασμα, ἑψομένου τοῦ φακοῦ σὺν ὕδατι, ἔπειτα λεαινομένου
16 καὶ μέλιτι συναναλαμβανομένου. Ἁρμόσει δὲ ἐπὶ τῶν αἰδοίων καὶ
254 τὸ διὰ ἀλφίτων ἄναλον ἑφθὸν ἐν οἴνῳ κατάπλασμα· πρὸς | δὲ τὰ
ὑδρωπικὰ οἰδήματα ἀσταφὶς ἐκγεγιγαρτισμένη λεία μετὰ σύκων λι-
παρῶν ἐν μελικράτῳ ἑψηθεῖσα· προσπλέκεται δὲ τῷ καταπλάσματι
17 τούτῳ καὶ αἰγεία κόπρος πρὸς ξηρασίαν. Καὶ μᾶλλον ὀνίνησιν
[εἰ] ἐντέτριπται καὶ γύψος παλαιά, μάλιστα ἐκ τῶν πεπαλαιωμέ-
νων τῷ χρόνῳ κονιαμάτων λεία σὺν τοῖς σύκοις καὶ νίτρῳ ἐρυθρῷ ἐν
οἰνομέλιτι ἑψηθεῖσα· ὀσχέου δὲ καὶ διδύμου φλεγμαινόντων, ἐπὶ μὲν
χειρουργίας καὶ ἄλλοις προδήλοις αἰτίοις τὰ κοινὰ καταπλάσματα·

mais, contre les affections des parties génitales, les cataplasmes gluants ne
sont pas bons; dans ce cas on doit recourir aux cataplasmes astringents,
comme celui d'écorce de grenade; il faut piler cette écorce à l'état sec,
15 la jeter dans du vin et y mêler des noix de galle triturées. Le cataplasme
de lentilles n'est pas mauvais non plus, pourvu qu'on fasse bouillir les len-
tilles dans de l'eau, qu'on les triture ensuite et qu'on les incorpore dans
16 du miel. Le cataplasme d'*alphiton* sans sel, cuit dans du vin, convient
aussi contre les affections des parties génitales; mais, contre les tumeurs
hydropiques, il faut se servir de raisins secs triturés, dont on a ôté les
pepins, et qu'on fait bouillir dans de l'eau miellée avec des figues grasses;
on met aussi de la fiente de chèvre dans ce cataplasme pour le rendre
17 desséchant. Il agit encore beaucoup plus efficacement, si on broie exac-
tement, avec des figues et de la soude brute rouge, du vieux gypse,
surtout quand on le prend sur de vieux enduits de murailles, et si on
fait bouillir le tout dans du vin miellé; dans les inflammations du scro-
tum et des testicules, on se sert du cataplasme commun, lorsque cette
inflammation tient à une opération chirurgicale, ou à quelque autre cause

3. φακῶν ex em.; φοκὸν (sic) A; φακοῦ CMV. — 7. ἐκγιγαρτισμένη ACV; ἐγγιγαρτισμένη M. — Ib. λείαν M; λίαν AC. — Ib. πρὸς ξηραλίαν AC 1ª m. M.; λεῖα V. — 9-10. ὀνίν. τετηρηται Codd. — 11. καταπλασμάτων Codd. — Ib. λίαν ACM. — 12. ὀσχέου ex em.; ἰσχίου Codd. — Ib. διδύμου] αἰδοίου V.

ἐπὶ δὲ ταῖς αὐτομάτοις μετὰ οἰδήματος Φλεγμοναῖς κυάμινον ἄλευ-
ρον μετὰ σΊαφίδος λιπαρᾶς ἑφθὰ ἐν μελικράτῳ. Ἐνίοτε δὲ ἐρεγμὸν 18
ἑψήσαντες λεαίνομεν, μετὰ τοῦτο σὺν μέλιτι καὶ κυμίνῳ καταπλάσ-
σομεν. Τὰς δὲ μερικὰς Φλεγμονὰς ἄρτῳ ἑφθῷ ἐν μελικράτῳ παρη- 19
γοροῦμεν. Εἰ δὲ πυρετώδεις εἶεν αἱ Φλεγμοναὶ, ψύχοντα ἀφεψήματα 20
λαβόντες, εἰς ἐκεῖνα τὸν ἄρτον ἐμπάσσομεν, οἷον ἀρνογλώσσου,
πολυγόνου· εἰ δὲ ῥεῦμά τι εἴη, καὶ τῶν σΊυφόντων, ῥοῦ, βά|του, 255
σΊρύχνου, σιδίων, κηκῖδος. Ἐπὶ δὲ τῶν ἀντιτύπων καὶ σκληρῶν 21
Φλεγμονῶν εἰς ἀφέψημα μαλάχης, ἢ τήλεως, ἢ λινοσπέρμου τὸν
ἄρτον ἐμβάλλομεν. — Τὰ δὲ ἄνυδρα καταπλάσματα σκευάζεται μὲν 22
ἐκ μέλιτος καὶ τερεβινθίνης, ἢ καὶ ἀμφοτέρων· δεῖ δὲ προεψήσαντας
τὸ μέλι καὶ τὴν ῥητίνην οὕτως ἐμπάσσειν τὰ ξηρὰ ἐπὶ τούτων, ᾗπερ
ἐπὶ τῶν ὑγρῶν καταπλασμάτων· ἐν μὲν γὰρ τοῖς ὑγροῖς ἀνίεται·

manifeste; mais, lorsqu'elle est spontanée et accompagnée de tuméfaction, on se sert de farine de fèves combinée avec des raisins secs gras, le
tout cuit dans de l'eau miellée. Quelquefois nous avons fait bouillir et tri- 18
turé des fèves écrasées et nous en avons fait un cataplasme avec du miel
et du cumin. Nous calmons les inflammations partielles avec du pain 19
cuit dans de l'eau miellée. Si ces inflammations sont accompagnées de 20
fièvre, nous prenons quelque décoction refroidissante, comme celle de plantain, ou de renouée, pour y mettre le pain; s'il y a quelque fluxion, nous avons aussi recours aux décoctions astringentes, comme celles de sumac, de ronce, de morelle, d'écorce de grenades, de noix de galle.
Dans le cas d'inflammations dures et rénitentes, nous mettons le pain 21
dans une décoction de mauve, de fenugrec, ou de graine de lin. — On 22
prépare les cataplasmes sans eau avec du miel, de la résine de térébenthinier, ou avec ces deux ingrédients à la fois; pour ces cataplasmes, on fait d'abord bouillir le miel et la résine, et on y met ensuite les substances sèches, de la même manière que pour les cataplasmes humides : dans ce cas, en effet, les substances sèches se dissolvent dans les substances

1. τοῖς Codd. — 1-2. κυαμίνων ἀλεύρων Codd. — 2. ἐρευγμόν Codd. — 3-4. καταπάσσομεν V. — 4. ἄρτον ἑφθόν Codd. — 6. ἐκεῖνον Codd. — Ib. ἐμπλάσσομεν V. — 8. σΊρύχνους ἡδείων AC; σΊρύχνου ἡδείων V. — Ib. κηκῖδος, ῥοός Codd. — 10. Τὰ δὲ ἄνύδρα] Avant ces mots les mss. ont en titre Περὶ ἀνύδρου καταπλάσματος — 11. ἢ om. C. — 12. εἴπερ Codd.

ἐπὶ δὲ τῶν ἀνύδρων οὐδὲν κατὰ τὴν ἕψησιν εὐαφέστερα, οὐδὲ μαλα-
23 κώτερα γίνεται. Ἔτι κἀκεῖνο ἄξιον ἐγνωκέναι, διότι τὰ μὲν ὑγρὰ
ἑψήσεως χρείαν ἔχει μετὰ τὸ ἐμβληθῆναι τὰ ξηρὰ, τὰ δὲ ἄνυδρα
αὐτάρκως προηψημένῳ τῷ μέλιτι καὶ τῇ ῥητίνῃ ἐπιπάσσειν προσή-
κει, καὶ μηκέτι μετὰ τὸ ἐμπάσαι καθέψειν· φρύγεται γὰρ, καὶ
24 ἀφανίζεται τῶν ξηρῶν ἡ δύναμις ἐν τῷ μέλιτι. Τὸ δὲ λίπος ἐπιχεί-
25 σθω τοῖς ἀνύδροις αἰρομένοις ἐκ τοῦ πυρός. Ἁρμόζει δὲ τὰ ἄνυδρα
τοῖς, ἐπὶ ὧν ψύξιν εὐλαβούμεθα, ἢ ἀνυγρᾶναί τινα φυλασσόμεθα
256 προσμόνως, [καὶ] εἰ ἐπὶ πολὺν χρόνον θερ|μᾶναι βουλόμεθα, ἢ
26 ἀναξηρᾶναι καὶ στῆσαι ῥεῦμα προαιρούμεθα. Μάλιστα μὲν οὖν συνε-
χέστατα χρώμεθα τοῖς ἀνύδροις ἐπὶ ὑποχονδρίων ἔν τε πυρετοῖς καὶ
ἄνευ πυρετῶν· ἔστι μὲν γὰρ τὰ ὑγρὰ καταπλάσματα τῶν ἀνύδρων
εὐτονώτερα ἐν τῇ πρὸς ὀλίγον καιρὸν ἐπιθέσει· τὸ γὰρ ὑγρὸν τὸ

liquides; mais, dans les cataplasmes sans eau, les substances sèches ne deviennent en aucune façon ni plus douces au toucher, ni plus molles
23 pendant la coction. On doit encore noter que les cataplasmes humides ont besoin d'être cuits après qu'on y a mis les ingrédients secs, tandis que, pour les cataplasmes sans eau, on doit ajouter les ingrédients secs à du miel et à de la résine, qu'on a fait auparavant bouillir suffisamment; on ne doit plus faire bouillir le cataplasme après cette addition, car il serait brûlé, et les propriétés des ingrédients secs disparaîtraient dans le
24 miel. On versera l'huile sur les cataplasmes sans eau au moment où on
25 les ôte du feu. Les cataplasmes sans eau conviennent aux malades chez lesquels nous avons peur d'un refroidissement, ou chez lesquels nous craignons d'humecter sans interruption certaines parties; ils conviennent aussi quand nous voulons échauffer pendant un long espace de temps,
26 ou tarir et arrêter quelque fluxion. C'est donc surtout pour les hypocondres [parties sur lesquelles les cataplasmes doivent séjourner] que nous recourons le plus habituellement aux cataplasmes sans eau, qu'il s'agisse d'une fièvre, ou d'une maladie apyrétique : car les cataplasmes humides sont plus efficaces que les cataplasmes sans eau, si on ne doit les appliquer que pendant un court espace de temps : en effet, le liquide

2. Ἔτι] Ἐκεῖ C. — 3. ἐκβληθῆναι ACM text. V. — 6. λίπος AM marg.; λῖνος CM text.; λινόσπερμα A 2^a m. C 2^a m. M alt. marg. — 8. ψύξειν Codd. — Ib. φυλασσόμενα Codd. — 9. καί om. Codd. — Ib. πολύ ACV. — 11. καί om. C.

Matth. 256.

ἐν αὐτοῖς, λεπτὸν ὂν καὶ διαλυτικὸν, ὁδηγεῖ ῥαδίως τὴν ἐπὶ αὐτῶν δύναμιν εἰς τὰ σώματα, καὶ οὐκ ἄν τις νουνεχῶς, εἰ δέοι συνεχῶς ἀλλάσσειν τὰ καταπλάσματα, καὶ μέτρον εἴη τῆς ἐπιθέσεως ἡ εὐκρασία, χρῷτο ἂν τοῖς ἀνύδροις. Παραληπτέον οὖν τὰ ἄνυδρα ἐπί 27 τε τῶν δεομένων διὰ ὅλης, ὡς ἐλέγομεν, ἡμέρας καὶ νυκτὸς καταπλάσματος ὑποχονδρίων, ἐπί τε τῶν ἱδρούντων μὲν ἀδιαλείπτως, ἐχόντων δὲ φλεγμονὰς, ἐπί τε τῶν οὐκ ἀνεχομένων βάρους χρήσιμα καὶ τῶν καταψυχομένων ἀνεκθερμάντως.

κε'. Περὶ τοῦ διὰ ζύμης καταπλάσματος. Ἐκ τῶν Λύκου.

Διαχέαι τὰ συνεστῶτα καὶ ἐκτῆξαι ἱκανώτατα τὸ ἐπίπλασμα 1 τοῦτο ἐπιτήδειόν ἐστιν· καὶ γὰρ δοθιῆνας ὠφελεῖ καὶ ἐμπυήματα σχολαίτερον πρὸς τὴν μεταβολὴν ἰόντα, καὶ σκόλοπας ἐξάγει, καὶ

qu'ils contiennent, étant ténu et doué de propriétés résolutives, fait pénétrer facilement leurs vertus médicales dans les parties; si on est obligé de changer continuellement les cataplasmes, et si on doit les laisser en place seulement pendant que leur chaleur est modérée, personne, s'il a le sens commun, n'aura recours aux cataplasmes sans eau. On se servira 27 donc des cataplasmes sans eau, dans le cas où, comme nous le disions tout à l'heure, les hypocondres ont besoin d'un cataplasme pendant une journée et une nuit entières, ainsi que pour les malades qui suent sans interruption, quoiqu'ils aient des inflammations; ces cataplasmes sont utiles aussi pour ceux qui ne peuvent supporter aucun poids, et encore chez les sujets qui ont des refroidissements non suivis de chaleur.

25. DU CATAPLASME DE LEVURE. — TIRÉ DE LYCUS.

Ce cataplasme est propre à dissiper les matières solidifiées et à liqué- 1 fier d'une manière très-efficace; car il convient aux furoncles et aux tumeurs purulentes, dont la transformation s'opère trop lentement; il chasse aussi les esquilles, et il est bon contre les *squirres* et les contu-

2. *εἰδέοι* Codd. — 3. *ἦν* Codd. — 4. *Παραλειπτέον* Codd. — 5-6. *καταπλ. καὶ ὑποχονδρίων* Codd. — 8. *ἀναψυχομ.* V. — Ch. 25; l. 11. *σχολαίτερον Syn.* (IIIe liv.); *σχολεώτερον* ABMV; *σχολαιάτερον* C.

Matth. 256-257.

257 2 σκίῤῥοις ἐπαρκεῖ, καὶ θλά|σμασι τοῖς κατὰ πέλματα. Ποιήσεις πο-
λυειδεῖς εἰσιν αὐτοῦ· ἢ γὰρ αὐτῷ τῷ ἐλαίῳ συμμαλάτΊεται, ἐξαρκοῦν
3 τοῦτο πρός τε τοὺς δοθιῆνας καὶ τὰς σχολαίας ἐκπυήσεις. Ἢ καὶ
νίτρον που λεπΊὸν συμμίγνυται αὐτῷ, ὅπου δριμυτέρου ἐπιθέμα-
4 τος χρήζομεν ἐπὶ τῶν σφόδρα σΊερεῶν σκίῤῥων. Ἢ ἔσΊιν ὅτε δια-
χέοντες τὴν ζύμην αὖθις συνίσΊαμεν, ἕψοντες αὐτὴν, ἔλαιον ὀλίγον,
5 ἢ ἴρινον μύρον προσμίξαντες. ἜσΊι δὲ τοῦδε καὶ ἄλλος μεταχει-
ρισμός· ὄξει διαχεῖται ἡ ζύμη, ὡς εἶναι χυλοῦ τὸ πάχος· τοῦτο
6 τοῖς κατὰ τὸ ἧπαρ καὶ τὸν σπλῆνα σκίῤῥοις ἐπιτήδειόν ἐσΊιν. Ἢ
κόμη ἀψινθίου, ἢ ἶρις, ἢ ἀβρότονον, ἢ θύμον, ἢ γλήχων, ταῦτα
πάντα μετὰ τῆς ζύμης τοῖς κατὰ τὸν σπλῆνα σκίῤῥοις καὶ τοῖς κατὰ
τὸ ἧπαρ ἐπαρκεῖ.

κς'. Περὶ τοῦ ἐξ ἄρτου.

1 Τὸ δὲ ἐξ ἄρτου κατάπλασμα παναρκέσΊατόν ἐσΊιν· πάσαις γὰρ

2 sions de la plante des pieds. Il y a diverses manières de le préparer; en
effet, quelquefois on pétrit la levure avec l'huile elle-même; ce cata-
3 plasme suffit pour les furoncles et les suppurations tardives. D'autres fois
on y ajoute aussi de la soude brute en poudre, lorsqu'on a besoin d'un
4 topique plus âcre pour les *squirres* très-durs. Quelquefois on délaye la
levure pour la concentrer de nouveau en la faisant bouillir, après y avoir
5 ajouté un peu d'huile simple, ou d'huile parfumée d'iris. Il existe encore
une autre manière de préparer ce cataplasme : on délaye la levure avec
du vinaigre, de façon qu'il prenne l'épaisseur d'une gelée; ce cataplasme
6 convient contre les *squirres* de la rate et du foie. Les feuilles d'absinthe,
d'iris, d'aurone, de *thym*, de pouliot, sont des substances toutes utiles
contre les *squirres* de la rate et du foie, si on les ajoute à la levure.

26. DU CATAPLASME DE PAIN.

1 Le cataplasme de pain est d'un emploi universel, car il convient à

1. σκηρίαις C 1ª m. — Ib. θλάσμασι *Syn.* (IIIᵉ liv.); θλάσματι Codd. — 2. αὐτῷ ἐλ. Codd. — 3. τοῦτο *Syn.* (IIIᵉ liv.); τούτῳ Codd. — Ib. καί ante τάς *Syn.* (IIIᵉ liv.); om. Codd. — Ib. σχολαίας *Syn.* (IIIᵉ liv.); χολαίας Codd. — 5. σκληρῶν C 1ª m. M text. — 6. συνισΊῶμεν M. — 8. ὡς εἶναι *Syn.* (IIIᵉ liv.); ὅσην Codd. — 9. σκληροῖς CM; *item* l. 11. — 10. γλήχωνα Codd.

σχεδὸν ἁρμόζει φλε|γμοναῖς· ποιήσεις δὲ αὐτοῦ πολλαὶ πάνυ· ἢ 258
γὰρ ψυχρῷ ὕδατι βραχεὶς καὶ συνεργασθεὶς ῥοδίνῳ ὁ ἄρτος ἐπι-
πλάτλεται· οὗτος δὲ ἐπιτήδειός ἐσλι ταῖς ἐρυσιπελατώδεσι φλεγμο-
ναῖς. Ἢ ἀντὶ τοῦ ὕδατος διὰ ὀξυκράτου σκευάζεται· μᾶλλον γὰρ 2
οὕτως ἐφαρμότλει ταῖς ἐρυσιπελατώδεσι φλεγμοναῖς. Ἢ θερμῷ ὕδατι 3
βρέχεται καὶ συμμαλάτλεται ἐλαίῳ, εἶτα ἐπιπλάτλεται θερμὸς ὁ
ἄρτος, ἁρμότλων ταῖς σκληροτέραις καὶ οὐ ζεούσαις φλεγμοναῖς. Ἢ 4
ἀντὶ τοῦ ἐλαίου τὸ βούτυρον ἐμβαλεῖς καὶ ποιήσεις χρησιμώτερον
πρὸς τὰς αὐτὰς διαθέσεις. Γίνεται δὲ καὶ οὕτως· ὕδατι διαλύεται ὁ 5
ἄρτος, ὡς χυλοῦ σύσλασιν σχεῖν, καὶ τούτῳ μίγνυται ἔλαιον, ἢ
βούτυρον, εἶτα ἕψεται μέχρι συσλάσεως· τοῦτο ὧν ἐγὼ οἶδα πάν-
των ἄμεινον πρὸς φλεγμονὰς τὰς ἐπὶ τραύμασι, καὶ πρὸς τὸ τάχιον
ἐκπυῆσαι τὰ τούτου δεόμενα. Ὅπη δὲ νεῦρον, ἢ νευρῶδές τι διατέ- 6

presque toutes les inflammations; il y a un très-grand nombre de modes
de préparation: quelquefois on humecte le pain avec de l'eau froide et on
le pétrit avec de l'huile de roses pour l'appliquer ensuite; ce cataplasme
convient contre les inflammations érésipélateuses. Quelquefois, au lieu 2
d'eau simple, on prend de l'eau vinaigrée; ainsi préparé, le cataplasme
convient encore mieux contre les inflammations érésipélateuses. D'autres 3
fois on humecte le pain avec de l'eau chaude et on le pétrit avec de
l'huile, pour l'appliquer ensuite à chaud; dans ce cas, il convient contre
les inflammations où la dureté prédomine sur l'effervescence [des hu-
meurs]. D'autres fois on y mettra du beurre au lieu d'huile, et, de 4
cette façon, on augmentera son utilité contre les mêmes maladies. On 5
le fait encore de la manière suivante : on délaye le pain avec de l'eau,
de façon à lui donner la consistance d'une gelée, on y ajoute de l'huile
ou du beurre, ensuite on le fait bouillir jusqu'à ce qu'il prenne de la
consistance; ce cataplasme est le meilleur de tous ceux que je connais
contre les inflammations qui accompagnent les plaies, et pour accélérer
la suppuration dans les cas où cela est nécessaire. Lorsqu'il existe une 6
contusion d'un nerf, ou d'une partie tendineuse, j'ai rendu, l'expérience

1. ἢ *Syn.*; om. Codd. — 2. βραχὶς Codd. — 5-7. Ἢ θερμῷ..... φλεγμ. A; βρεχεὶς CM. — 3-4. ἐπιτήδειος..... om. V. — 10-11. ἢ... ὧν om. BV. — Ἢ om. A. — 4. ὄξους Aët. — 5. οὗτος 11. ὃν AC.

θλασθαι, ἐνταῦθα ἐγὼ καὶ πίττης ὑγρᾶς βραχὺ μιγνὺς οἶδα μετρίως
7 λυσιτελὲς ἀποφήνας τὸ ἐπίπλασμα. Τοῦτο δὲ καὶ ταῖς ποδαγρικαῖς
8 Φλεγμοναῖς ἐπιτήδειόν ἐσθιν. — Ἄλλη σκευασία· χειροῖν διατρίψαι
259 τὰ ἔνδοθεν τοῦ ἄρτου χρὴ τοῦ χθιζοῦ· ἐπειδὰν δὲ ἀλευρώδης | γένηται, μέλιτι ἐμπάσσειν χρὴ τὸ ἄλευρον, καὶ ἕψοντα εἰς τὸ μέτριον συνισθᾶν πάχος, καὶ εἰ Φαίνοιτο ἱκανῶς ἔχειν, ἔλαιον ἐπιχέοντα ἐπιμιγνύναι· τοῦτο ἐπιτήδειόν ἐσθι ταῖς κατὰ ὑποχόνδρια Φλεγμο-
9 ναῖς. Ἄμεινον δὲ, εἰ τῷ μέλιτι ὀλίγον ὕδωρ μεμιγμένον εἴη· τὸ
10 γὰρ ἄλευρον εὐμαρέσθερον ἐν τῇ ἑψήσει διαχεῖται. Καὶ τὸ ἐκ πυρῶν δὲ πάλιν καὶ τὸ ἐξ ἀλεύρων πυρίνων κατάπλασμα σχεδὸν τὰ αὐτὰ δύναται ποιεῖν, τὰς αὐτὰς ἐπιδεχόμενον σκευασίας.

κζ'. Περὶ τοῦ ἐκ πιτύρων.

1 Τὰ πίτυρα δὲ ὧδε χρὴ παρασκευάζειν· πολλάκις πιλεῖν αὐτὰ

me l'a prouvé, ce cataplasme assez efficace, en y mettant un peu de
7-8 goudron. Il convient aussi contre les inflammations goutteuses. — *Autre préparation :* On broie avec les mains la mie du pain de la veille, et, quand elle est réduite en farine, on jette cette farine sur du miel, et on lui donne, par l'ébullition, une consistance moyenne; puis, quand le tout semble être arrivé à un degré suffisant d'épaississement, on verse de l'huile dessus et on opère le mélange; ce cataplasme convient contre les
9 inflammations des hypocondres. Il est convenable de mêler un peu d'eau au miel, car, de cette façon, il est plus facile de rendre la farine [de
10 pain] coulante pendant l'ébullition. Le cataplasme de froment et celui de farine de froment ont à peu près la même efficacité, et ils se prêtent aux mêmes méthodes de préparation.

27. DU CATAPLASME DE SON.

1 On prépare le son de la manière suivante : on le pressera à plusieurs

2. ποδαγρ. *Syn.*, Aët.; ποδαλγικαῖς Codd. — 4. ἀμμῶδες *Syn.*; ὅταν ὥσπερ σεμίδαλις διασκορπισθῇ Aët. — 4-5. γίνεται B text. — 5. ἐμπλάσσειν BCMV. — 9. ἐν om. V. — Ib. ἑψήσει *Syn.*, Aët; ἑψήσει ἢ Codd. — 10. πάλιν] καὶ πάλης *Syn.* — Ch. 27. Tit. πιτύρων *Ind.*; πιτύρου ACMV; πυρῶν B.

προσήκει, ὡς λεπτότατα γενέσθαι, ἢ ἐν ὅλμῳ κόπτοντα καὶ διασή-
σαντα τὸ αὐτὸ ποιεῖν· χρῆσθαι δὲ αὐτοῖς ἐπὶ σκίῤῥων πάντῃ τοῦ τε
ἄλλου σώματος συνισταμένων, καὶ ἐπὶ ἥπατος καὶ σπληνός· σκευά-
ζειν δὲ αὐτὸ διὰ ὀξυμέλιτος, ἢ καὶ τοῦ ἀμμωνιακοῦ μιγνύντας καὶ
θερμὸν ἐπιπλάττοντας. Λῷον δὲ ἂν εἴη, εἴ τις ἐξ ἑτέρου ἕτερον 2
ἐπιθείη, ὡς μὴ ἐκλείπειν τὴν θάλψιν ποτέ. Καὶ ὁπότε δὴ οἱ ὄρχεις 3
φλεγμαίνοιεν, ὠφελιμώτατον γίνεται τοῦτο· σκευαζέσθω δὲ χωρὶς
ὄξους. Ἁρμόζοι δὲ ἂν τὸ κατάπλασμα τοῦτο καὶ δοθιῆσι καὶ τοῖς 4
ἄλλοις φύμασι τοῖς σκλη|ροῖς. Πάνυ δὲ καὶ πρὸς τὰ ἰοβόλα συμφέ- 260 5
ρει ὄξει δευόμενα τὰ πίτυρα ἐξ ἑτέρων ἕτερα ἐπιτιθέμενα.

κη'. Περὶ τοῦ ἐκ κριθίνου ἀλεύρου.

Τὸ ἐξ ἀλεύρων κριθίνων κατάπλασμα δύναται εἰς τὰς περὶ τὰ 1
μυώδη φλεγμονὰς σκληρὰς ἤτοι διαλύειν, ἢ ῥᾳδίως εἰς πύον αὐτὰς

reprises, de manière à le rendre très-fin, ou bien, pour obtenir le même effet, on le pilera dans un mortier et on le passera au tamis; on emploie le cataplasme de son et contre les *squirres* du foie et de la rate, et contre ceux qui se forment dans toute autre partie du corps; on le prépare avec du vinaigre miellé, ou bien on y ajoute aussi un peu de
gomme ammoniaque et on l'applique à chaud. Il convient de le changer 2
souvent, de façon que son action réchauffante n'éprouve pas d'interrup-
tion. Toutes les fois que les testicules seront enflammés, ce cataplasme 3
devient éminemment utile, mais, dans ce cas, il faut le préparer sans
vinaigre. Il pourra convenir aussi contre les furoncles et les autres tu- 4
meurs dures. Du son humecté de vinaigre fait aussi beaucoup de bien 5
aux plaies produites par les animaux venimeux, pourvu qu'on le renouvelle à plusieurs reprises.

28. DU CATAPLASME DE FARINE D'ORGE.

Le cataplasme de farine d'orge agit contre les inflammations des par- 1
ties musculeuses, soit pour les résoudre quand elles sont dures, soit

1-2. διασήσαντα *Syn.*; διασείσαντα Codd. — 2. σκίῤῥων *Syn.*; σκηρῶν ACMV; σκληρῶν B. — 3. συνισταμένων *Syn.*; συνιστάμενον Codd. — Ib. σπληνός *Syn.*; σπληνός πάντα Codd. — 6. ἐκλείπειν *Syn.*; ἐκλιπεῖν BCMV; ἐκλιπεῖν A. — 7. σκευαζ. δέ *Syn.*, Aët.; σκευαζέσθω ABMV; σκευάζεσθαι C. — 8. Ἁρμόσοι B; ἁρμόσσει V. — Ch. 28; l. 11. τάς] τά ABCM.

Matth. 260-261.

2 μεταβάλλειν. Ποίησις δὲ αὐτοῦ ἥδε· τὸ μὲν ἄλευρον πάλην εἶναι
χρὴ, ἐνέψειν δὲ μελικράτῳ· ἔστω δὲ τὸ μὲν μέλι πλεῖστον, τὸ δὲ
ὕδωρ μεῖον εἰς τοσοῦτον, ὡς αὐτὸ μόνον τὸ ἀτέραμνον τοῦδε τοῦ
ἀλεύρου ἐν τῇ ἑψήσει διαχεῖσθαι· οὐ γάρ ἐστιν εὐδιάλυτον τοῦτο
3 τὸ ἄλευρον, ὥσπερ τὸ τῶν πυρῶν. Ἑτέρα τοῦ αὐτοῦ καὶ ἐπὶ τοῖς
αὐτοῖς ποίησις· μαλάχης ῥίζα, ἢ αὐτὴ ἡ πόα, ἐπειδὰν ἑψηθῇ, τρί-
βειν ὁμοῦ τῷ μελικράτῳ, καὶ ἐπειδὰν διαλυθῇ, ἕψεται ὁμοῦ τῷ
4 ἀλεύρῳ. Αὕτη ἡ κατασκευὴ ἀνυσιμωτέρα ἐστὶ πρὸς ἄμφω, πρός τε
τὸ μαλακὰ ἀποφῆναι τὰ τέως ὄντα σκληρὰ, καὶ πρὸς τὸ εἰς πύον
5 μεταστῆσαι. Χρὴ δὲ, ἐπειδὰν ἑφθὸν ἱκανῶς ᾖ, καὶ δὴ ἐπὶ τῶν ῥάκεων
261 ἀληλιμμένον ἤδη, τηνικαῦτα ἐπι|χεῖν ἔλαιον· οὕτω γὰρ εὐμενὲς
ἔσται τῷ χρωτὶ καὶ ἐν ταῖς ἀφαιρέσεσιν οὐκ ἐγκαταλείψεταί ποτε
6 ὑπὸ τῶν ῥακίων, [οὐδὲ] προσέξεται ἐν τῷ χρωτὶ τὸ ἐπίπλασμα. Πρὸς

2 pour faciliter leur suppuration. On le prépare de la manière suivante :
la farine doit être réduite en poussière fine; on la fait bouillir dans de
l'eau miellée; le miel doit prédominer et l'eau n'y doit entrer qu'en
petite quantité, suffisante cependant pour détruire, pendant l'ébullition,
ce que cette farine a de réfractaire à la cuisson, car elle ne se dissout
3 pas facilement comme celle de froment. — *Autre préparation du même
cataplasme servant pour les mêmes cas :* On prend soit de la racine de
mauve, soit la plante entière, et, après l'avoir fait bouillir, on la broie
avec de l'eau miellée; puis, quand elle est réduite en gelée, on la fait
4 bouillir [de nouveau] avec la farine. Ainsi préparé le cataplasme est plus
efficace dans les deux cas dont nous venons de parler, aussi bien pour
ramollir les tumeurs qui jusque-là avaient été dures, que pour les ame-
5 ner à suppuration. On versera l'huile sur le cataplasme seulement,
lorsqu'il est suffisamment cuit et qu'on l'a déjà étendu sur le linge; car,
de cette façon, il sera doux pour la peau, et, quand on l'ôte, il n'adhé-
6 rera pas aux parties et on l'enlèvera tout entier avec le linge. De cette

2. δὲ τὸ (τῷ V) μὲν ἄλευρον μελικρ. BV; δὲ τὸ μὲν ἄλ. πάλην εἶναι χρὴ, ἐνεψεῖν δὲ μελικρ. A; δὲ πάλην εἶναι χρὴ, ἐνεψεῖν δὲ μελικρ. C. — 9. τὰ μαλακά C. — 10. ἢ AV. — 11. ἀληλιμμένον conj.; ἀπειλιμμένον B text. M; ἀπειλιμμένων AB corr.; ἐπειλιμμένων C; om. V. — 12. χρώματι Codd. — Ib. ἐγκαταλίψεται A; ἐγκαταλήψεται B. — 13. οὐδέ om. Codd.

δὲ τούς τε ἄλλους σπασμοὺς καὶ τοὺς τετάνους χρήσιμον εἴη ἂν
οὕτω σκευαζόμενον· ἐν γὰρ δὴ τῷ ὕδατι κατὰ ὃ ἕψεσθαι μέλλει
τὸ ἄλευρον, ἐνηψῆσθαι χρὴ πηγάνου, ἢ σικύου ἀγρίου ῥίζης, ἢ
δάφνης καρπὸν, ἢ σάμψυχον, ἢ ἶριν. Λυσιτελὲς δὲ ἂν εἴη μετὰ τὴν 7
ἕψησιν ἐπιπάττειν τῷ καταπλάσματι καστορίου, καὶ οὕτως ἐπι-
χρίειν αὐτὸ τῷ ῥάκει, καὶ ἐπιτιθέναι κατὰ πάσης ῥάχεως· βέλτιον
δὲ, εἰ καὶ τῆς κεφαλῆς ἐπιλάβοι τὸ κατάπλασμα. Ἐπὶ δὲ πλευριτι- 8
κῶν καὶ περιπνευμονικῶν ἐν ὑδρομέλιτι προέψειν ἀβροτόνου χρὴ,
ἢ δάφνης καρπὸν, καὶ οὕτως ἐπεμβάλλειν τὸ ἄλευρον. Εἰ δὲ σκίῤ- 9
ῥος κατὰ τὰ σπλάγχνα εἴη, ἀμμωνιακὸν μιγνύειν, ἢ τερεβινθίνην
καὶ νίτρον, καὶ ἔστιν ὅτε καὶ ὄξος· τῶν δὲ ἐντέρων φλεγμαινόντων
μικτέον ἐστίν· εἰ δὲ ἡ κύστις, καὶ τούτου καὶ τοῦ πηγάνου.

κθ'. Περὶ τοῦ ἀπὸ λινοσπέρματος.

Τὰς πάντῃ τοῦ σώματος γινομένας φλεγμονὰς οἵας δή ποτε οὖν 1

façon ce cataplasme pourra être utile aussi bien contre le tétanus que
contre les autres maladies spasmodiques; mais, dans ce cas, il faut faire
bouillir de la rue, de la racine de concombre sauvage, des baies de
laurier, de la marjolaine, ou de l'iris, dans l'eau où doit cuire la fa-
rine. Il ne sera pas sans avantage non plus de saupoudrer de castoréum 7
le cataplasme quand il est cuit, après quoi on l'étendra sur le linge et
on l'appliquera sur toute l'épine du dos; il est bon aussi qu'il empiète
sur la tête. Pour la pleurésie, ou la péripneumonie, on fera d'abord 8
bouillir de l'aurone, ou des baies de laurier dans de l'hydromel, et
ensuite on jettera dedans la farine. S'il y a un *squirre* aux viscères, on 9
mêle à la farine de la gomme ammoniaque, ou de la résine de téré-
benthinier et de la soude brute; quelquefois aussi on ajoute du vinaigre,
mais seulement lorsque les intestins sont enflammés; quand c'est la ves-
sie, on y met à la fois du vinaigre et de la rue.

29. DU CATAPLASME DE GRAINE DE LIN.

Le cataplasme de graine de lin calme toutes les inflammations, quelles 1

1. τε om. BCV. — 2. ᾧ Codd. — 3. ἐνηψῆσθαι ex em.; ἐνηψεῖσθαι AM; ἐνεψεῖσθαι C; ἐνήψεσθαι BV. — 4. καρπός ABC 1ª m. MV. — Ib. ἧς ἄψυχον A. — 5. τό B. — 6. αὐτῷ CMV. — 9-10. σκληρός BV.

Matth. 261-262.

262 ὀνίνησι τὸ διὰ λινο|σπέρμου κατάπλασμα, μάλισ7α ἂν συνῶσιν αὐ-
ταῖς ὀδύναι περιτ7ότεραι, ὡς καὶ πρὸς τὴν ἁφὴν ἐπιτείνεσθαι τὴν
2 ὀδύνην. Τὰ δὲ ὑποχόνδρια εἴ τις ἐθέλοι φλεγμαίνοντα τούτῳ ἐπι-
πλάτ7ειν, σκευάζοντα, ἐπειδὰν ἀναζέσῃ τὸ μέλι, ἐμπάσσειν χρὴ τὸ
σπέρμα, λεπ7ότατον ἄλευρον γενόμενον.

λ'. Περὶ τοῦ ἐξ ἀλφίτου.

1 Ἀλφίτων πάλη συνεργασθεῖσα χυλῷ ἑλίκων ἀμπέλου, ἢ πολυ-
2 γόνου, ἢ μήλων ναυτίας ἰᾶται καὶ πυρώσεις. Μέλιτι δὲ ἑνεψόμενον
τὸ ἄλφιτον, ἅλατος, ἢ νίτρου προσβαλλομένου, ὑδρωπικοῖς ἐπιτή-
3 δειον γίνεται. Τὸ δὲ αὐτὸ τοῦτο καὶ ταῖς τῶν ὄρχεων φλεγμοναῖς
ἁρμόζει χωρὶς τοῦ νίτρου καὶ τῶν ἁλῶν.

λα'. Περὶ τοῦ ἀπὸ τήλεως.

1 Τὸ ἄλευρον τὸ ἐκ τῆς τήλεως οὐκ εἰς πολλὰ ἐπιτηδείως κατά-

qu'elles soient et dans quelque partie du corps qu'elles se développent, surtout quand elles sont accompagnées d'une douleur plus ou moins aiguë
2 qui s'exaspère par le contact. Si on veut appliquer ce cataplasme aux hypocondres enflammés, il faut, quand on le prépare, jeter de la graine réduite en farine très-fine sur du miel en ébullition.

30. DU CATAPLASME D'*ALPHITON*.

1 La poudre d'*alphiton*, pétrie avec une décoction de vrilles de vigne,
2 de renouée, ou de pommes, guérit la nausée et le pyrosis. Si on fait bouillir de l'*alphiton* dans du miel et qu'on y ajoute du sel, ou de la
3 soude brute, ce cataplasme devient utile contre l'hydropisie. Ce même cataplasme convient aussi contre l'inflammation des testicules, pourvu qu'on n'y mette ni soude brute, ni sel.

31. DU CATAPLASME DE FENUGREC.

1 Le cataplasme de farine de fenugrec ne convient pas pour un grand

1. τοῦ λινοσπέρματος BV.— 3-4. ἐπιπάτ7ειν BCMV. — 4. ἐμπλάσσειν BV. — Ch. 30; l. 7. μηλίνων C. — 8. προσβαλομένου B. — Ch. 31; l. 11. ἀπό BV.

Matth. 262-263.

πλασμα γινόμενον· φλεγμοναῖς μὲν γὰρ οὐχ ἁρμόζει· σκιῤῥώδεσι
δὲ διαθέσεσι, προσλαβὸν λινοσπέρμου. Ἕτερον δὲ τρόπον μετα- 2
χειρισθεῖσα ἡ τῆλις καὶ μάλα ἐπιτήδειος ὡς πολλά ἐστιν· ὕδατι
|ἕψεται ἐπὶ μακρὸν, ἔστε ἂν ἱκανῶς ἑφθὴ γένηται, κἄπειτα τὸ μὲν 263
ὕδωρ ἐκχεῖται, αὐτὴ δὲ πάνυ λειοῦται, καὶ μέλι ὅσον ἱκανὸν μίγνυ-
ται ταύτῃ, καὶ ὅταν συνεργασθῇ καλῶς τῷ μέλιτι, λειουμένη ἕψε-
ται, ἔστε ἂν ἐπιθέματος πάχος ὑπάρχῃ. Οὕτω σκευασθεῖσα χρησι- 3
μεύει παραπλησίως τοῖς πλείστοις ἐπιθέμασι, καὶ σχεδὸν πρὸς
πάσας τὰς ἔξωθεν γινομένας φλεγμονὰς ἁρμόζει· πρός τε γὰρ τὰ
ὑποχόνδρια καὶ τὰ ἔντερα καὶ τὴν ὑστέραν καλῶς ποιεῖ. Ὅταν δὲ 4
ἑψηθεῖσα καὶ λειωθεῖσα ὡς εἴρηται ἀντὶ τοῦ μέλιτος πάλιν ἐν ὕδατι
ἑψηθῇ, ἐπιτήδειος γίνεται ὀφθαλμοῖς καὶ ἕδρᾳ φλεγμαίνουσιν· βέλ-
τιον δὲ, εἰ καὶ μελιλώτου προσλάβοι.

nombre de cas, car il ne sert à rien contre les inflammations; il est du
moins utile contre les affections squirreuses, pourvu qu'on y ajoute de
la graine de lin. Mais, si on prépare le cataplasme de fenugrec d'une 2
manière différente, il est très-bon pour un grand nombre de cas : ainsi
on fait bouillir le fenugrec pendant longtemps dans l'eau, jusqu'à ce
qu'il soit parvenu à un degré suffisant de cuisson, on jette ensuite l'eau
et on triture fortement le fenugrec, puis on ajoute du miel en quantité
suffisante; quand il a été bien trituré avec le miel et qu'il est bien lié,
on le fait bouillir, jusqu'à ce qu'il acquière l'épaisseur habituelle des to-
piques. Ainsi préparé le fenugrec a la même utilité que la plupart des 3
topiques et convient contre presque toutes les inflammations extérieures,
car il agit convenablement contre les affections des hypocondres, des
intestins et de la matrice. Si, après avoir fait bouillir et trituré le fenu- 4
grec comme nous venons de le décrire, on se sert d'eau au lieu de miel
pour le faire bouillir de nouveau, ce cataplasme devient utile contre les
inflammations des yeux et du siége; il est préférable encore d'y ajouter
aussi du mélilot.

5. αὔτη M. — 7. ἕως V. — 9. φλεγβονὰς γινομένας V.

Matth. 263-264.

λβ'. Περὶ τοῦ ἐκ χόνδρου.

1 Θλάσεις ὤτων καὶ ῥινὸς χόνδρῳ ἐπιπλάτΊονται λυσιτελῶς· ἕψεσθαι δὲ καὶ λελειῶσθαι χρὴ αὐτόν· ἄμεινον δὲ ἂν εἴη, κόμμεως καὶ
2 λιβάνου προσμιγέντος ὀλίγου. Καὶ δοθιῆσι δὲ ἐπιτήδειος ὁ χόνδρος, καὶ λειχῆσι καὶ ψώραις οὐκ ἀναρμόσΊως ἐπιπλάτΊεται.

| λγ'. Περὶ τοῦ ἐκ κέγχρου.

264

1 Ποίησις μὲν τοῦδε τοῦ ἐπιπλάσματος, ὁποία καὶ ἡ ἐκ τοῦ σπέρ-
2 ματος τοῦ λινοσπέρμου. Ἐπαρκὲς δὲ ἔσΊαι, εἰ ῥεῦμα γασΊρὸς ὀδυ-
3 νηρὸν εἴη, καὶ οἴδημα εἴ ποι ὑπάρχοι. Εἰ δὲ πίτΊαν ξηρὰν λάβοι,
4 καὶ ἰσχιάσιν ἂν εἴη λυσιτελές. Ὕδατι δὲ, ἢ ὄξει, ἢ ὀξυκράτῳ ἀναληφθὲν σκολοπενδρῶν δήγμασι χρήσιμον εἶναι ἔγνωσΊαι.

λδ'. Περὶ τοῦ ἐκ σύκων.

1 ΠολυειδεσΊάτη ἐσΊὶ τοῦ ἐπιπλάσματος τοῦδε ἡ μεταχείρισις καὶ

32. DU CATAPLASME D'*ALICA*.

1 Ce n'est pas sans avantage qu'on applique un cataplasme d'*alica* sur les contusions des oreilles et du nez, mais il faut faire bouillir l'*alica* et le triturer; il est utile encore d'y ajouter un peu de gomme et d'encens.
2 L'*alica* convient aussi contre les furoncles, et on ne l'applique pas sans utilité sous forme de cataplasme sur le *lichen* et sur la *psore*.

33. DU CATAPLASME DE PETIT MILLET.

1 Pour ce cataplasme la préparation est la même que pour celui de
2 graine de lin. Il est utile lorsqu'il y a une fluxion douloureuse du ventre
3 et lorsqu'il y a quelque part du gonflement. Quand on y ajoute de la
4 poix, il soulagera aussi dans la sciatique. On a reconnu que, si on l'incorpore dans de l'eau, du vinaigre, ou de l'eau vinaigrée, on peut l'employer contre la morsure des scolopendres.

34. DU CATAPLASME DE FIGUES.

1 La manière de préparer ce cataplasme est très-variée, et il est utile

Ch. 32; l. 3. προσμιγ. ex em. Matth.; καὶ προσμ. Codd. — 4. ἀναρμότΊων Codd. — Ch. 33; l. 7. εἰπεῖν ὑπάρχει Codd. — 9. σκολοπένδρων ACMV. — Ch. 34; l. 10. ΠολυειδεσΊάτη *Syn.* (IIIe liv.); ΠολυειδέσΊατός Codd.

ἐπαρκὴς εἰς πολλά· ἤτοι γὰρ εὖ μάλα κόπτεται, ὡς μηδὲ ὁτιοῦν
ἀργὸν ἀφεῖσθαι μέρος, μήτε οὖν αὐτοῦ τοῦ σύκου, μήτε, εἰς ὅσον
ἀνυστὸν, τοῦ σπέρματος, καὶ τῷ οὕτω πεποιημένῳ προσηνείας
ἕνεκεν μύρου ἰρίνου οὐ πολὺ μίγνυται αὐτό. Ποιεῖ δὲ πρὸς τὰς 2
σκληρότητας τῶν νεύρων, καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων, καὶ τὰ
πέρα τοῦ μετρίου ἐκτεταμένα, καὶ πρὸς σκίῤῥους, καὶ μάλιστα
τοὺς τῶν σπληνῶν· ὠφε|λεῖ δὲ καὶ τοὺς τοῦ ἥπατος. Προσλαβὸν δὲ 265 3
νίτρον ὀλίγον ῥήττει τε κόλπους, καὶ σκόλοπας ἀνάγει. Εἰ δὲ 4
ὁμοίως κοπείη τὰ σῦκα, καὶ προσλάβοι γλήχωνος, ἢ ὀριγάνου, ἢ
θύμου κόμης, ἢ ἀψινθίου, εἰς τὸ λεπτότατον εἰργασμένα, ὑδρωπι-
κοῖς ἁρμόσει καταπλασσόμενον κατά τε τῶν ὑποχονδρίων πάντων
καὶ τῆς ὀσφύος καὶ τοῦ νώτου παντός. Ἄλλη ποίησις· ἕψεται, 5
ὅσον εὐπετῶς διαχεῖσθαι μάλα λίαν τὰ σῦκα, κἄπειτα λειοῦται ὁμοῦ
τινι μέρει τοῦ ὕδατος, ἐν ᾧ ἥψηται, εἶτα κρίθινον ἄλευρον, ἢ πύ-

dans un grand nombre de cas; quelquefois on pile très-fortement les figues, de façon qu'aucune partie, soit de la figue elle-même, soit, autant que possible, des pepins, n'échappe au pilon; pour rendre plus doux ce cataplasme ainsi préparé, on ajoute de l'huile parfumée d'iris, mais
en petite quantité. Ce cataplasme agit efficacement contre les indurations 2
des nerfs et quand les articulations [*ankylosées*] sont fléchies, ou qu'elles sont étendues outre mesure; il agit aussi contre le *squirre*, surtout contre celui de la rate; néanmoins il est encore utile contre celui du foie.
Si on y ajoute un peu de soude brute, il amène la rupture des collections 3
purulentes et chasse les esquilles. Si on pile les figues de la même ma- 4
nière et si on y ajoute du pouliot, de l'origan, des feuilles de *thym* ou d'absinthe réduites en poudre très-fine, ce cataplasme, appliqué sur toute la surface des hypocondres, des lombes et du dos, convient contre
l'hydropisie. — *Autre préparation :* on fait bouillir les figues assez forte- 5
ment pour qu'elles se dissolvent avec la plus grande facilité, ensuite on les triture avec une partie de l'eau qui a servi à les faire bouillir, puis on y ajoute de la farine d'orge ou de froment, ou bien du pain;

1-2. εὖ μάλα... ἀργόν *Syn.* utrobique; om. Codd. — 4. αὐτῷ Codd. — 6. ἐκτεταμένα] κεχαλασμένα Aët. — 7. σπληνῶν] *viscerum* ant. vers. *Syn.* (Ier liv.) — Ib. τοῦ om. AC. — 8. ῥ. τε καὶ κ. BV. — 9. ὀριγάνεως Codd. — 13. μάλα λίαν *Syn.* (IIIe liv.); μέλλῃ Codd. — 14. τινι μέρει *Syn.* (IIIe liv.); τὴν ἡμέρην Codd.

Matth. 265-266.

ρινον, ἢ καὶ ἄρτος μίγνυται αὐτοῖς, καὶ συνεργάζεται ὡς μάλισῖα,
6 καὶ ἕψεται αὖθις ἄχρι συσῖάσεως καταπλάσματος. Ἁρμόζει δὲ φύμασι τοῖς μὴ ῥᾳδίως ϖεπαινομένοις, καὶ ϖαρωτίσιν, ἃς ἐκπυεῖσθαι χρὴ, καὶ δοθιῆσιν· λίπει δὲ εἴ τις ἐθέλοι χρῆσθαι, βούτυρον μιγνύει.
7 Εἰ δὲ ϖηγάνου φύλλα τριφθέντα λεῖα μιχθείη, τὰς ἐν τοῖς ἐντέροις ὀδύνας ὑπὸ τοῦ ϖνεύματος γινομένας ὀνίνησιν· λίπος δὲ μιγνύσθω ἔλαιον, ἔνθα ϖήγανον, ἢ κύμινον ἐνήψηται.

266 | λε'. Περὶ τοῦ ἔτνους τοῦ ἐκ τῶν κυάμων.

1 Ἕψεται τὸ ἔτνος τὸ ἐκ τῶν κυάμων ἄχρι συσῖάσεως, εἶτα μίγνυται κύμινον οὐ ϖολὺ λεῖον, καὶ γίνεται κατάπλασμα φλεγμαίνουσιν
2 ὄρχεσιν ἐπαρκέσῖατον. Τὸ δὲ αὐτὸ τοῦτο ϖοιεῖ, εἰ κυπαρίσσου
3 τοῦ καρποῦ λειοτάτου μίσγοις ὀλίγον. Πρὸς δὲ τὰς ϖαλαιοτέρας φλεγμονὰς τῶν ὄρχεων καὶ ἀμμωνιακοῦ τι μιγνύειν ϖροσήκει.

on pétrit aussi fortement que possible, et on les fait bouillir de nouveau
6 jusqu'à ce qu'elles prennent la consistance d'un cataplasme. Ce cataplasme convient contre les tumeurs purulentes qui mûrissent difficilement, contre les parotides qu'il faut amener à suppuration et contre les furoncles; si on veut faire usage de quelque substance grasse, on y met
7 du beurre. Si on y ajoute des feuilles de rue, réduites en poudre impalpable par la trituration, ce cataplasme soulage les douleurs des intestins produites par les gaz; en fait de substance grasse, il faut y mettre de l'huile, dans laquelle on a fait bouillir de la rue, ou du cumin.

35. DU CATAPLASME DE PURÉE DE FÈVES.

1 On fait bouillir la purée de fèves jusqu'à ce qu'elle prenne de la consistance, ensuite on y met une petite quantité de cumin trituré, et on obtient un cataplasme éminemment utile contre les inflammations des
2 testicules. Il produit le même effet, si on y ajoute une petite quantité
3 de fruits de cyprès très-fortement triturés. Quand les inflammations des testicules datent déjà d'un temps assez long, il faut y ajouter aussi un peu de gomme ammoniaque.

3. ἐκποιεῖσθαι Codd. — 4. λίπει δέ ex em.; λείπει δέ *Syn.* (IIIe liv.); ἐπειδή Codd. — Ib. ἐθέλει ACM. — 5. λεῖα om. B. — Ib. ἐν τοῖς *Syn.* utrobique, Aët.; om Codd. — 6. μιγνυέσθω B. — CH. 35; l. 8. κυμίνων ACM. — 10. ἤ BCMV; ἡ A. — 11. μίσγοις ex em. Matth.; μίσγειν Codd.

λϛ'. Περὶ τοῦ ἐκ θέρμων.

Ἄλευρον λεπτότατον θέρμων ἕψεται σὺν μέλιτι, ἢ κατὰ ἑαυτὸ 1
μετὰ λινοσπέρμου, ἔλαιόν τε οὐ πολὺ μίγνυται αὐτῷ, καὶ γίνεται καταπλασμα ἕλμισιν ἐπιτήδειον. Ἑτέρα ποίησις καταπλάσματος· 2
Ἕψονται οἱ θέρμοι ἐν ὕδατι, ὡς λειοῦσθαι ῥᾳδίως, καὶ χολὴ ταύρου συμμίγνυται καὶ τοῦ ἀβροτόνου κόμη λειοτάτη· ποιεῖται πρὸς τὰ αὐτὰ ἑλμίνθων τε φάρμακόν ἐστιν. Καὶ ἐπειδὰν ἑψηθῶσι, 3
μιγνύειν λείων μελανθίου καὶ μέλιτος, ὁμοῦ τε λειωθέντων καὶ ἑψηθέντων αὖθις.

| λζ' Περὶ τοῦ ἐκ φακῆς. 267

Ἕψεται ἡ φακῆ καὶ ἀποχεῖται τὸ ὕδωρ, εἶτα λειοῦται ἱκανῶς, 1
προσλαβὸν ῥοδίνου, καὶ γίνεται ἐπίθεμα αἰδοίων κάλλιστον φλεγμαινόντων μετὰ ἐρυθήματος. Καὶ ἄρτου δὲ μιγνυμένου καλῶς ποιεῖ. 2
Ἄλλη ποίησις· ῥοᾶς τὰ κενώματα ἕψεται σὺν τῇ φακῇ, καὶ λειοῦ- 3

36. DU CATAPLASME DE LUPINS.

On fait bouillir de la farine très-fine de lupins soit dans du miel, soit 1
sans cette substance, mais avec de la graine de lin; on n'y met pas beaucoup d'huile; on obtient ainsi un cataplasme convenable contre les vers intestinaux. — *Autre préparation* de ce cataplasme : On fait bouillir les 2
lupins dans de l'eau, de façon à pouvoir les triturer facilement, on y ajoute de la bile de taureau et des feuilles d'aurone fortement triturées; on prépare ce cataplasme dans le même but, c'est-à-dire contre les vers intestinaux. Après avoir fait bouillir les lupins, on y ajoutera de la nielle 3
et du miel triturés [d'abord isolément], puis on les triture et on les fait de nouveau bouillir ensemble.

37. DU CATAPLASME DE LENTILLES.

On fait bouillir des lentilles, on jette l'eau, ensuite on les triture for- 1
tement, en y ajoutant de l'huile de rose, et on obtient un topique excellent contre les inflammations des parties génitales accompagnées de rougeur. Si on y ajoute du pain, ce cataplasme agit très-bien aussi. — *Autre* 2-3
préparation : On fait bouillir l'intérieur des grenades avec des lentilles et

Ch. 36; l. 1. λεπτ.] θερμότατον CM text. — 3. ποί. καταπλασμάτων C. — 4. τε καί A. — 6-7. μιγνύει ABCM. — 7. λεῖον Codd.

Matth. 267-268.

4 ται ἰσχυρῶς ἄμφω ὁμοῦ μετὰ ῥοδίνου. Εἰ δὲ καὶ ἄρτος τούτοις
5 προσβληθῇ, ἠπιώτερον ἔσται τὸ κατάπλασμα. Ἁρμόζει δὲ τοῦτο,
ὅπη ἐσχάραι εἶεν ἐκ πυρὸς, καὶ ὅπη νομαί τινες, μάλιστα ἐπὶ τῶν
6 αἰδοίων. Δεῖ δὲ γινώσκειν ὅτι, τῆς μὲν φλεγμονῆς ἐπικρατούσης,
ὁ ἄρτος ὀφείλει πλέον παραπλέκεσθαι· τῆς δὲ νομῆς κίνδυνον
7 ἀπειλούσης μείζονα, ἐλάττονα παράπλεκε τὸν ἄρτον. Ἄλλη ποίη-
σις· ἄλευρον λεπτότατον φακῆς καὶ ῥοιᾶς λέμματος λεπτοτάτου τὸ
268 μέτριον ὀξυμέλι|τι ἑψομένῳ ἐμπάσσεται· τὸ δὲ ὄξος οὐ πολὺ χρὴ
8 ὑπάρχειν· γίνεται γὰρ οὕτως οὐκ εὐδιασκέδαστον. Τὸ ἐπίθεμα τοῦτο
9 κοιλιακοῖς ἐπαρκεῖ καὶ νομαῖς καὶ ῥεύμασιν. — Ἄλλη ποίησις· ἑψη-
10 θεῖσα ἡ φακῆ τεύτλῳ ἑφθῷ ὁμοῦ λειοῦται. Τοῦτο δέ ἐστιν ἐπιτήδειον
τοῖς ἀμφὶ τὴν κεφαλὴν ἕλκεσι, καὶ τοῖς ἑρπυστικοῖς, εἰ μετὰ ῥεύ-
ματος ὑποφλεγμαίνοι.

on triture fortement ensemble ces deux substances avec de l'huile de
4 rose. Si on ajoute également du pain à ces ingrédients, le cataplasme
5 en devient d'autant plus doux. Ce cataplasme convient lorsqu'il y a des
escarres produites par le feu, ou des ulcères envahissants, surtout aux
6 parties génitales. Il faut savoir que, lorsque l'inflammation prédomine,
on augmentera la quantité du pain qu'on y met, tandis que, si le carac-
tère envahissant des ulcères menace d'un plus grand danger, on y mettra
7 moins de pain. — *Autre préparation :* On jette dans du vinaigre miellé en
ébullition de la farine très-fine de lentilles et une quantité modérée d'é-
corce de grenade réduite en poudre très-fine; mais la quantité du vi-
naigre ne doit pas être très-grande, car, de cette façon, le cataplasme
8 devient difficile à étendre. Ce topique convient contre les affections de
9 l'estomac, contre les ulcères envahissants et contre les fluxions. — *Autre
préparation :* On triture ensemble des lentilles bouillies et de la bette
10 bouillie. Ce cataplasme convient contre les ulcères de la tête, ainsi que
contre les ulcères rongeants, s'ils sont compliqués à la fois de fluxion et
d'un léger degré d'inflammation.

1. ἰσχυρῶς] ῥᾳδίως C 1ª m.; om. M text. — Ib. ῥοδίνου om. C. — 3. ἐκπυροι V. — 5. ὀφέλει B text. — Ib. περιπλέκεσθαι Codd. — 6. παραπλέκει ABMV. — 6-7. μεταχείρησις ACM. — 10. κοιακούς CM. — Ib. Ἄλλος (om. ποίησις) A; Ἄλλο CM. — 13. ὑποφλεγμαίνει ABCV.

λη'. Περὶ τοῦ ἐξ ὀρόϐων.

Ὀρόϐων ἄλευρον ἑψηθὲν σὺν μέλιτι ποιεῖ πρὸς ἄνθρακας καὶ 1
ταῖς ἀπὸ πυρὸς ἐσχάραις, καὶ τὰ νεμόμενα ἀποκαθαίρει. Καὶ ἑψη- 2
θέντες δὲ αὐτοὶ οἱ ὄροϐοι καὶ λειωθέντες ὁμοίως τῇ φακῇ κατάπλα-
σμα ποιοῦσι προσηνέστερον. Εἰ δὲ καὶ ἐμϐραχέντες καὶ ἁπαλοὶ 3
γενόμενοι, ὡς λειωθῆναι ῥᾳδίως, σκευασθῶσιν, ἔτι μᾶλλον προση-
νέστερον ποιήσουσι τὸ κατάπλασμα πρός τε τὸ ἀφεστάναι τὰς
ἐσχάρας ἐπιτήδειον, ἢ τοὺς ἄνθρακας, καὶ τὰς νομὰς ἀποκαθαίρειν.
Καὶ ταῖς ἐκ τούτων φλεγμοναῖς οὐκ ἀνωφελὲς τὸ τοιοῦτο ποιηθέν 4
ἐστιν.

| λθ'. Περὶ τοῦ ἐξ ἐρεϐίνθων. 269

Τὸ ἐκ τῶν ἐρεϐίνθων γινόμενον ἐπίπλασμα ὕδρωψι τοῖς τυμπα- 1
νίαις ἁρμόζει. Ποίησις δὲ αὐτοῦ ἥδε· πηγάνου χλωροῦ φύλλα λειοῦ- 2
ται πάνυ ἰσχυρῶς, κἄπειτα ἀνεργάζεται, καὶ ἑψομένῳ τῷ μέλιτι
ἐμϐάλλεται τὸ ἄλευρον τῶν ἐρεϐίνθων.

38. DU CATAPLASME D'ERS.

La farine d'ers bouillie avec du miel agit contre les anthrax et les es- 1
carres produites par le feu et il déterge les ulcères envahissants. Si on 2
fait bouillir l'ers en entier, et qu'on le triture de la même manière que
les lentilles, il produit un cataplasme plus doux que le précédent. Si 3
on le prépare, en trempant et en ramollissant l'ers, de manière à ce
qu'il puisse être trituré facilement, on formera un cataplasme encore plus
doux, propre à faire tomber les escarres, à monder les anthrax, et à dé-
terger les ulcères envahissants. Ce cataplasme, ainsi préparé, n'est pas 4
sans utilité non plus contre les inflammations causées par ces ulcères.

39. DU CATAPLASME DE POIS CHICHES.

Le cataplasme qu'on fait avec les pois chiches convient contre l'hy- 1
dropisie tympanite. On le prépare de la manière suivante : on triture très- 2
fortement des feuilles de rue verte, ensuite on les pétrit et on jette la
farine de pois chiches dans du miel en ébullition.

Ch. 38; l. 7. ἀποκαθαίρει ABC 1ª m. — 9. ἐστιν] τι C. — Ch. 39; l. 12. ἀπεργάζεται M. — Ib. ἑψομένῳ ex em.; VM. ἑψωμένα ACMV; ἑψομένα BV 2ª m.

μ'. Περὶ τοῦ ἐκ Φοινίκων.

1 Φοίνικες οἱ πατητοὶ ὀλίγῳ ῥαίνονται οἴνῳ, καὶ πάλη ἀλφίτων
2 συμμίγνυται· τοῦτό ἐσΊιν ἐπίθεμα σΊομάχου ἀσωμένου. Ἢν δὲ οὗτοι
μὴ τύχωσιν οἱ Φοίνικες παρόντες, ἕτεροι δέ τινες πιότεροι, δια-
κνισθέντες καὶ οἴνῳ βρεχθέντες εἰς τοσόνδε, εἰς ὁπόσον ἂν ἀπο-
λαύσειαν τῆς ἰκμάδος τοῦ οἴνου, κόπΊονται καὶ λειοποιοῦνται, εἶτα
προσϐάλλεται ἀλφίτου πάλη, καὶ γίνεται καὶ τοῦτο πρὸς τὰ αὐτὰ
brut, ou une décoction de baies de genévrier, ou de mercuriale. On em- 5
ploie les bains dans le but de ramollir, lorsqu'il y a des parties affectées d'inflammation ou de *squirre;* mais, en cas d'inflammation, ces bains doivent être doux et émollients, tandis que, s'il existe un *squirre* sans inflammation, ils doivent être doués de propriétés actives; en cas d'inflammation, on y mettra donc une décoction de mauve, de graine de lin, ou de fenugrec; si l'inflammation est accompagnée de fluxion, on fera bouillir dans l'eau du plantain, de la renouée, de l'écorce de grenade, des roses, ou des sommités de ronce. Si l'inflammation menace de 6
produire des convulsions, dans ce cas on aura encore recours aux mêmes bains que pour les inflammations sans fluxion; mais, ce qui produit alors le meilleur effet, c'est un mélange d'huile et d'eau dans lequel on a fait bouillir de la mauve, ou du fenugrec. En cas d'endurcissement sans in- 7
flammation, on aura recours aux bains doués des mêmes qualités que ceux dont on use pour les sujets chez lesquels il faut provoquer la perspiration. Les bains resserrent et refroidissent, si on les prépare avec des 8
ingrédients analogues à ceux qui entrent dans les embrocations astrin-

2. τῶν ἐσκημάτω (sic) χρ. A 1ª m. — 4. φλεγμονῆς..... τῶν om. A 1ª m. — Ib. ὥστε om. C. — 7. ἢ ῥόδα] ῥοιᾶς Aët. — 8. σπασμόν Syn.; σπασμῶν Codd. — Ib. καταγγελουσῶν Codd.; προσδοκώντων Syn.; ἀπειλούντων Aët. — Ib. μέν Syn., Aët.; om. Codd. — 9. ἐπὶ τῶν Syn., Aët.; om. Codd. — 11. καί om. A 1ª m. — 12. ὁμοίως ABC 1ª m. M.

Matth. 279.
ἐσκευασμένα ταῖς στυφούσαις τε καὶ ψυχούσαις ἐμβροχαῖς· ἔξεστιν οὖν μεταφέρειν τὴν ὕλην ἐνταῦθα.

γʹ. Περὶ τῶν αὐτοφυῶν λουτρῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Τῶν δὲ αὐτοφυῶν λουτρῶν πολὺ ἡ δύναμίς ἐστιν ἰσχυροτέρα καὶ δραστικωτέρα τῶν ἐξ ἐπιτεχνήσεως· εἰσὶ δὲ διαφοραὶ πλείους παρὰ τὴν τῆς γῆς ποιότητα, διὰ ἧς φέρεται· τὰ μὲν γάρ ἐστι νιτρώδη, τὰ δὲ ἁλμυρὰ, τὰ δὲ στυπτηριώδη, τὰ δὲ θειώδη, τὰ δὲ ἀσφαλτώδη, τὰ δὲ χαλκανθώδη, τὰ δὲ σιδηρίζοντα, τὰ δὲ σύνθετα ἐκ
2 τούτων, πλειόνων ποιοτήτων ὁμοῦ συμμιγνυμένων. Πάντων μὲν οὖν τῶν αὐτοφυῶν ὑδάτων ἡ δύναμίς ἐστι ξηραντικὴ καὶ θερμαντικὴ, τὸ ἐπίπαν σφόδρα εὐτόνων ὑπαρχόντων· διὸ δὴ καὶ τοῖς ὀξέσι νοσήμασιν οὐχ ἁρμόζει, ἀλλὰ μᾶλλον τοῖς χρονίοις, καὶ τού-
3 των μάλιστα τοῖς καθύγροις καὶ ψυχροῖς. Ἤδη δὲ τὰ μὲν νιτρώδη

gentes et refroidissantes; on pourra donc aller prendre là les matériaux dont on voudra transporter l'usage aux bains dont il s'agit. (Voy. liv. IX, chap. 22.)

3. SUR LES BAINS MINÉRAUX NATURELS. — TIRÉ DU MÊME LIVRE.

1 L'action des bains minéraux naturels est beaucoup plus efficace et plus énergique que celle des bains artificiels, mais il y a plusieurs espèces d'eaux minérales, suivant les propriétés du sol qu'elles traversent; ainsi elles sont ou alcalines, ou salines, ou alumineuses, ou sulfureuses, ou bitumineuses, ou *vitrioliques* (*chargées de sulfate de cuivre*), ou ferrugineuses; d'autres enfin sont composées de ces diverses propriétés, quand plusieurs qualités (c'est-à-dire *plusieurs substances*) sont mêlées en-
2 semble. Toutes les eaux minérales sont douées de propriétés desséchantes et échauffantes, et, en général, elles sont très-énergiques : pour cette raison, elles ne conviennent pas non plus contre les maladies aiguës, mais plutôt contre les maladies chroniques, surtout quand ces maladies sont
3 froides et d'une humidité très-prononcée. D'abord les eaux alcalines, ou

Ch. 3; l. 3. πολὺ ἡ ex em.; πολὴ A 2ª m.; πολλή C; πολύ ABMV. — Ib. ἐστιν] τι C. — 6-7. τὰ δὲ θειώδη..... χαλκ. om. A 1ª m. — Ib. τὰ δὲ ἀσφαλτώδη om. BV. — 10. τυγχανόντων BCMV.

Matth. 279-280.

καὶ ἅλας ἔχοντα κεφαλῇ κατάλληλα καὶ θώρακι ῥευματιζομένῳ,
καὶ στομά|χῳ καθύγρῳ καὶ ὑδρωπικοῖς, οἰδήμασί τε τοῖς ἐκ νόσων, 280
καὶ συγκρίσει φλέγματος γεννητικῇ· τὰ δὲ στυπτηριώδη αἵματός
τε ἀναγωγαῖς, καὶ ἐμετικῷ στομάχῳ, καὶ τοῖς ἀμέτρως ὑπὸ αἱμορ-
ῤοΐδων ἐνοχλουμένοις, καὶ γυναιξὶν ἀτάκτως καθαιρομέναις καὶ
συνεχῶς ἐκτιτρωσκούσαις. Τὰ θειώδη δὲ νεύρων μαλακτικὰ, καὶ 4
συγκρίσεως θερμαντικὰ, καὶ πόνων παρηγορικά· στόμαχον δὲ θη-
λύνει καὶ ἀνατρέπει. Τὰ δὲ ἀσφαλτώδη κεφαλήν τε συμπληροῖ, καὶ τὰ 5
αἰσθητήρια κακοῖ· θερμαίνει δὲ ἐμμόνως, καὶ μαλάσσει σὺν χρόνῳ,
μάλιστα τὰ περὶ ὑστέραν καὶ κύστιν καὶ κῶλον. Τὰ δὲ χαλκανθί- 6
ζοντα στόματι καὶ παρισθμίοις καὶ σταφυλῇ καὶ ὄμμασι διαφε-
ρόντως ἐπιτήδεια. Τὰ δὲ σιδήρου ποιότητος μετέχοντα στομάχῳ 7

contenant du sel, sont utiles dans les fluxions du côté de la tête et de la poitrine, ainsi que dans un excès d'humidité de l'orifice de l'estomac, puis dans l'hydropisie et les tumeurs qui viennent à la suite des maladies, enfin quand la composition élémentaire du corps favorise la production de la pituite; les eaux alumineuses conviennent contre les crachements de sang et contre la tendance de l'orifice de l'estomac à produire des vomissements; elles sont utiles aux gens démesurément incommodés par les hémorroïdes, ainsi qu'aux femmes dont l'écoulement menstruel se fait irrégulièrement, et qui sont sujettes aux avortements.
Les eaux sulfureuses ramollissent les nerfs, font prédominer la chaleur 4
dans la composition élémentaire, et apaisent les douleurs; mais elles
affaiblissent et retournent l'orifice de l'estomac. Les eaux bitumineuses 5
causent de la plénitude dans la tête et font du tort aux organes des sens, mais elles réchauffent d'une manière persistante, et, si on s'en sert pendant longtemps, elles ramollissent, surtout la matrice, la vessie, ou le
colon. Les eaux vitrioliques sont éminemment utiles pour la bouche, 6
les amygdales, la luette et les yeux. Les eaux qui participent aux pro- 7
priétés du fer peuvent produire de l'effet contre les maladies de l'orifice

2. *οἰδήμασι τοῖς* C 2ª m.; *βήμασι τοῖς* A 1ª m. BCM text. V. — 6. *Τὰ δὲ θειώδη* V, Aët.; *τὰ θειώδη* AB. — 7. *πότων* A 1ª m. B corr. C 1ª m. V; *τόπων* B text.; *τῶν τεινεσμωδῶν πόνων* Aët. — 9. *δέ* *Syn.*, Aët., Paul.; *τε* Codd. — 10. *μάλιστα τά* ex em.; *μάλιστα* ABCMV; *καὶ μάλιστα τά* Aët. — Ib. *ὑστέρας* C. — 10-11. *χαλκίζοντα* ABC 1ª m. MV.

Matth. 280-281.

8 καὶ σπληνὶ πεπονθόσι δύναται χρησιμεύειν. Τὰ δὲ μικτῆς ὄντα
9 ποιότητος κατὰ τὴν ἐπικράτειαν τῶν μεμιγμένων ἐνεργεῖ. Δεῖ δὲ
καθεστῶσι τοῖς αὐτοφυέσιν ὕδασι καὶ ἀτρεμοῦσι χρῆσθαι· ὁ γὰρ
ἀτμὸς ἀνιστάμενος ἀπὸ αὐτῶν, ἐπειδὰν κινῆται, βαρὺς ὢν καὶ πλη-
κτικὸς, τὴν κεφαλὴν ἐνοχλεῖ· διὰ τοῦτο καὶ τὰς ἐμβάσεις τὰς εἰς τὸ
ὕδωρ χρὴ ποιεῖσθαι κατιόντας ἀθορύβως, ὅπως ἡ δύναμις ἀνειμένῳ
281 τῷ σώματι προσιοῦσα ἐγκα|ταδύσοιτο· τῶν δὲ σεσοβημένως καὶ τα-
ραχωδῶς ἐμβαινόντων εἰς αὐτὰ πυκνούμενον τὸ σῶμα οὐκ εἰσδέχεται
τὴν παρὰ τοῦ ὕδατος ποιότητα, ὥστε καὶ κόλυμβος ὁ ἐν τοῖς τοιού-
10 τοις καὶ βαπτισμὸς ἀνεπιτήδεια. Ὑπέχειν δὲ κρουνοῖς αὐτοφυῶν
ὑδάτων ἐκείνοις χρὴ μόνοις, ὅσοις ποιότητές εἰσιν ἁρμόδιοι τῇ κε-
φαλῇ, ὡς ὅσοι τοῖς ἀπὸ ἀσφάλτου, ἢ θείου ῥέουσι κρουνοῖς παρέ-
χοντες ἑαυτοὺς εὐκόλως κακοῦνται.

8 de l'estomac et de la rate. Les eaux douées de propriétés mixtes agissent
9 selon la prédominance des qualités qui s'y trouvent mêlées. On n'em-
ploiera les eaux minérales naturelles que lorsqu'elles sont calmes et re-
posées; car la vapeur qui s'en élève lorsqu'elles sont agitées, étant douée
de propriétés alourdissantes et étourdissantes, incommode la tête; pour
cette raison, on doit aussi y entrer sans faire trop de mouvements, afin
que, venant frapper le corps dans un état de relâchement, les substances
puissent agir efficacement en imprégnant le corps de leurs propriétés;
chez ceux, au contraire, qui entrent dans l'eau en se donnant beaucoup
d'agitation et de trouble, le corps se resserre et ne se laisse pas pénétrer
par les propriétés de l'eau; il ne convient donc pas de nager, ou de se plon-
10 ger dans les bains minéraux. Se placer sous un filet d'eau minérale est
une pratique à laquelle on ne doit recourir que pour les eaux dont les
propriétés sont profitables à la tête; ceux donc qui s'exposent à des filets
d'eau sourdant de bitume ou de soufre, peuvent aisément se faire du
mal.

2. μιγνυμένων C. — Ib. συνεργεῖ V. — 4. κινεῖται Codd. — 5. διά] δέ C. — 7. προϊοῦσα BV. — Ib. ἐσοβημένως ABCMV. — 8. ἐμβαινομένων B; ἐμβληθέντων CM. — 13. ἑαυτοῖς AB text. CMV. — Ib. κακούντων A 2ª m. CM.

δʹ. Περὶ λουτρῶν. Ἐκ τῶν Ἡροδότου· ἐκ τοῦ Περὶ τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων.

1 Εἰ θερμοτέρου τοῦ ἐντὸς ἀέρος δεοίμεθα, ἐλθετέον ἐπὶ τοιοῦτον τρόπον βοηθείας· στάμνον ὕδατος ψυχροῦ προσραντέον τοῖς διαπύροις [κόχλαξι, καίτοι ἡ] ἐξ αὐτῶν θερμασία οὐκ ἐπὶ πολὺν χρόνον μένουσα, ταχὺ δὲ σβεννυμένη· διὸ καὶ ἐγχειρητέον τούτῳ πρὸ βραχέος τῆς εἰσόδου.

| εʹ. Περὶ αὐτοφυῶν ὑδάτων. Ἐκ τῶν Ἡροδότου· ἐκ τοῦ αὐτοῦ λόγου. 282

1 Τῶν ἐπὶ μέρους αὐτοφυῶν ὑδάτων τῆς δυνάμεως πολλὴν ἐχόντων διαφορὰν, ἀπολειπτέον τοῖς ἐν τῇ πείρᾳ γενομένοις· ἀκριβῆ γὰρ περὶ τῶν κατὰ εἶδος ποιήσασθαι παράδοσιν ἀδύνατον διὰ τὸ μήτε πᾶσιν ἡμᾶς κεχρῆσθαι, μήτε ἐπὶ πάντων ἀναλογεῖν τὴν περὶ

4. SUR LES BAINS. — TIRÉ D'HÉRODOTE; DU LIVRE *SUR LES AGENTS MÉDICAUX EXTERNES.*

1 Si on a besoin que l'air intérieur du bain soit plus chaud que de coutume, on peut recourir au genre de traitement suivant : arroser d'un seau d'eau froide des cailloux incandescents; la chaleur ainsi produite ne persiste pas pendant longtemps, mais s'éteint vite; aussi n'aura-t-on recours à ce procédé que peu de temps avant l'entrée du malade dans le bain.

5. DES EAUX MINÉRALES NATURELLES. — TIRÉ D'HÉRODOTE; DU MÊME LIVRE.

1 Comme les eaux minérales présentent chacune en particulier une grande différence dans leurs propriétés, il faut abandonner ce sujet à ceux qui en ont fait l'expérience, car il est impossible de faire une exposition fidèle de chacune de ces eaux, attendu que nous ne faisons pas usage de toutes, et qu'on ne peut pas faire connaître ces eaux en se

Ch. 4. Tit. λουτροῦ ACM.— Ib. ἔξωθεν om. B. — 1. δεόμεθα C; δεήμεθα BV. — 2. στάμνου ABC 1ª m. MV. — 3. κόχλαξιν, καίτοι ἡ conj.; om. Codd. in lac. — 4. τοῦτο Codd. — Ch. 5; l. 6. τῶν αὐτοφυῶν Codd.— 6-7. ἔχοντα A 1ª m. BV. — 7. ἀναλειπτέον A 2ª m. CM text.

Matth. 282.

2 τούτων γνῶσιν ταῖς τῶν Φαρμάκων ἐπαγγελίαις. Τὰ δὲ ψυχρὰ τῶν
αὐτοφυῶν ῥεύμασι ϖᾶσιν ἐπιτήδεια, καὶ τοῖς ϖερὶ κύστιν ϖάθεσι
3 καὶ κεφαλαλγικοῖς καὶ ἕλκεσι κακοήθεσιν. Τὰ δὲ ϖινόμενα τῶν ὑδά-
των, εἴτε θερμὰ, εἴτε ψυχρὰ τυγχάνοιεν ὄντα, καθολικὴν οὐκ ἐπι-
4 δεχόμενα διάταξιν, ἐν τοῖς κατὰ μέρος ῥηθήσεται. Ἐπὶ ϖάντων δὲ
ἔστω τις χρόνου συμμέτρησις· εἰ γὰρ μέλλοι τις ἐπὶ τρεῖς ἑβδο-
μάδας χρῆσθαι τοῖς ὕδασιν, ἀρχέσθω μὲν ἀπὸ ἡμιωρίου, καὶ ϖροστι-
θέτω κατὰ ὀλίγον, ὡς ϖερὶ τὴν ἑβδόμην ἀπαρτίζειν ὥρας δύο· τούτῳ
δὲ τῷ διαστήματι μέχρι τῆς δευτέρας ἑβδομάδος ἐπιμείνας, ἀπὸ ταύ-
της ὑφαιρείτω ϖάλιν τὸ ἀνάλογον, καὶ εἰς τὸ κατάρξαν μέτρον
καταληγέτω, ὑφαιρῶν ἀντιστρόφως· οὔτε γὰρ ὠφέλιμον εὐθὺς ἐξ
ἀρχῆς ἐγχρονίζειν τοῖς ὕδασιν, οὔτε λυσιτελὲς μέχρι τέλους ἐπιμέ-
νειν τῇ αὐτῇ ϖοσότητι τοῦ χρόνου, διὰ τὸ συμφέρειν καὶ ἄρχεσθαι
καὶ ἀφίστασθαι ϖρὸς λόγον τοῦ βοηθήματος, ὃν τρόπον καὶ τὰ

servant simplement d'*étiquettes*, comme on le fait pour les médicaments
2 [composés]. Les eaux minérales froides conviennent contre toute espèce
de fluxion, contre les maladies de la vessie, contre le mal de tête et
3 contre les ulcères malins. Comme les eaux minérales chaudes ou froides,
qu'on prend en boisson, ne sont pas susceptibles d'une classification gé-
4 nérale, nous en parlerons en traitant chaque cas en particulier. Pour
toutes les eaux minérales, on observera une certaine mesure de temps : par exemple, si on se propose de continuer le traitement par ces eaux pendant trois semaines, on commencera par [se baigner pendant] une demi-heure, et on augmentera peu à peu [la durée du bain], de manière à arriver exactement à deux heures vers le septième jour ; on s'en tiendra à cet espace de temps jusqu'à la fin de la seconde semaine; après cela, on diminuera de nouveau dans la même proportion, et on s'arrêtera à la mesure par où l'on avait commencé, en redescendant en sens inverse : en effet, il ne convient pas ni de rester longtemps dans l'eau dès le commencement [de la cure], ni de s'en tenir jusqu'à la fin au même espace de temps, parce qu'il est utile de commencer et de quitter le traitement dans des proportions déterminées, de la même façon que

10. ὑφαιρεῖται Codd. — Ib. ϖάλιν δὲ ἀνάλ. B.

γυμνάσια προβι|βάζομέν τε καὶ ἀποκαθίσταμεν. Εἰ δὲ τὸ στοχασθὲν 283
μέτρον τῆς ὠφελείας μὴ φέροιεν, ἐκ διαλειμμάτων τοῖς ὕδασι χρή- 5
σθωσαν. Ἐν δὲ τοῖς παροξυσμοῖς ἀπεριέργως ἡ πᾶσα γινέσθω 6
παρασκευή· προσαχθέντες γὰρ οἱ μὲν τὰ πλεῖστα μέρη περιωδυ-
νεῖς ἐν ὅλοις ἐμβαινέτωσαν· εἰ δέ τινα τὰ πονοῦντα, ἐμβρεχέτωσαν·
παρηγορηθέντας δὲ αὐτοὺς προάξομεν, εἶτα πάλιν παροξυνθέντας
ἐμβιβάσομεν, χρώμενοι τοῖς ὕδασιν ἐμφερῶς ταῖς ἔξωθεν προσαγο-
μέναις πυρίαις καὶ καταπλάσμασιν, ὅθεν καὶ τὸ τῆς χρήσεως πλῆθος
ἐπὶ τούτων ἐκ τῆς ἐπείξεως ληπτέον. Ἔγνων γοῦν τινας καὶ διὰ ὅλης 7
ἡμέρας τῷ τοιούτῳ τῆς θεραπείας χρησαμένους τρόπῳ καὶ σφόδρα
εὐαρεστήσαντας· ἐπαύσαντό γε τῶν τοιούτων παροξυσμῶν ταχέως,
πρότερον αὐτοῖς μακρῶν καὶ δυσλύτων γενομένων, ὠφεληθέντες καὶ
πρὸς τὴν διάθεσιν. Εἰ δὲ τὰ πεπονθότα μέρη ἠδύνατο, ἐσκεπασμένων 8

nous augmentons les exercices pour revenir ensuite au point de départ.
Si ces bains ne produisent pas tout l'effet qu'on s'en était promis, il faut 5
y recourir à plusieurs reprises. Dans les accès des maladies, le bain doit 6
être pris sans étalage : ainsi, après avoir amené les malades aux eaux,
on leur fera prendre un bain entier, si presque toutes les parties du
corps sont en proie à de fortes douleurs ; si, au contraire, il n'y a que
certaines parties qui souffrent, on leur fera plonger ces parties dans
l'eau ; quand leurs douleurs se seront apaisées, on leur ordonnera de
s'en aller, et si ensuite ces paroxysmes reviennent de nouveau, on leur
fera prendre encore un bain, et on administrera ainsi ces eaux de la
même manière que les fomentations et les cataplasmes qu'on applique
à l'extérieur : on déterminera donc aussi la mesure de leur emploi sui-
vant que les circonstances sont plus ou moins pressantes. J'ai connu 7
certains malades qui poursuivirent cette méthode de traitement pendant
tout le cours d'une journée, et qui en recueillirent un bien-être très-
prononcé : ils furent, du moins, rapidement délivrés des paroxysmes de
ce genre, qui, chez eux, étaient auparavant longs et difficiles à enlever,
et leur état général s'améliora en même temps. S'il est possible de tenir 8

1. *προσβιβ.* V. — 5. *ποιοῦντα* C. — 6. *πράξομεν* V. — 7. *χρόνοι* A 1ª m. BCM; *χρόνῳ* V. — 8. *καὶ καταπλ.* ex em. Matth.; *καταπλ.* Codd. — 9. *ἐπὶ τούτων* conj.; *ἐκ τούτων* ACM; *ἐκ τοῦ τῶν* BV. — Ib. *ἐπίξεως* Codd. — 12. *αὐτούς* ABC 1ª m. MV. — 13. *μέρη* om. M text. — Ib. *ἠδύναντο* B.

Matth. 283-284.

τῶν λοιπῶν, ἀποβρέχεσθαι, οὐ χεῖρον ἐπὶ πλείονα χρόνον καὶ πολλάκις τῆς ἡμέρας τοῖς ὕδασι χρῆσθαι· τοῦτο μέντοι ποιείτωσαν πρὸ τροφῆς· ἀσύμφορον γὰρ πεπληρωμένους ὕλης νεαρᾶς τὰ ἐπὶ
9 τοσοῦτον συναιρεῖν δυνάμενα παραλαμβάνειν. Εἰ δὲ ταῖς δυνά-
284 10 μεσιν ἀπολέγοι|εν, ὀλίγον τι σιτίον προσφερέτωσαν. Τῶν δὲ πλείστων ὑδάτων ἐν τόποις ἑλώδεσι καὶ περικαέσιν ὄντων, καὶ διὰ τοῦτο ἐπινόσοις, καιρὸς ἐπιτήδειος ὁ περὶ τὸ ἔαρ καὶ τὸ φθινόπωρον, κατὰ ἃ τῷ χειμῶνι προσκυροῖ, καίτοι καὶ τὴν ἐνέργειαν τῶν ὑδάτων, εἰ ἐν ὑγιεινοῖς τόποις εἴη τὰ ὕδατα, θέρους παραληπτέον, εἰ ψυχρὰ
11 εἴη. Ἐπεὶ δὲ πολλοὶ τῶν ἰδιωτῶν οἴονται τὰ θερμὰ τῶν ὑδάτων συμβάλλεσθαι πρὸς συντήρησιν ὑγείας, καὶ διὰ τοῦτο αὐτοῖς ἀναιδῶς καὶ ἀνεπιστάτως χρῶνται, ὡς εἰκὸς, ἐπὶ βλάβῃ, ἄξιον τῆς ψευδοῦς

dans l'eau les parties souffrantes, en mettant les autres à couvert, il n'est pas trop mauvais de continuer pendant un long espace de temps l'emploi de ces eaux, et d'y recourir plusieurs fois par jour, mais il faut faire ce traitement avant le repas : en effet, quand on a le corps rempli de matériaux nouveaux, il n'est pas sans inconvénient d'employer un
9 traitement qui agit si fortement. Si les forces abandonnent les malades,
10 on leur donnera quelque peu d'aliments. Comme la plupart des eaux minérales se trouvent dans des endroits à la fois marécageux et brûlants, et par conséquent sujets à produire des maladies, le temps opportun pour s'y rendre est la partie du printemps et de l'automne qui se rapproche de l'hiver, quoiqu'on puisse aussi recourir à leur action pendant l'été, si elles sont situées dans des endroits salubres, et si elles
11 sont froides. Puisque beaucoup de gens du monde croient que les eaux minérales chaudes contribuent à conserver la santé, et que, pour cette raison, ils en usent sans mesure et sans direction, à leur détriment, bien entendu, ainsi que cela est naturel, il importe de leur faire aban-

1. χρόνου C. — 4. συναιρεῖν conj.; συναιμεῖν AB text. CM; συνεμεῖν B corr. V. — 4-5. Εἰ...... ἀπολέγοιεν om. BV. — 7. ἐπινόσοις ex em.; ἐπινόσων ABC; ἐπὶ νόσων MV. — 7-8. καθά ABC. — 8. προσπυροῖ A 1ª m. CM. — Ib. καί om. ACM. — 8-9. ὑδάτων εἰ ἐν ex em.; ὑδάτων καὶ εἰ ἐν ABMV; ὑδάτων καὶ εἶεν C. — 9. παραληπτέον ex em.; παραληπταῖα ABC; παραληπτέα MV. — 12. ἐπιβλαβῆ A; ἐπιβλάβοι C.

Matth. 284.

δόξης αὐτοὺς ἀποσΊῆσαι· χρήσθωσαν δὲ, εἰ παρεῖεν, τοῖς ὕδασιν ἀντὶ βαλανείων κοινῶν.

ϛ'. Περὶ ψυχροῦ λουτροῦ χρήσεως. Ἐκ τῶν Γαληνοῦ.

Ὡς δὲ ἄν τις ὑπάρξαιτο λούσασθαι ψυχρῷ, μηδενὸς ἀπὸ τῆς ἐξαιφνιδίας μεταβολῆς ἀπολαύσας βλαβεροῦ, παντὸς μᾶλλον ἐπίσΊασθαι χρή· πολλοὶ γὰρ κακῶς ἀρξάμενοι διεβλήθησαν οὕτω πρὸς ὅλον τὸ ἐπιτήδευμα τῆς ψυχρολουσίας, ὥσΊε μηδὲ τοῖς ἀσφαλῶς αὐτὸ μεταχειριζομένοις ὑπομένειν ἑαυτούς ποτε παρασχεῖν. ἜσΊω τοιγαροῦν ὁ μὲν τοῦ ἔτους καιρὸς ἀρχόμενον θέρος, ἵνα πρὸ τοῦ χειμῶνος ἐν ἅπαντι τῷ μεταξὺ γένηταί τις ἐθισμὸς ἀξιόλογος· ἔσΊω δὲ δήπου καὶ ἡ ἡμέρα κατὰ ἣν ἀρχόμεθα, νήνεμος, ὡς ἔνι μάλισΊα, καὶ ὡς οἷόν τε, τῶν κατὰ ἐκεῖνον τὸν καιρὸν θερμοτάτη, καὶ τῆς ἡμέρας αὐτῆς τὸ θερμότατον, καὶ τὸ γυμνασΊήριον εὔκρα- 1 2

donner cette fausse opinion; toutefois, s'il y a de ces eaux à portée, on peut s'en servir au lieu de bains ordinaires.

6. DE L'USAGE DU BAIN FROID. — TIRÉ DE GALIEN.

Il importe surtout de savoir comment on abordera l'usage des bains 1
froids, sans éprouver de dommage du changement subit; car beaucoup de gens, qui avaient mal commencé, prirent de telles préventions contre tout le régime des bains froids, qu'ils n'osaient pas même se confier aux médecins qui usent de ce traitement d'une manière exempte de danger. La saison de l'année où l'on débute sera donc le commen- 2
cement de l'été, afin qu'avant l'hiver il s'établisse une habitude bien confirmée pendant tout le temps intermédiaire; le jour où on commence devra être aussi calme que possible, et on choisira, autant que faire se peut, un des jours les plus chauds de cette saison; puis on se baignera pendant la partie la plus chaude de ce même jour, et le *gymnase* devra

Ch. 6; l. 3. *ὑπάρξαι τό* B; *ὑπάρξαι τοῦ* AC 1ª m. — Ib. *λούεσθαι* Gal. — 4. *πάντως* A 1ª m. BCV. — 6. *ψυχρολουτρίας* AC. — 6-7. *ὥσΊε..... παρασχεῖν* om. A 1ª m. CV. — 8. *ἀρχομένου θέρους* Gal. — 9. *μεταξὺ χρόνῳ* A 2ª m. Gal. — 10. *ἡ* om. ABCV. — Ib. *ἐρχόμεθα* A 1ª m. BCV. — 11. *ὡς*] *εἰς ὅσον* Gal. — Ib. *τῶν* ex em.; *τόν* ABCV; om. Gal. — 12. *καὶ γὰρ γυμνασΊήριον* B. — 12-p. 391, l. 1. *εὐκρατότατον* Gal.

3 τον. Ἡ μὲν δὴ ἔξωθεν αὕτη παρασκευή· τὸ σῶμα δὲ αὐτὸ τὸ μέλλον ψυχρολουτεῖν τὴν μὲν ἡλικίαν ἔστω περὶ τὴν τετάρτην ἑβδομάδα μεσοῦσαν μάλιστα, μηδὲν ὑπὸ μηδενὸς ἠλλοιωμένον αἰτίου προσφάτου κατὰ ἐκείνην τὴν ἡμέραν· ἔστω δὲ καὶ τὴν ψυχὴν εὔθυμός
4 τε καὶ φαιδρὸς ὁ μέλλων χρῆσθαι τῷ ψυχρῷ νεανίσκος. Πρῶτον μὲν ἀνατριβέσθω σινδόσιν ἐπιπλέον ἢ πρόσθεν· ἔστωσαν δὲ καὶ σφοδρότεραι νῦν μᾶλλον ἢ πρόσθεν αἱ τρίψεις καὶ διὰ σκληροτέρων ὀθονίων· ἐφεξῆς δὲ διὰ ἐλαίου τριβέσθω, καθότι σύνηθες ἦν αὐτῷ, κἄπειτα γυμναζέσθω τῷ πλήθει μὲν ἴσα γυμνάσια, θᾶττον δὲ νῦν ἢ πρόσθεν· ἐπὶ τούτῳ οὕτως εἰς τὸ ψυχρὸν καταβαινέτω, μὴ βλακεύων, ἀλλὰ ἐπωκύνων τὴν ἐνέργειαν, καὶ ἀθρόως ἐναλλέσθω· τὸ
5 γὰρ κατὰ βραχὺ πλησιάζειν τῷ ὕδατι φρίκης ἐστὶ ποιητικόν. Ἔστω

3 jouir d'une température modérée. Voilà en quoi consistent les précautions extérieures; quant à l'âge, celui qui va prendre des bains froids [pour la première fois] devra être arrivé aussi près que possible du milieu de la quatrième semaine d'années (*environ vingt-cinq ans*), et il faut qu'il n'ait subi ce jour-là aucune altération tenant à une influence récente; enfin le caractère du jeune homme qui va prendre des bains
4 froids devra être courageux et gai. D'abord on le soumettra à des frictions avec des linges plus prolongées qu'auparavant, et ces frictions seront alors plus fortes et se feront avec des linges plus durs que de coutume; ensuite on le frottera avec de l'huile, comme il y était habitué, et on lui fera faire des exercices égaux en nombre à ceux qu'il fait habituellement; seulement il devra les exécuter plus rapidement qu'auparavant; après cela il entrera dans l'eau froide sans hésiter, mais en se précipitant, et il devra s'y plonger d'un seul bond, car, si on entre peu à peu
5 dans l'eau, cela produit des frissons. L'eau ne devra être ni tiède, ni

1. Ἡ ὁ μέν A. — Ib. δή om. Gal. — Ib. τό ante σῶμα om. Gal. — 2. τῇ μὲν ἡλικίᾳ Gal. — Ib. περὶ τὴν ἑβδ. C; κατὰ τετάρτην ἑβδ. Gal. — 3. ἀπό C. — Ib. ἠλλοιουμένου A 1ª m. C; ἠλλιωμένου B; ἠλλοιωμένου V. — 4. ἡμέραν ἢ τὴν πρὸ αὐτῆς νύκτα Gal. — 5. σφοδρός C; σφόδρα Aët. — Ib. χρήσασθαι Gal. — 6. μὲν οὖν Gal. — 6-7. ἔστωσαν .... πρόσθεν om. A 1ª m. — 7. ἔμπροσθεν B. — Ib. αἱ om. Gal. — Ib. διά om. A 1ª m. — 8-9. καθότι..... γυμναζέσθω om. BV. — 9. λήθη A 1ª m. BCV. — Ib. μὲν εἰς τὰ γυμν. A 1ª m. C; δὲ πρός τὰ γύμν. BV. — Ib. θάττονα Gal. — 10. ἔπειτα οὕτως Gal. — Ib. ψυχρὸν ὕδωρ Gal. — 11. καί] ἡ Gal.

δὲ μήτε χλιαρὸν τὸ ὕδωρ, μήτε ἀτέραμνόν τε καὶ παγετῶδες· τὸ μὲν γὰρ οὐ ποιεῖται θερμασίας ἐπανάκλησιν, τὸ δὲ πλήττει καὶ καταψύχει τοὺς ἀήθεις, ὡς ἔν γε τῷ χρόνῳ προϊόντι καὶ τοιούτῳ ποτὲ χρήσαιτο ἄν, ἀνάγκης καταλαβούσης, ἀλλὰ κατά γε τὴν πρώτην ἡμέραν ἀκριβῶς χρὴ φυλάττεσθαι τὸ λίαν ψυχρόν· ἐξελθόντα δὲ τοῦ ὕδατος ὑπὸ πλειόνων ἀνατρίβεσθαι προσήκει διὰ ἐλαίου, μέχρις ἂν ἐκθερμανθῇ τὸ δέρμα, καὶ μετὰ ταῦτα σιτία μὲν πλείω τῶν εἰωθότων, ἔλαττον δὲ προσφερέσθω τὸ πόμα. Ταῦτα δὲ εἰ καὶ 6 *σὺ μὴ κελεύσειας, αὐτὸς ἂν οὕτω ποιήσειεν, ἁπάντων ὀρθῶς γενομένων· καὶ γὰρ ὀρέγονται πλειόνων ἐπὶ ταῖς ψυχρολουσίαις καὶ πέττουσιν ἄμεινον, καὶ διψῶσιν ἧττον, ἀφικνοῦνταί τε κατὰ τὴν ὑστεραίαν ἐπὶ τὰ γυμνάσια σαφῶς εὐεκτικώτεροι, τὸν μὲν τοῦ σώματος ὄγκον ἴσον ἔχοντες τῷ πρόσθεν, ἐσφιγμένον δὲ καὶ μυωδέστερον καὶ συντονώτερον, καὶ τὸ δέρμα σκληρότερον καὶ πυκνό-*

dure, ce qui est une qualité de l'eau glaciale; en effet, dans le premier cas, elle ne rappellera point la chaleur, tandis que la seconde espèce engourdit et refroidit ceux qui n'y sont pas accoutumés; on pourra donc dans la suite se servir quelquefois d'une pareille eau, quand la nécessité nous y obligera, mais, le premier jour, il faut éviter avec soin l'usage d'une eau trop froide; en sortant de l'eau, on devra se faire frotter avec de l'huile par plusieurs personnes, jusqu'à ce que la peau se soit réchauffée, ensuite on prendra des aliments en plus grande quantité que de coutume, et on boira moins. Celui qui prend le bain en agira ainsi, 6 même quand vous ne l'ordonneriez pas, pourvu que tout se soit passé comme il faut, car, après le bain froid, on a l'appétit vif, on digère mieux et on a moins de soif; le lendemain, quand on va se livrer aux exercices, on aura manifestement une meilleure apparence; le corps ne présentera pas un volume plus considérable qu'auparavant, mais il sera compact, plus musculeux et plus robuste, et la peau sera plus dure

1. *καί* om. C. — 2. *ἐπανακλίσει* A 1ª m. BV. — 3. *προσιόντι* A 1ª m. BCV. — Ib. *τοιοῦτον* A 1ª m. BCV. — 4. *χρήσηται* (om. *ἄν*) ACV; *χρήσεται* (om. *ἄν*) B. — 4-5. *ἀνάγκης..... ψυχρόν* om. A 1ª m. BCV Ras. — 6. *πλείονος* A 1ª m. BCV. — Ib. *προσήκει δὲ διά* ABCV. — 8. *δὲ εἰ*] *δεῖ* A 1ª m. BCV. — 9. *αὐτούς* A 1ª m. BCV. — 10. *πλεόνων* Gal. — Ib. *τῇ ψυχρολουσίᾳ* Gal. — 12. *ἐπεκτικώτεροι* A 1ª m. BCV. — 14-p. 393, 1. *καὶ τό..... πυκνότερον* om. A 1ª m. BCV. — 14. *σκλ. τε καί* Gal.

7 τερον. Ὁμοίως οὖν ἐπὶ αὐτοῦ κατὰ τὴν δευτέραν πρακτέον ἅπαντα,
καὶ κατὰ τὴν τρίτην τε καὶ τετάρτην, εἶτα οὕτως ἐπὶ προήκοντι τῷ
χρόνῳ κελεύειν ἐμβῆναι τὸ δεύτερον τῷ ψυχρῷ μετὰ τὴν ἐπὶ τῷ
προτέρῳ τρίψιν· τὸ δὲ καὶ τὸ τρίτον ἔτι τοῦτο ποιεῖν, ὡς ἔνιοί
τινες ἐκέλευσαν, οὐκ ἐπαινῶ· καὶ γὰρ καὶ τὸ δεύτερον αὔταρκες
εἶναί μοι δοκεῖ, δυναμένων γε ἡμῶν εἰς ὅσον ἂν ἐθελήσωμεν ἐν αὐτῷ
8 κελεῦσαι διατρίβειν. Ὁ δὲ σκοπὸς τοῦ χρόνου τοῦ τῆς διατριβῆς ἐκ
τῆς κατὰ ἑκάστην ἡμέραν λαμβανέσθω πείρας· εἰ μὲν γὰρ ἀνελθὼν
ἐκ τοῦ ὕδατος ἐπὶ ταῖς ἀνατρίψεσιν εὔχρους ἐν τάχει γίνοιτο, με-
τρίως ἐν αὐτῷ διέτριψεν· εἰ δὲ δυσεκθέρμαντός τε καὶ ἄχρους δια-
μένει μέχρι πλείονος, ἀμετρότερον ἐχρήσατο τῷ ψυχρῷ, γνώσῃ
τε ἐκ τούτων, εἴτε αὐτάρκως διέτριψεν, εἴτε μετακινῆσαί τι πρὸς
τοὔλαττον, ἢ τὸ πλέον.

7 et plus dense. Le second jour, ainsi que le troisième et le quatrième,
tout devra donc se faire de la même manière, puis, dans la suite, on
ordonnera d'entrer une seconde fois dans l'eau froide après la friction
qui a suivi le premier bain ; mais je n'approuve pas le conseil donné par
quelques-uns de prendre un troisième bain ; en effet, il me semble suf-
fisant de le faire deux fois [dans une journée], puisque nous pouvons
prescrire de rester aussi longtemps dans le bain que nous le voulons.
8 L'indication du temps qu'il faudra rester dans l'eau se déduit de l'ex-
périence journalière : en effet, si, après être sorti du bain, le jeune
homme prend rapidement, par l'effet des frictions, une bonne couleur,
il y est resté pendant un espace de temps convenable ; au contraire, s'il
se réchauffe difficilement, et s'il reste longtemps pâle, il a fait un usage
trop prolongé de l'eau froide, et on reconnaîtra aux signes que je viens
d'indiquer, s'il est resté assez longtemps dans l'eau, ou s'il faut faire
quelque changement, soit en plus, soit en moins.

1. δευτέραν ἡμέραν Gal. — 2. τρίτην καί B; om. A 1ª m. — 3-4. μετά..... τρίψιν om. A 1ª m. BCV Ras. — 4. καὶ τρίτον Gal. — Ib. ἐπὶ τοῦτο BV; ἐπὶ τούτῳ A 1ª m. — Ib. ἐνίοις ABV. — 5. γὰρ τό Gal. — 6. μοι om. C. — 6-7. ἐθελ..... σκοπὸς τοῦ om. A 1ª m. — 6. ἐθέλωμεν Gal. — Ib. ἐν om. BCV. — 7. σκοπὸς κἀνταῦθα τοῦ Gal. — Ib. χρόνου τῆς BCV Gal. — 10. διατρίψας Gal. — 10. τε om. C. — 10-11. διαμείνῃ Gal. — 12. αὐτ. διέτρ.] τὸν ἴσον χρόνον αὖθις ἐν τῷ ψυχρῷ διατρίβειν προσήκει Gal. — Ib. εἴτε καὶ μετακινῆσαι Gal. — Ib. τι om. A 1ª m. BCV. — 13. τό om. Gal.

ζ'. Περὶ θερμολουσίας καὶ ψυχρολουσίας. Ἐκ τῶν Ἀγαθίνου.

Περὶ θερμολουσίας καὶ ψυχρολουσίας, ἣν ἔχει φύσιν ἑκάτερον, 1
σκεψώμεθα. Κράτιστον δὴ | ἐμοί γε εἶναι δοκεῖ, μηδὲ τῶν θερμῶν 2 285
παντάπασιν ἀποξενοῦσθαι λουτρῶν, ἀλλὰ σπανιώτερον προσιέναι.
Δεῖ οὖν αὐτοῖς, ὡς ἔχουσί τι καίριον, ἔστιν ὅπου χρῆσθαι· καὶ γὰρ 3
κόπους παύει, καὶ τὰς ἐκ μεγάλης ἀπεψίας νωθρότητας παραιτεῖται μάλιστα, εἰ καὶ πιών τις ἐν αὐτῷ τῷ βαλανείῳ θερμὸν ὕδωρ οὖν ἀπεμέσειε τοὺς ἐκ τῆς διεφθορυίας τροφῆς ἠθροισμένους χυμούς.
Μαλάσσει δὲ θερμὸν λουτρὸν καὶ ἀλόγως ποτὲ συνδεδεμένον καὶ 4
ἐσφιγμένον τὸ σωμάτιον. Ἁρμόζει δὲ καὶ τοῖς δυσγενῶς μὲν ἔστιν 5
ὅτε πρὸς ψυχρολουσίαν, ἀπροθύμως δὲ ἔχουσι πρὸς ἄλειμμα· τρόπος γάρ τις ἀποθεραπείας ἐστὶ τῆς τροφῆς καὶ τὸ βαλανεῖον, ἀναρμόστως μὲν ἐν συνεχεῖ σεισμῷ, τοῖς δὲ κατὰ τοὺς τοιούτους καιροὺς

7. SUR LES BAINS CHAUDS ET LES BAINS FROIDS. — TIRÉ D'AGATHINUS.

Examinons quelle est la nature propre du bain chaud et du bain froid. 1
Ce qu'il y a de mieux, à mon avis, c'est de ne pas se déshabituer entiè- 2
rement des bains chauds, mais d'y recourir moins souvent. Il faudra 3
donc s'en servir parfois comme ayant une certaine opportunité : en effet, ils font cesser la fatigue et chassent surtout la torpeur produite par une digestion gravement dérangée, si, après avoir bu de l'eau chaude dans le bain, on vomit les humeurs accumulées qui proviennent des aliments
corrompus. Le bain chaud ramollit aussi le corps, lorsque parfois il est 4
démesurément compact et resserré. Il convient aussi à ceux qui, ainsi 5
que cela arrive quelquefois, sont trop peureux pour prendre des bains froids et n'ont pas cependant de goût pour les onctions; car le bain est une espèce de traitement complémentaire après qu'on a pris des aliments; il ne convient pas en cas de dérangement continu, mais il n'a rien de déraisonnable pour ceux qui le prennent à dessein dans des cir-

Ch. 7; l. 1. καὶ ψυχρ. om. V. — 4. χρῆσθαι om. A 1ª m. BCMV. — 5. ποιεῖ A 1ª m. BCM text. V. — 5-6. ἀπεψίας..... μάλιστα om. C. — 6. τι C. — 9. τοῖς δυσεντερικοῖς δυσγ. M. — 11. τις] τῆς Codd. — 12. μέν om. BV. — Ib. συνεχεῖ σεισμῷ conj.; συνεχεισμῷ Codd. — Ib. τῆς AB corr. CMV.

Matth. 285-286.

6 ἐπιτηδεύουσιν οὐκ ἄτοπον ἔχων. Κατὰ τὸ πλεῖστον δὲ τοῖς βραχὺ
γοῦν τοῦ μὲν ὑγιαίνειν ποιουμένοις λόγον ψυχρολουτητέον· δυσαν-
286 τίβλεπτον γάρ ἐστι τὸ μέγεθος | τῆς ἐκ τοῦ ψυχρολουτεῖν ὠφελείας.
7 Διὰ τοῦτο εὕροις ἂν τοὺς μὲν ψυχρολουτοῦντας, καὶ εἰ γηραιοὶ
παντάπασιν ὦσιν, συνεστῶτάς τε καὶ πεπηγότας τοῖς σώμασι καὶ
τὴν χρόαν εὐανθεῖς, καὶ καθόλου πολὺ τὸ ἀνδρῶδες καὶ τετονωμένον
8 ἐμφαίνοντας. Ἔῤῥωται δὲ αὐτοῖς καὶ τὰ τῶν ὀρέξεων καὶ πέψεων,
καὶ τὰς αἰσθήσεις, ὡς ἐπίπαν, διηκριβωμένας ἔχουσι, καὶ πᾶν
9 ἁπαξαπλῶς φυσικὸν ἐνέργημα. Τοῖς δὲ θερμολούταις πλαδαρά τε
ἔχειν συμβέβηκε καὶ διεῤῥυηκότα τὰ σαρκίδια καὶ τὴν χρόαν ἀνά-
τροπον, καὶ τοῖς τόνοις οἷον νευροτομεῖσθαι, καὶ κακοσίτοις εἶναι,
καὶ πάντα χεῖρω τῶν ἑτέρων ἔχειν· τί γὰρ ἂν ὡς ἀληθῶς ἐργά-
σαιτο μέτριον τοσαύτη διηνεκῶς καθέψησις ἐν ἀέρι διαπύρῳ τε καὶ

6 constances analogues à celles dont nous venons de parler. Mais l'usage des bains froids doit surtout être recommandé aux gens qui font peu de cas de leur santé, car l'avantage qu'on retire de ces bains est si grand,
7 qu'on ne saurait y résister. Aussi voit-on que ceux qui prennent des bains froids, même quand ils sont déjà tout à fait vieux, ont le corps compact et ferme, présentent une couleur florissante, et ont, en géné-
8 ral, une apparence très-virile et très-robuste. Ils ont un appétit vigoureux et une digestion rapide; chez eux, les opérations des sens, et, pour le dire en un mot, toutes leurs fonctions naturelles, s'accomplissent en
9 général avec précision. Ceux qui prennent des bains chauds ont, au contraire, la chair pétrie d'humidité et diffluente; leur couleur est bouleversée, et, quant aux forces, ils semblent avoir les nerfs coupés; leur appétit est vicié, et tout est, chez eux, dans un état pire que chez les autres individus, car, en vérité, quel effet modéré pourrait produire une telle macération continuelle dans un air incandescent et fortement hu-

1. ἐπιτηδεύουσιν ex em.; ἐπιτήδεσιν A; ἐπιτήδευσιν A 2ª m. BCMV.— 2. τοῦ μέν conj.; τούβην A 2ª m. BC; τουβην MV; βῆν A. — Ib. ψυχρολουτέον BV. — 3. ἐστι] τι C. — Ib. ἐκτὸς ψυχρ. ABC 1ª m. MV. — 4. εὕροις αὐτοὺς μέν V. — Ib. γεραιοί C. — 9. δέ om. A 1ª m. — 10. διεῤῥυηκότα τά ex em. Matth.; διεῤῥυκότα τά BCMV; διεῤῥυκότατα A. — 12-13. ἐργάσαιτο ex em. Matth.; ἐργάσηται Codd. — 13 μετρίου CM.

καθύγρῳ; Τὰ γοῦν νήπια τοῖς μὲν βαρβάροις ἔθος ἐσΊιν, ὡς πυνθά- 10
νομαι, καὶ καθιέναι συνεχῶς εἰς τὸ ψυχρὸν, ἡμεῖς δέ γε καθέψομεν
ταῖς συνεχέσι θερμολουσίαις, πειθόμενοι ταῖς τιτθαῖς αἵ τινες,
ἀσμενίζουσαι τῷ μετὰ τὴν ἐν τοῖς λουτροῖς ἀπαύδησιν κάρῳ τῶν
παιδίων, ἀποχρώντως τε ἔχειν νομίζουσιν ἑαυταῖς, εἰ | μὴ πολλὰ 287
διοχληθεῖεν, τῶν τε νύκτων δύσυπνα φάμεναι γίνεσθαι τὰ μὴ τακερω-
θέντα μικροῦ δεῖν ὑπὸ τοῦ πλήθους τῆς θερμολουσίας, ὅθεν ἐγὼ
τὸ ἐμὸν παιδίον καὶ πολλὰ τῶν ἄλλων ἀλείμμασιν ἀρκεῖσθαι τὰ
πολλὰ ποιῶ, καὶ χωρεῖ μοι τὸ πρᾶγμα κατὰ νοῦν· τὰ δὲ ὑπὸ τῶν
ἄλλων τρεφόμενα παιδία, συνεχῶς λουόμενα καὶ ἐπιπολὺ καθεψό-
μενα, θαυμασΊὸν οὐδὲν, εἰ σπᾶταί τε ἐπιληπΊικῶς καὶ τὰ ἄλλα κακῶς
ἀπαλλάτΊει. Τῶν μέντοι μικρῶν ὑπὲρ τοὺς νηπίους οὐδενὶ νομίζω 11
τὴν ψυχρολουσίαν ἀνάρμοσΊον εἶναι, μήτε φύσεώς τινος ἰδιαζούσης

mide? D'après ce qu'on m'apprend, les barbares ont l'habitude de plon- 10
ger fréquemment leurs petits enfants dans l'eau froide, tandis que nous
macérons les nôtres par la répétition des bains chauds; nous nous en
rapportons en cela aux nourrices, qui, se réjouissant de l'assoupissement
qu'amène l'abattement des forces produit par le bain, croient qu'on a
tout ce qu'on peut désirer d'elles, pourvu qu'elles ne soient pas trop souvent
dérangées; elles prétendent aussi que les enfants qui ne sont pas presque
complétement cuits par l'emploi répété des bains chauds, dorment mal
la nuit; pour cette raison, j'habitue mon fils, et un grand nombre ap-
partenant à d'autres familles, à se contenter le plus souvent des onc-
tions, et cette méthode me réussit à souhait; quant aux enfants élevés
par d'autres gens, soumis à l'emploi fréquent des bains chauds et for-
tement macérés, il n'y a rien d'étonnant qu'ils soient pris de convulsions
épileptiformes, et que, du reste, ils s'en trouvent mal. Pour moi, je suis 11
d'avis que le bain froid n'a rien de contraire aux enfants qui ont dépassé
la première période de l'enfance, attendu qu'ils ne sont pas d'une nature

3. θερμολουσίας A 1ª m. — 4. τῷ] τοῦ ABC 1ª m. MV. — Ib. κάρῳ ex em. Matth.; τῷ κάρῳ Codd. — 5. τε] δέ BV. — 6. διοχληθῇ Codd. — Ib. τῶν τε νύκτωρ ACMV. — 6-7. τακερωθέντα ex em. Matth.; τακαρωθέντα M; τὰ καρωθ. ABC; καρωθ. V. — 8. τὸ ἐμπόδιον V. — 11. εἰσπᾶταί τε C 2ª m.; εἰσπράτΊεται V. — Ib. τά] τῆς ABMV. — 12. τούς] τοῦ B.

γενομένους καὶ τοῖς ἄλλοις ὠφελίμοις ἀντιπάσχοντας· πολλὰ γὰρ
12 ἱστορεῖται καὶ τοιαῦτα. Τὴν δὲ καταρχὴν ἐπὶ τῶν ἀήθων τῆς ψυ-
χρολουσίας οἱ πολλοὶ μὲν οἴονται δεῖν θέρους ὄντος ἀκμαιοτάτου
ποιεῖσθαι· ἐγὼ δὲ παρηκολούθηκα ἐν πάσαις ταῖς τοῦ ἔτους ὥραις
ἀβλαβῶς τοῖς πλείστοις ἀρχομένοις ψυχρολουσίας· πάντοτε μὲν
οὖν ἄρξαιτο ἄν τις ἀβλαβῶς ψυχρολουσίας· εἰ οὖν εἶναι χρή τινα
13 διαφορὰν, ἑλοίμην ἂν ἐγὼ τὴν ἐαρινὴν ὥραν πρὸ τῶν ἄλλων. Δεῖ
δὲ εὐδιοίκητον καὶ κοῦφον ἥκειν ἐπὶ τὴν ψυχρολουσίαν πάντοτε
14 μὲν, μάλιστα δὲ ὅταν καταρχώμεθα τοῦ πρὸς αὐτὴν ἔθους. Αἰεὶ δὲ
288 γυμνασίοις προ|ανακινητέον ἑαυτοὺς ἄχρι τοῦ παρά τισι μόνον καὶ
προθυμίαν εἰς τὸ ψυχρὸν γενέσθαι· προκαταπονεῖν γὰρ σφοδρό-
τητι καὶ πλήθει κινήσεων τὸ σωμάτιον καὶ μέχρι κόπου προάγειν
καὶ ἄλλως μὲν ἄτοπον· οὐδὲν γὰρ ὑπὲρ τὸ μέτρον ἐπιτηδευόμενον

particulière et qu'ils n'ont pas de répulsion non plus pour les autres choses
12 utiles, car on fait beaucoup de ces histoires-là. La plupart des médecins
jugent qu'il faut, quand on n'y est pas habitué, commencer l'usage des
bains froids au plus fort de l'été, mais moi j'ai observé qu'on peut géné-
ralement, sans inconvénient, se livrer pour la première fois à cette habi-
tude dans quelque saison que ce soit; on pourra donc commencer les bains
froids en tout temps, sans qu'il en résulte aucun effet nuisible; si, cepen-
dant, il faut admettre quelque différence, je préférerais le printemps à
13 toute autre saison. Quand on va prendre un bain froid, il faut, en toutes
circonstances, et surtout si on commence à se livrer à cette habitude,
14 que les aliments soient bien assimilés et que le corps soit léger. On doit
toujours, préalablement, se donner du mouvement à l'aide des exercices,
mais seulement jusqu'au moment où, chez quelques-uns du moins, se
développe une envie de recourir à l'eau froide; en effet, se fatiguer le
corps par l'intensité et la fréquence des exercices, et pousser ces exer-
cices jusqu'à la lassitude, est une pratique déraisonnable dans tous les
cas, puisque rien de ce qu'on fait outre mesure n'est favorable à la

1. καί] ἤ C. — 5. ψυχρολουσίαις Codd. — 6. οὖν om. BV. — Ib. ἄρξεται Codd. — Ib. ἄν τις om. CM. — 7. τήν om. B. — 8. ἀδιοίκητον C. — 9. ὅταν καταρχ. ex em.; ὅτε καταχρώμεθα M; ὅτε καταρχόμεθα AC; ὅταν καταχρώμεθα BV. — Ib. Αἰεὶ δή M; Αἰειδές C. — 10. προανακιν. ex em. Matth.; προσανακιν. ABCM; προσανακαιν. V. — 13. ὑπέρ ex em. Matth.; ὑπό Codd.

Matth. 288.

ὑγιεινόν ἐστιν· καὶ δὴ καὶ πρὸς αὐτὴν τὴν ψυχρολουσίαν ἀνεπιτη-
δειότατον· ἐπισυνδεῖ γὰρ καὶ αὐτὴ τὰ σώματα, καὶ πολλῷ σφοδρο-
τέρους ἀπεργάζεται τοὺς κόπους. Ἄμεινον δὲ οἶμαι τὸν ὅλον τῆς 15
χρήσεως τρόπον ἄνωθεν ἀρξάμενον ἐκθέσθαι· μετὰ δὴ τὸ ταῖς βιω-
τικαῖς ἀσχολίαις, ἢ περιπάτῳ γοῦν, ἢ αἰώρᾳ προδιασαλεῦσαι τὸ
σωμάτιον, οὕτως ἐλθετέον ἐπὶ τὴν χρῆσιν, μήτε πρωϊαίτερον, εἰ
οἷόν τε, τῆς νενομισμένης πρὸς ἄριστον ὥρας, μήτε πολὺ βράδιον·
ἑκάτερος γὰρ τῶν καιρῶν τούτων ἄθετος. Γυμνοῦσθαι δέ, εἰ μὲν 16
παρέχοι τὰ τῆς ὥρας, ἐν ἡλίῳ χρή· πάντως γοῦν ἐν ἀπεριπνεύστῳ.
Πολλάκις δέ, εἰ πρὸς τὴν ἀπόδυσιν δυσρίγως ἔχοιεν, ἀνακινητέον 17
ἔτι τοῖς ἱματίοις σκεπόμενον τὸ σωμάτιον συντονωτέρῳ περιπάτῳ,
τείνοντας ἐν αὐτῷ σφοδρότερον τὰς ἰγνύας, ἢ καὶ δρόμῳ. Μετὰ ταῦτα 18
δὲ ὀθονίοις τραχέσιν εὐτόνως ἄχρι πολλῆς καθάψεως φοινίξασθαι

santé, mais elle est surtout très-peu convenable quand on prend des
bains froids, car ces bains augmentent le resserrement des parties [pro-
duit par les exercices] et rendent la fatigue beaucoup plus forte. Le 15
meilleur sera, je pense, d'exposer la méthode entière d'administrer les
bains froids, en procédant par le commencement : après donc qu'on
s'est agité, soit en se livrant à ses occupations professionnelles, soit en
faisant une promenade, ou en se livrant à quelque mouvement passif,
on prendra son bain, mais on ne le fera ni avant l'heure habituelle du
déjeûner, si cela est possible, ni beaucoup après, car ni l'une ni l'autre
de ces deux époques du jour ne conviennent. On se déshabillera, si la 16
saison le permet, au soleil, ou du moins toujours dans un endroit à
l'abri du vent. Souvent, si on a affaire à des individus sensibles au froid 17
lorsqu'ils se déshabillent, il faudra, quand ils ont encore leurs vête-
ments sur le corps, leur donner du mouvement, soit à l'aide d'une pro-
menade plus ou moins forte, dans laquelle on aura soin de leur faire
tendre assez vigoureusement le jarret, soit à l'aide de la course. Après 18
cela, on produira une rubéfaction au moyen de frictions intenses avec

5. ἢ καὶ ὥρᾳ V. — 6. σῶμα τῇ οὖν οὕτ. Codd. — Ib. μήτε πρωϊαίτ. ex em.; μήτε πρωϊέτ. AV; μὴ πεπρωϊέτ. B; μήτε πρωϊέστ. CM. — 9. παρέχει ABCM. — 10. δεῖ πρός Codd. — Ib. ἀπόλυσιν BV. — 11. σωμάτιον τοὺς συντονοτέρους Codd. — 12. ταῦτα ex em. Matth.; ταῦτα τά Codd. — 13. ὀθονίοις ex em. Matth.; ὀθόνια οἷς ABCM; ὀθόνια τοῖς V.

Matth. 288-289.

διὰ ἑαυτοῦ τε καὶ διὰ ἄλλων· ἄρισΙον δὲ τοὺς παῖδας πρὸς τοῦτο χειρῖδας ἔχειν ἐξ ὀθονίων ῥαπῖάς· ἄλλως γὰρ ἀνωμάλου τῆς χρή-
289 σεως | γινομένης, συσΙρεφομένων τῶν ὀθονίων, ἔσΙιν ὅτε καὶ ἀποδο-
19 ραὶ τοῦ δέρματος γίνονται. Μετὰ δὲ ταῦτα καὶ διὰ τῶν χειρῶν ὑπό τε ἄλλων καὶ ὑπὸ ἑαυτοῦ δεῖ ξηροτριβεῖσθαι· μετὰ γὰρ τῆς ἀνα-
20 θάλψεως καὶ τόνον τινὰ θαυμασΙὸν ἐμποιεῖ τοῖς σώμασιν. Μηδὲν γοῦν ἄλλο πραγματευσαμένους, ἔνεσΙιν, ὅσον ἐπὶ τῇ προθυμίᾳ,
21 μετὰ ταύτην εὐθὺς ψυχρολουτεῖν [τὴν] ξηροτριβίαν. Ἀλείφεσθαι δεῖ οὖν ἐλαίῳ συμμέτρῳ, καὶ ἐπὶ πολὺ τρίβεσθαι, καὶ ὑπὸ ἄλλων μέν, μάλισΙα δὲ ὑπὸ ἑαυτοῦ· οὐδὲν γὰρ οὔτε ἀκοπώτερον, οὔτε εὐπονώτερον, οὔτε μᾶλλον ποιητικὸν τοῦ . . . . . τῆς διὰ ἑαυτοῦ τρίψεως.
22 Εἰ γοῦν διαρκοίη τις τῇ πρὸς αὐτὴν προθυμίᾳ μέχρι τοῦ δασῦναι

des linges rudes, poussées jusqu'au massage et pratiquées en partie par les baigneurs eux-mêmes, et en partie par d'autres individus; la meilleure méthode pour cela, c'est de donner aux esclaves des gants faits avec du linge; autrement il se produit quelquefois des excoriations, attendu que l'opération se fait inégalement par suite du plissement du
19 linge. Puis, les baigneurs devront être frictionnés à sec, en partie avec leurs mains [nues], en partie avec celles d'autres individus; en effet, outre que cette pratique réchauffe, cela donne aussi un ton admirable
20 aux parties. Ainsi donc, après cette friction à sec, on pourra, si alors on en a envie, passer immédiatement à l'emploi du bain froid, et sans
21 se donner aucun autre embarras. Pour revenir à mon point de départ, on doit se faire des onctions avec une quantité modérée d'huile et continuer pendant longtemps les frictions, qu'on fera pratiquer un peu par d'autres individus, mais principalement par les baigneurs eux-mêmes, car rien ne combat mieux la fatigue et ne la rend plus supportable, ou ne
22 produit davantage....... que les frictions qu'on se fait soi-même. Si l'ardeur qu'on apporte dans cette opération rend assez fort pour la continuer

1. δεῖ ἑαυτοῦ Codd. — Ib. πόδας ABC 1ª m. MV. — 3-4. ἀποδῶραι A 2ª m. BCMV. — 7. πραγματευομένους C. — 8. τήν ex em. Matth.; om. Codd. — 8-9. οὖν δεῖ BV. — 9. ἐλαίῳ δεῖ συμμέτρῳ ABM; ἐλαίῳ δὲ συμμέτρῳ C. — Ib. ἐπ' ἄλλων C. — 10. ἑαυτῶν Codd. — 10-11. εὐποτώτερον A 1ª m. BV; εὐπορώτερον C. — 11. ἑαυτοῦ ex em.; αὐτοῦ C; ἑαυτῶν ABMV. — 12. Ἤγουν Codd. — Ib. διαρκοίη ex em.; διαρκοίει BMV; διαρκοῖ εἰ AC. — Ib. αὐτῇ Codd.

τὸ πνευμάτιον ἀποχρώντως, οὐδὲν ἂν δέοι τῶν ἄλλων γυμνασίων, ἀλλὰ οὐδὲ ὅπως ἔχει τι πλήσμιον τὸ πρᾶγμα, [ἀλλὰ καὶ] ῥᾳδίως πρὸς αὐτὸ πάντες ἀπαυδῶμεν, ὅθεν ταῖς γοῦν ἄλλαις ταῖς ἑκάστῳ συνήθεσι χρηστέον γυμνασίαις, σκοποῦ μὲν, ὅπερ ἔφην, ἐνδότερον κάμπτοντας καὶ μὴ πάντως ἀναμένοντας, ἕως ἂν οἰδήσαιμεν, ὅπερ τοῖς πλείστοις ἔθος· ἄχρις οὖν τοῦ διαθερμανθῆναι καὶ ἀποχρώντως ἑτοιμασθῆναι πρὸς τὴν ψυχρολουσίαν τὸ σω|μάτιον, καταπαύσαντας 290 δὲ τὰ γυμνάσια, τότε γοῦν πάντως, εἰ καὶ μὴ πρότερον, ἑαυτοὺς τριπτέον μετὰ κατοχῆς τοῦ πνεύματος, ἔστιν ὅτε καὶ κόνει προσυμπασαμένους, μάλιστα εἰ καὶ νοτίσαιμεν, εἶτα οὕτως ἀμελλήτως καὶ ἀθρόως καταβαίνειν εἰς τὸ ψυχρὸν, ἢ ῥᾳδίως περιχεῖσθαι εἰς τόδε τὸ ὕδωρ, εἰ ἐπὶ ἡμῖν εἴη τὸ ἐκλέγεσθαι, μήτε παγετῶδες,

jusqu'au moment où la respiration devient suffisamment fréquente, on n'aura pas le moindre besoin des autres exercices; toutefois, cette opération non-seulement a quelque chose de fastidieux, mais encore on s'y épuise facilement; il faudra, dans ce cas, recourir aux autres exercices, à ceux que chaque individu a l'habitude de faire, seulement on devra, comme je l'ai déjà dit, y renoncer avant d'avoir atteint le but [qu'on se propose ordinairement dans les exercices], et ne pas toujours attendre, comme la plupart des gens ont l'habitude de le faire, jusqu'à ce qu'il se produise de la tuméfaction; [il faudra donc pousser les exercices] jusqu'au moment où le corps se sera réchauffé et sera suffisamment préparé pour le bain froid; mais, quand on en sera là, on devra absolument, si on ne l'a déjà pas fait auparavant, se frictionner soi-même, en retenant le souffle; quelquefois on s'aspergera préalablement de poussière, surtout si on a produit de la moiteur [à la peau], ensuite on entrera, sans hésiter et tout d'un coup, dans l'eau froide, ou, ce qui est plus facile à supporter (?), on se fera des affusions avec cette eau-là, qui, si nous avons la faculté de la choisir nous-mêmes, ne devra être ni gla-

2. *ἔχῃ* Codd. — Ib. *ἀλλὰ καί* conj.; om. Codd. — 4. *σκοποῦμεν* ABCM text. V; *κόπου μέν* M 3ª m. — 5. *ἕως ἂν οἰδήσαιμεν* ex em. Ras.; *ὅσαν εἰδήσαιμεν* C; *ὅσα εἰδήσαιμεν* ABMV. — 6. *ἄχρι* MV. — 8. *πάντες* A 1ª m. BC 1ª m. MV. — 9. *μετοχῆς* C. — 9-10. *προσεμπασαμένους* M; *προσυμπασσομένους* V. — 10. *ἀμελήτως* CMV. — 12. *τότε* C. — Ib. *ὑφ' ἡμῶν* BV.

μήτε ϖαντελῶς ἀνειμένον τῇ ψύξει· τοῦτο γὰρ βλαβερώτερόν ἐστι
23 τῆς εἰς θάτερον ὑπερβολῆς. Κράτιστον δὲ ὑδάτων ϖρὸς ψυχρολου-
σίαν, καὶ μάλιστα ὅτε κατάρχοιτό τις τοῦ ἔθους, τὸ θαλάσσιον·
τά τε γὰρ τῆς ψύξεως καὶ ἀποχρώντως ἔχει, καὶ ὁ διὰ τὴν ἁλμυ-
ρίδα δηγμὸς ἀναθερμαίνει ῥᾳδίως· ὁποῖον δὲ ἂν ᾖ, καθαρόν τε ἔστω
καὶ διαυγὲς καὶ μὴ τελματῶδες, μηδὲ ἑλῶδες, μηδὲ ἄλλως στάσιμον.
24 Προκριτέον δὲ, εἰ ἐξείη, τὸ καταβαίνειν μᾶλλον ἢ τὸ ϖεριχεῖσθαι.
25 Κατὰ μὲν οὖν τὴν ϖρώτην ἔμβασιν ὀλίγον διατριπτέον, εἶτα ἐμ-
βαίνειν χρὴ καὶ ἀνατρίβειν ἑαυτὸν βιαίως, αὖθις δὲ καταβαίνειν,
καὶ τότε ϖροσλιπαρεῖν νηχόμενον, ἢ ἄλλως ὁπωσοῦν, ὡς ἐμμεῖναι
ϖλέον· οὐ μὴν ὥστε ϖάλιν ἐλαίου δὴ καὶ ἀνατρίβεσθαι ϖροθυμία,
εἶτα τὸ τρίτον καταβάντας, καὶ μὴ ἐπὶ ϖολὺ διατρίψαντας, ἤδη
291 καὶ κρουνοῖς ὑποτιθέναι τὴν κεφαλὴν καὶ [τὰ] κα|τὰ τὸν στόμαχον·
εἰ δὲ μὴ, καταντλεῖσθαι γοῦν ϖλείοσιν ὑδρίαις, καὶ τοῦ μὴ δυσα-

ciale, ni trop peu froide : en effet, cette dernière espèce d'eau est plus
23 nuisible que l'eau démesurément froide. La meilleure eau pour prendre
un bain froid, surtout quand on commence à se livrer à cette habitude,
est l'eau de mer, car elle est pourvue d'une vertu refroidissante suffi-
sante, et le picotement que produit le sel qu'elle contient, pourra peut-
être réchauffer; mais, quelle que soit l'eau, elle doit être pure et trans-
parente et ne pas provenir de bas-fonds, ou de marais, ou être stagnante
24 de quelque autre façon. S'il est possible, on préférera l'entrée dans le
25 bain aux affusions. A la première entrée dans le bain, il ne faut donc pas
rester longtemps, puis se promener, se frotter violemment et rentrer
de nouveau; alors on fera des efforts en nageant, ou de quelque autre
façon que ce soit, afin de pouvoir demeurer plus longtemps dans l'eau;
cependant on ne prolongera pas le bain jusqu'au point de sentir de
nouveau le besoin d'huile et de frictions; puis on entrera pour la troi-
sième fois dans l'eau, mais cette fois on n'y restera pas longtemps; alors
on se placera aussi la tête et le creux de l'estomac sous un filet d'eau,
ou, si cela ne se peut pas, on se fera faire des affusions avec plusieurs

2. ὑπερβ. ex em. Matth.; ὑποβ. Codd. — 6. μή] μήτε A 1ª m. V. — Ib. μηδὲ ἑλ. om. A 1ª m. — 7. ἐξίει Codd. — Ib. μεταβ. C. — 11. ἔλαιον Codd. — Ib. τοῦ ἀνατρίβ. C 2ª m. — 13. [τά] ex em. Matth.; om. Codd. — 14-p. 402 1. τοῦ μησυδαρεστεῖν (μὴ συδοσαδ A) AB; τοῦ μὴ συνδαρευτεῖν (συδ. M) CM.

ρεσΊεῖν, εἶτα οὕτως ἀνατρίϐεσθαι μετρίως, μηκέτι νῦν ἐλαίῳ δια-
λύοντας τὴν γεγονυῖαν τοῦ σώματος τελευταίαν ἐπίπηξιν, μετὰ δὲ
ταῦτα ξύσΊραις μὴ πάνυ ἀμϐλείαις ἐπὶ πολὺ δὴ ξύοντας Φοινίσσειν
τὸ σωμάτιον· καὶ γὰρ τονοῦται καὶ ἐξομαλίζεται τὸ τῆς ἐπιφανείας.
Εἰ δὲ καὶ βεϐρωκότες τύχοιμεν, οὐ πάντως ἀπεχόμεθα τῆς ψυχρο- 26
λουσίας, ἐπειδὰν ὀρεγώμεθα σφοδρῶς, εἴτε κινήσεών τινων πρὸς
τοῦτο ἡμᾶς ἐπαγομένων, ἢ καὶ τοῦ καύματος αὐτοῦ τρόπον τινὰ
συνεψήσαντος· οὐκ οἶδα γὰρ ἄν, τί ἄμεινον τούτου ποιήσειε διακαιό-
μενος καὶ ἀκατακαλήκτως ἱδρῶσι χεόμενος. Ἐγὼ γοῦν πολλάκις 27
καὶ μετὰ τὸ δεῖπνον, ὅτε δυσυπνήτως ἔχοιμι πρὸς τὸ καῦμα, καὶ
καταϐαίνειν εἰς ψυχρὸν ἔθος ἔχω, καὶ θαυμασΊὸν πάντως, ὡς χα-
ρίεν διάγω τὴν νύκτα. Ἐν δὲ τῇ χρήσει τοῦ ψυχροῦ τῶν ὤτων προ- 28
νοητέον, ὅπως | μὴ λανθάνῃ παρεισρέον εἰς αὐτὰ τὸ ὕδωρ· καὶ γὰρ 292
καὶ ἄλλως οὐκ οἶδα, ὅπως πρὸς πᾶν συμφορωτάτη τῶν ἄλλων οὖσα

seaux d'eau, ce qui sert en outre à prévenir les sensations désagréables, puis on aura recours à des frictions modérées; seulement on aura soin de ne pas détruire avec l'huile, par ces frictions, le resserrement que le corps a éprouvé à la fin du bain; après cela on se rougira le corps, en le râclant fortement avec des strigils qui ne doivent pas être trop obtus; de cette façon on renforce et on lisse la surface du corps. Si par hasard 26
on a déjà mangé, ce n'est pas toujours une raison pour s'abstenir du bain froid, lorsque nous éprouvons un vif désir d'en prendre un, soit que des mouvements quelconques nous aient donné cette envie, soit que la chaleur elle-même nous fasse subir une espèce de cuisson; en effet, je ne sais pas ce que pourrait faire de mieux quelqu'un qui est brûlé par la chaleur et qui fond sans cesse en sueur. Quant à moi, j'ai 27
l'habitude d'entrer souvent dans l'eau froide, même après le dîner, quand la chaleur m'empêche de bien dormir, et il est vraiment étonnant combien [après cela] je passe agréablement la nuit. Quand on fait usage de 28
l'eau froide, il faut prendre garde aux oreilles, afin que l'eau n'y entre pas sans qu'on s'en doute, car je ne sais pas du reste comment le bain froid, qui, sous tous les autres rapports, est la plus salutaire de toutes

4. τὸ τῆς ex em. Matth.; τῆς Codd. — 8. τις ἀμ. τοῦτο Codd. — 8-9. καιόμενος C. — 10. δυσυπνοίσΊως ABCV; δυσύπνοις τως M. — 11-12. ὡς χαρίεν conj.; χάριν Codd. — 14. καί om. ACMV.

Matth. 292.

διαιτημάτων, ἡ ψυχρολουσία μόνον βλαβερῶς καθάπτεται τῶν ἀκουστικῶν πόρων.

η'. Περὶ ἀμμοχωσίας. Ἐκ τῶν Ἡροδότου· ἐκ τοῦ Περὶ τῶν ἔξωθεν προσπιπτόντων βοηθημάτων.

1 Ἡ δὲ διὰ τῆς ἄμμου πυρία ἐπιτήδειός ἐστιν ἀσθματικοῖς καὶ τοῖς τὸν θώρακα ῥευματιζομένοις καὶ κοιλιακοῖς καὶ ποδαγρικοῖς καὶ τοῖς κατὰ ἐπέκτασιν παραλελυμένοις καὶ τοῖς καχεκτικοῖς καὶ τοῖς ὑδρωπικοῖς καὶ πᾶσι τοῖς χρόνιον ἔχουσιν ἄλγημα· ἐπιτήδειοι δὲ πρὸς τὴν χρῆσιν, πλὴν νηπίων, σχεδὸν πάντες, ὥρα δὲ θερινὴ
2 μετὰ τοῦ τὰς φλογωδεστέρας ἡμέρας αἱρεῖσθαι. Δεῖ δὲ πρὸς τῷ ὄρθρῳ ἐν αἰγιαλῷ ἐν ἄμμῳ βαθείᾳ βόθρους δύο, ἢ καὶ τρεῖς παρεσκευάσθαι, ἰσομεγεθεῖς τῷ χρησομένῳ, καὶ ἀνεκκαῆναι ὑπὸ τοῦ
3 ἡλίου. Ὁ δὲ πεπονθὼς καλῶς ἔστω διῳκηκὼς τὰ σιτία, καὶ χρήσθω

les mesures de régime, fait uniquement du tort par son contact avec les conduits auditifs.

8. DU BAIN DE SABLE. — TIRÉ D'HÉRODOTE, DU LIVRE *SUR LES MOYENS DE TRAITEMENT EXTERNES.*

1 La fomentation à l'aide du sable convient aux malades affectés d'asthme, de fluxion sur la poitrine, de maladie céliaque, de goutte, de paralysies qui s'étendent de proche en proche, à ceux qui ont une mauvaise apparence, ainsi qu'aux hydropiques et à tous les individus qui ont quelque douleur chronique; presque tous les malades se prêtent bien à ce traitement, excepté les petits enfants; la saison qui se prête le mieux à ce traitement est l'été, pourvu qu'on choisisse les jours les plus brûlants.
2 Vers le matin, on préparera sur le rivage, dans du sable épais, deux ou trois fosses de la même grandeur que le malade qui doit y entrer, et on
3 laissera pénétrer ce sable par la chaleur du soleil. Il faut que, chez le malade, les aliments se soient bien distribués, et qu'il ait recours auparavant

Ch. 8; l. 4. *καὶ ποδαλγ.* ACMV; om. B. — 6. *χρονίως* G; om. B. — 9-10. *παρεσκευάσθαι* ex em.; *παρασκευάσθαι* G; *παρασκευάσαι* ABCMV. — 10. *ἀνεκαῆναι* BV; *ἔα ἐκκαῆναι* G. — 11. *σιτία, κεχρήσθω* ABCMV.

πρότερον περιπάτῳ τε καὶ αἰώρᾳ. Τοῦ δὲ περιέχοντος θερμοῦ γενο- 4
μένου, καὶ τῆς ἄμμου ἱκανῶς πυρωθείσης, ἐν τῷ βόθρῳ κατακλιθεὶς
ἐπιχείσθω ἐκ τοῦ πρὸς λόγον τὴν πέριξ ἄμμον μέχρι τοῦ φέρειν
εὐφόρως. Ἐσκεπάσθω δὲ τὴν κεφαλὴν, καὶ | τὰς ἀπὸ τοῦ ἡλίου 5 293
ἀκτῖνας ἐκκλινέτω, ἀεί τινος πρὸ τῶν ὀμμάτων σκεπασ7ηρίου τιθε-
μένου· συλλαμβανέσθω δὲ πρὸς ταῦτα καὶ τὰ σχήματα τῆς κατακλί-
σεως, ὥσ7ε φέρε εἰπεῖν, περὶ μὲν τὰ πρῶτα μέρη τῆς ἡμέρας πρὸς
μεσημβρίαν ἀποβλέπειν, περὶ δὲ μεσοῦσαν πρὸς βοῤῥᾶν. Ἀπο- 6
de pouliot, d'iris, ou de *thym;* on place sur le pot un couvercle en bois percé au centre, on lute ce couvercle sur le rebords du pot, soit avec de la terre de potier, soit avec de la pâte de farine, on adapte exactement à l'ouverture, de manière que l'air ne puisse aucunement passer, un tuyau percé en ligne droite; on attache à l'extrémité du tuyau qui est hors du vase, un petit tube en plomb à bords lisses; on place la femme sur une chaise à accoucher pourvue d'une échancrure au milieu, ensuite on met sous la chaise un feu doux, sur lequel on place le pot muni de son tuyau, et on introduit ce tuyau dans l'échancrure de la chaise. Le tuyau doit être assez long pour que le petit tube en plomb qui y est adapté dépasse très-légèrement le niveau de la chaise; puis nous ordonnerons à la femme d'appliquer ce petit tube à l'orifice du vagin et nous chaufferons le pot : lorsqu'il est chauffé, il s'élève de son contenu une vapeur, qui, en traversant le tuyau, parviendra à la matrice; le petit tube en plomb n'y est adapté que pour adoucir le contact, afin que le

2. τετριμένον A; τετριμμένον CFM. — 3. ἢ ante πηλῷ om. ABCMV. — 5. μολιϐοῦν ACMV. — 6. πλεῖον BV. — 8-10. τῷ..... ἐν om. ABCMV. — 10. ἐκϐάλλοντες F; ἐμϐαλόντες ABC 2ª m. V. — 12. κελεύομεν ABCMV. — 15. γάρ] δέ F. — Ib. μολίϐδιον A 2ª m. — Ib. προσηνίας Codd.

Matth. 310-311.

6 ριν, ἵνα μὴ ἐπινύσσῃ ὁ κάλαμος. Μετὰ δὲ τὴν αὐτάρκη πυρίαν, ἔτι
311 ἐγκειμένου | τοῦ καλάμου, ἡ χύτρα τοῦ πυρὸς ἀφαιρείσθω· ἐὰν γὰρ,
ἀνιόντος τοῦ ἀτμοῦ ἔτι ζέοντος, ὁ κάλαμος ὑφαιρεθῇ, κατακαίεται
7 ὁ κόλπος ὁ γυναικεῖος. Ἐπὶ δὲ τῶν ἐπιλήπτων ὑπὲρ τοῦ διαγνῶναι,
εἰ εἴσιν ἐν τῷ πάθει, γαγάτην ὑποθυμιάσομεν· ὑπὲρ δὲ τοῦ τοὺς
κωματιζομένους ἐπεγερθῆναι καστόριον, θριξὶ κεκαυμέναις, θείῳ,
ἐλέφαντος ῥινίσματι, κέρατι ἐλαφείῳ, ἵππου λειχῆνι· ἐπὶ δὲ ἑτε-
ροκρανικῶν καὶ σκοτωματικῶν καὶ κυνικῶς σπωμένων ἑρπύλλου καὶ
8 κισσοῦ φύλλοις, μανδραγόρᾳ, μαράθρῳ. Ἀσθματικοὺς δὲ καὶ ὀρθο-
9 πνοϊκοὺς ὑποθυμιατέον θείῳ, ἀβροτόνῳ, ὑσσώπῳ, ἡδυόσμῳ. Δεῖ δὲ
καθημένους ὑποθυμιᾶσθαι περιστελλομένους ἱματίοις, τὸ πῦρ ἔχον-
τας μεταξὺ τῶν σκελῶν, καὶ κεκυφότας ἕλκειν κεχηνότι τῷ στόματι
10 τὴν πνοήν. Μετὰ δὲ τὴν ὑποθυμίασιν διακλύζεσθαι χρὴ μελικράτῳ
τοὺς ἄλλους, τοὺς δὲ περὶ τὸν θώρακα ἔχοντας διάθεσιν γάλακτι.

6 tuyau ne blesse pas. Après avoir poussé la fomentation jusqu'à un degré
suffisant, on ôtera le pot du feu sans enlever le tuyau, car, si on ôtait le
tuyau au moment où il s'élève encore une vapeur bouillante, on brûle-
7 rait le vagin. Chez les épileptiques, on fera des fumigations de jayet,
pour vérifier s'ils ont en effet la maladie; pour réveiller les malades
plongés dans le coma, on aura recours au castoréum, aux cheveux brû-
lés, au soufre, à la râclure d'ivoire, à la corne de cerf, ou aux éparvins
de cheval; en cas de migraine, de vertige, ou de spasme cynique, on
fera des fumigations avec des feuilles de serpolet ou de lierre, ou avec
8 de la mandragore ou du fenouil. Aux malades affectés d'asthme, ou
d'orthopnée, on administrera du soufre, de l'aurone, de l'*hysope*, ou de
9 la menthe en fumigation. Il faut faire les fumigations chez ces malades
dans la position assise, en les couvrant de vêtements; puis on place le
pot entre leurs jambes, et ils devront attirer la vapeur en se baissant et
10 en tenant la bouche ouverte. Après la fumigation, on donnera aux ma-
lades qui ont une affection de la poitrine, du lait, et aux autres de l'eau
miellée pour se rincer la bouche.

2. ἐγκ. καλ. B. — 3. ἀνιόντος om. B. — 4. τῶν om. ABCMV. — Ib. τοῦ μὴ δ. F. — 5. εἰ om. C. — Ib. γαγώτην ABGM text. — 6. κομματιζ. ABCMV. — 10. καὶ ἡδ. F. — 12. κεμφότας AC 1ª m. MV; μεμφ. B. — Ib. κεχηνότι τῷ ex em.; κεχηνοπτῷ F; κεχηνῶς τῷ ABCMV. — 13. ὑπόθεσιν BCMV.

Matth. 312.

κ'. Περὶ ὀσφραντῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

312

Ὀσφραντοῖς χρησ7έον, ἐπὶ μὲν ὑσ7ερικῶν ϖνιγῶν κασ7ορίῳ ὄξει 1
ϖεφυραμένῳ, κεκαυμένοις Θριξὶν, ἐρίοις κεκαυμένοις, σπόγγῳ
ὁμοίως, ἐλλυχνίῳ ἄρτι ἐσβεσμένῳ, Θείῳ ἀπύρῳ Θυμιωμένῳ, βδέλ-
λαις καπνιζομέναις· ἐπὶ δὲ ϖροπεπ7ωκυίας ὑσ7έρας ὀσφραντέον
σ7άχυϊ, κασίᾳ, κόσ7ῳ, ἴριδι, φύλλῳ, τοῖς εὐώδεσι μύροις. Ἁρμό- 2
ζει δὲ καὶ ϖρὸς λιποθυμίας καὶ ναυτίας ταῦτα, καὶ ἔτι μᾶλλον
οἶνος μετά τινος αὐτῶν, ἢ ὄξος, ἐναποβρεχομένου Θύμου, γλήχω-
νος, Θύμβρας, ὀριγάνου, σελίνου. Ἁρμόζει δὲ καὶ φύλλα ἀμπέλου 3
καὶ ῥόδα. Πρὸς δὲ τὴν ἀπὸ ἐνδείας ἔκλυσιν ἐπιτήδεια ὀσφραντὰ 4
ἄρτος κεκαυμένος, ἄλφιτα οἴνῳ διάβροχα, μῆλον, ἄπιον, μέσπιλον,
βράβυλον, οὖον, φοίνιξ, ϖέπων, μηλοπέπων· τοῖς δὲ ἐπὶ κεφαλαλ-

20. DES MÉDICAMENTS QU'ON FAIT RESPIRER. — TIRÉ DU MÊME LIVRE.

En cas d'étouffements hystériques, on fera respirer soit du castoréum 1
délayé dans du vinaigre, soit des cheveux, de la laine, ou de l'éponge
brûlés, une mèche récemment éteinte, des vapeurs de soufre brut, des
sangsues grillées, et, en cas de chute de l'utérus, de l'épiaire, de la fausse
cannelle, du costus, de l'iris, des feuilles de faux cannellier, ou des
huiles aromatisées. Ces mêmes ingrédients conviennent contre la dé- 2
faillance et la nausée; mais, dans ce cas, on doit donner la préférence
au vin combiné avec quelqu'un de ces ingrédients, ou au vinaigre dans
lequel on a fait macérer du *thym*, du pouliot, du *thymbre*, de l'origan
ou du céleri. Les feuilles de vigne et les roses conviennent aussi dans les 3
mêmes circonstances. Contre l'affaiblissement produit par la famine, on 4
peut faire respirer du pain brûlé, de l'*alphiton* humecté de vin, une
pomme, une poire, une nèfle, une prune, une sorbe, une datte, une
pastèque ou un melon, et, dans la défaillance amenée par le mal de tête,

Ch. 20; l. 1. Καὶ ὀσφρ. δὲ χρησ7. οἷον ἐπί F. — Ib. ϖνιγμῶν ABCMV. — 2. ϖεφυρμένῳ ABCMV. — 3. ἐλλυχνίῳ ex em. Matth.; ἐν λυχνίῳ ACFMV; ἐν λύγχνῳ B. — Ib. Θυμιωμένῳ ex em.; Θυμιωμένων ACMV; Θυμιώμενον F; Θυμιούμενον B. — 4. ϖροσεπ7ωκυίας ABCMV. — 7. κατά ABCMV. — 9-10. ὀσφρ. οἷον ἄρτος F. — 10-11. μέσπιλον..... ϖέπων om. ABCMV. — 11. βράβυλον ex em.; βράμελλον F. — 11-p. 429, 1. κεφαλαλγίας ABCMV.

Matth. 312-313.
γίαις λιποθυμοῦσι πευκέδανον, πόλιον, δαφνίδες, κυπαρίσσου σφαι-
ρία, ἕρπυλλος, μελάνθιον καιόμενον.

313 | κα'. Περὶ σμηγμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Σμήγματα δὲ παραλαμβάνομεν, τὰ μὲν ὑπὲρ τοῦ ῥύψαι τὴν ἐπι-
φάνειαν, τὰ δὲ ὑπὲρ τοῦ λεπτῦναι τὸ δέρμα, τὰ δὲ ὥστε ἀμύξαι καὶ
ἀναστομῶσαι τὸ σῶμα, τὰ δὲ ἐπὶ πιτυριάσεως καὶ ψώρας καὶ φθει-
2 ριάσεως, ἢ κονίδων ἐνοχλουσῶν. Ῥυπτικὰ μὲν οὖν ἐστι νίτρον, ἀφρό-
νιτρον, ἅλας, μέλι, ἁλὸς ἄνθος, κιμωλία, ἐρεγμὸς, ζύμη, κρίθινον
ἄλευρον, πίτυρα, τέφρα κοινῶς πᾶσα, κίσηρις, ψαμμός· λεπτυντικὰ
δὲ ἐλλέβορος λευκὸς λεῖος, ἀλκυόνιον, θεῖον, σταφὶς ἀγρία, νᾶπυ,
κάχρυ, πύρεθρον, πέπερι, λιμνῆστις, κόκκος Κνίδιος, εὐφόρβιον.
3 Πιτύροις δὲ καὶ τοῖς ψωρώδεσιν, ἔτι δὲ φθειριάσεως σμήγματα

du fenouil de porc, de la germandrée blanc de neige, des baies de laurier, des boules de cyprès, du serpolet, de la nielle brûlée.

21. DES INGRÉDIENTS POUR FRICTIONNER LA PEAU. — TIRÉ DU MÊME LIVRE.

1 Nous frictionnons la peau avec certains ingrédients pour déterger sa
surface; avec d'autres pour amincir cette membrane; avec d'autres en-
core pour irriter et ouvrir les pores; enfin nous en employons aussi
d'autres en cas de *pityriasis*, de *psore*, de phthiriasis ou d'incommodi-
2 tés causées par les lendes. Les ingrédients détersifs pour frictionner la
peau sont la soude brute, l'*aphronitron*, le sel, le miel, les fleurs de sel,
la terre de Cimole, des légumes écrasés, du ferment, de la farine d'orge,
du son, en général toute espèce de cendre, la pierre ponce, le sable,
et ceux qui atténuent la peau, l'ellébore blanc trituré, l'*alcyonium*, le
soufre, la staphisaigre, la moutarde, l'armarinte, la pariétaire d'Es-
3 pagne, le poivre, l'*adarce*, les baies de Gnide, l'euphorbe. Dans le *pi-
tyriasis* et la *psore*, et aussi dans le phthiriasis, il convient de frictionner

1. λειποθ. ταῦτα οἷον πευκέδ. F. — 2. ἕρπυλλον καί F. — Ch. 21; l. 3. παραλαμβάνεται ABCMV. — 4. τὰ δὲ ..... τὰ δέ] τὰ δέρματα δέ ABCMV. — 5-6. ψώρας καὶ φθ. om. CM text. — 6. ἢ κονίδων ἢ B; κονίδων F. — 6. λίτρον A 2ª m.; οἷον νίτρον F. — 7-8. κριθίνων ἀλεύρων ABCMV. — 8. κοινῶς ex em.; κινώς F; κυνός ABCMV. — 8-9. πᾶσα..... θεῖον om. V.

*κατάλληλα σεύτλου χυλὸς, πτισάνης χυλὸς, θεῖον ἄπυρον, ἐλλέβο-
ρος, σταφὶς ἀγρία, σηπίας ὄστρακα κατακεκαυμένα. Πάντα δὲ τὰ* 4
*σμήγματα ἀνήλειπτον προσφέρειν τῷ σώματι, σινδονίῳ ξηρῷ προ-
ξηροτριβηθέντι καὶ προϊδρώσαντι.*

| κβ'. Περὶ ἰσχαίμων. Ἐκ τοῦ αὐτοῦ λόγου. 314

Τῶν ἰσχαίμων τὰ μὲν τῷ ψύχειν ἵστησι τὰς αἱμοῤῥαγίας, τὰ δὲ 1
*τῷ στύφειν, τὰ δὲ τῷ παρεμπλάσσειν, τὰ δὲ τῷ ξηραίνειν, τὰ δὲ
τῷ καίειν. Ὕδωρ μὲν οὖν ψυχρὸν καὶ χυλὸς ψυλλίου, κωνείου, σέ-* 2
*ρεως, πολυγόνου διὰ τὸ ψύχειν ἵστησιν· ὄξος δὲ καὶ ὀξύκρατον
καὶ χυλὸς ἀνδράχνης, ἀρνογλώσσου, ῥοῦ Συριακοῦ, ὑποκιστίδος,
βαλαυστίου διὰ τὸ στύφειν· ἔτι δὲ κηκὶς, ἀκακία, ὀμφάκιον, λεπὶς,
ἰός· γύψος δὲ καὶ καδμεία καὶ ψιμμίθιον καὶ διφρυγὲς κεκαυμένον
καὶ Σάμιος ἀστὴρ καὶ γῆ Σαμία καὶ ἤλεκτρον καὶ μίλτος Λημνία*

la peau avec du suc de bette, de la crème de ptisane, du soufre brut, de
l'ellébore, de la staphisaigre, des os de sèche brûlés. Il faut employer 4
tous ces médicaments sans faire des onctions, après avoir préalablement
frotté le corps à sec avec un linge fin et produit des sueurs.

22. DES MÉDICAMENTS HÉMOSTATIQUES. — TIRÉ DU MÊME LIVRE.

Parmi les médicaments qui étanchent le sang, les uns arrêtent les 1
hémorragies par leurs propriétés refroidissantes, d'autres par leur as-
tringence; d'autres parce qu'ils bouchent les pores; d'autres par leur
vertu desséchante; d'autres enfin en brûlant. L'eau froide, le suc de pu- 2
licaire, de ciguë, de chicorée, de renouée, arrêtent le sang par leur
vertu refroidissante; le vinaigre, l'eau vinaigrée, le suc de pourpier, de
plantain, de sumac de Syrie, d'hypocistis, de fleurs de grenadier sau-
vage, par leur astringence; il en est de même des noix de galle, du suc
d'acacia, du verjus, des battitures de cuivre et du vert-de-gris; le gypse,
la tutie, la céruse, le deutoxyde de cuivre natif brûlé, la terre étoilée
de Samos et l'autre terre de Samos, l'ambre jaune, la terre sigillaire

1. *τεύτλου* ABCMV. — Ib. *πτισάνης χ.* om. C. — 2-3. *Πάντα δὲ τὰ σμ.* om. BV. — 3-4. *προξηροτριβέντι* CM 1ª m. — Ch. 22; l. 5. *τῷ*] *τό* ABCMV; item paulo post ter l. 6, et l. 7. — 11. *ἰός* om. F. — Ib. *διφραγές* C 1ª m; *διαφανές* ABFM text. V. — 12. *ἀστὴρ μὴ γῆ* C.

Matth. 314-315.

καὶ ἀράχνιον καὶ μάννα τῷ παρεμπλάσσειν· σπόγγος δὲ καινὸς εἰς πίσσαν ἀποβραχεὶς καὶ καεὶς, τρύξ τε οἴνου καὶ ὄξους τῷ ξηραίνειν· μίσυ δὲ καὶ χαλκῖτις καὶ χάλκανθος καὶ καυτήριον τῷ καίειν καὶ
3 συνάγειν τὰ σώματα. Δεῖ δὲ ἄρχεσθαι μὲν ἀπὸ τῶν ψυχόντων, ἢ
4 σΊυφόντων, ἐπὶ τελευτῇ δὲ τὰ καίοντα παραγίνεσθαι. Εἰδέναι δὲ χρὴ, ὅτι αἱ μὲν τῶν ἄλλων μερῶν αἱμοῤῥαγίαι πλείσΊοις εἴδεσι
315 τῶν ἰσχαίμων χαίρουσιν, αἱ δὲ | ἀπὸ ὑσΊέρας καὶ τῶν ἐν βάθει πρὸς μὲν τὰ καίοντα ὅλως ἀλλοτριοῦνται, ἧσσον δὲ καὶ τοῖς ψύ-
5 χουσιν ὑπακούουσιν. Χαίρει δὲ ὑσΊέρα μὲν τοῖς σΊύφουσι μάλισΊα· αἱ δὲ διὰ σΊόματος ἀναγωγαὶ οὔτε τὰ ξηραίνοντα προσδέχονται, οὔτε τὰ εἰρημένα, εὐαρεσΊοῦσι δὲ τοῖς παρεμπλάσσουσιν, οὐ μὴν πᾶσιν, ἀλλὰ ὅσα ποθῆναι δύναται καὶ ἀκίνδυνα καθέσΊηκεν· ψιμ-

de Lemnos, les toiles d'araignée et la poussière d'encens arrêtent le sang en bouchant les pores; une éponge neuve trempée dans du goudron et brûlée ensuite, ainsi que la lie de vin ou de vinaigre, produisent cet effet par leurs propriétés desséchantes; le sulfate de cuivre déliquescent, le cuivre pyriteux, le vitriol bleu et le cautère, en brûlant et en
3 contractant les parties. On commencera par les refroidissants, ou les
4 astringents, pour passer, vers la fin, aux substances brûlantes. Il faut savoir que les parties autres que la matrice ou les organes intérieurs se prêtent bien à l'usage de divers moyens propres à arrêter le sang; mais la matrice et les organes profondément situés excluent complétement l'emploi des substances brûlantes, et ils sont moins sensibles aussi à
5 l'action des refroidissants. Seulement la matrice se trouve très-bien de l'application des astringents, tandis que les hémorragies qui se font jour par la bouche n'admettent ni l'emploi des substances dont nous venons de parler, ni celui des médicaments desséchants, mais veulent être traitées par les ingrédients qui bouchent les pores, non pas cependant par toutes les substances de cette classe, mais seulement par celles qui sont capables d'être prises en boisson et qui ne présentent pas de danger, car

2. ἀποβραχθεὶς F.— Ib. καὶ καεὶς om. ABCMV. — 3. ἥμισυ F. — Ib. καυσΊήριον BV. — 4-5. καὶ ἢ σΊυφόντων F. — 5. τελευτῇ conj.; τελευταίᾳ ABCFV; τελευταῖ M. — 5-6. δὲ καὶ χρή C 1ª m. — 6. ὅτι om. M text. — Ib. ἃ μὲν τ. ἀλλ. ABCMV 2ª m.; om. V. — 7. χαίρουσιν om. V. — 8. προσμένοντα καίοντα A 2ª m. BCMV; προσμένοντας καίοντα A. — 12. ὅσα ποθῆναι ex em.; ὡς ἀποθῆναι BF; ὡς ἀποθεῖναι ACMV. — Ib. δύνανται ABCMV.

μίθιον γὰρ καὶ γύψος καὶ καδμεία καὶ διφρυγὲς δηλητηρίων ἔχει χώραν· ἐπὶ τῶν ἔξωθεν οὖν αἱμοῤῥαγιῶν ταῦτα ἐπιτήδεια παραλαμϐανόμενα.

κγ'. Περὶ κολλυρίων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Κολλύρια τὰ μὲν ἰδίως λεγόμενα ὀφθαλμοῖς προσφέρεται λεαν- 1
θέντα· τὰ δὲ κοινῶς προσαγορευόμενα ὁλόκληρα τὰ μὲν προστίθε-
ται, τὰ δὲ ἐντίθεται· προστίθεται μὲν ὑστέρᾳ, ἐντίθεται δὲ σύριγξι
καὶ κόλποις. Τὰ μὲν οὖν ὑστέρᾳ προστιθέμενα κάθαρσίν τε προκα- 2
λεῖται, καὶ ἔμϐρυα ἐκ|ϐάλλει· σκευάζεται δὲ διά τε κολοφωνίας καὶ 316
σμύρνης καὶ κράμϐης ῥίζης, δικτάμνου καὶ ἐλατηρίου. Δεῖ δὲ μῆκος 3
μὲν εἶναι δακτύλων τεσσάρων τὰ κολλύρια, μύουρα δὲ κατὰ τὸ
σχῆμα, καὶ κροκύδι περιελίσσειν, ἢ λίνῳ ἐπιμήκει, ὅπως μετὰ τὸ
αὐτάρκη μεῖναι χρόνον ἐπισπασθῆναι [δύναιτο] διὰ τῆς κροκύδος,

la céruse, le gypse, la tutie et le deutoxyde de cuivre natif jouent le rôle d'agents délétères; il convient donc de les réserver contre les hémorragies extérieures.

23. DES COLLYRES. — TIRÉ DU MÊME LIVRE.

Les collyres proprement dits s'appliquent aux yeux, après avoir été 1
triturés, tandis que ceux qu'on appelle vulgairement *collyres entiers* sont
ou appliqués contre des organes, ou introduits dans des cavités, or on
les applique contre l'utérus, et on les introduit dans les fistules et dans
les foyers purulents. Les collyres qu'on applique contre l'utérus pro- 2
voquent les règles et expulsent les fétus; on les prépare avec de la
colophane, de la myrrhe, de la racine de chou, du dictame de Crète
et du suc de concombre sauvage. Ils doivent avoir la longueur de 3
quatre doigts, et, quant à la forme, se terminer en queue de souris; on
les enroulera autour d'un long fil de laine, ou de lin, afin de pouvoir les
retirer à l'aide de ce fil, quand ils sont restés assez longtemps en place.

1. *διφρυγές* ex em. Matth.; *διαφανές* Codd.; V. p. 430, l. 11. — Ib. *δηλητήριον* ABCMV. — 2. *τὰ αὐτά* A. — Ch. 23; l. 4-5. *λεανθέντα δὲ κοινῶς* ABCMV. — 5. *ὁλόκληρα καὶ τά* F. — 5-7. *τὰ μὲν ..... κόλποις* om. BV. — 7. *Καὶ τὰ μέν* F. — 7-8. *τε προκαλεῖται ..... ἐκϐάλλει* om. A 1ª m. — 9. *κράμϐης καὶ ῥίζης* F. — Ib. *δικτάμου* ABCV. — 11. *κροκίδι* B text. M et sic sæpius. — Ib. *περιελίσσας* M. — 12. [*δύναιτο*] e conj. Matth.; om. Codd.

4-5 ἢ τοῦ λίνου ἔξω. Χρίεσθαι δὲ τὸ κολλύριον κυπρίνῳ. Χρὴ δὲ Φυλάσσεσθαι, ὡς μήτε Φλεγμαινούσης, μήτε ὀδυνωμένης τῆς ὑσῖέρας,
6 ωροσῖεθῇ. Τὰ δὲ ἐντιθέμενα κολλύρια σύριγξί τε καὶ κόλποις, τὰ μὲν ἐμβαλλόμενα τοῖς κόλποις ὑπὲρ τοῦ ωαρακολλῆσαι ωαραλαμβάνεται· γίνεται δὲ ταῦτα διὰ μέλιτος ἑφθοῦ, ἢ διὰ ταυροκόλλης, καὶ διὰ ἰοῦ, ἢ καὶ διὰ χαλκοῦ κεκαυμένου· τὰ δὲ ἐπὶ τῶν συρίγγων ἐντιθέμενα ὑπὲρ τοῦ ἐκτυλῶσαι· σκευάζεται δὲ διὰ μέλιτος καὶ μίσυος καὶ χαλκάνθου καὶ χαλκίτεως καὶ λεπίδος μελαίνης καὶ ῥίζης
7 ωρασίου καὶ κεδρίας καὶ σώρεως. Ἔστω δὲ ταῦτά τε καὶ τὰ ἐπὶ τῶν κόλπων μήκει μὲν σύμμετρα τοῖς κόλποις, ἢ τοῖς σύριγξι,
8 ωάχει δὲ ἐλάσσω, ὡς μὴ διεσΦηνῶσθαι. Ἐντίθεται δὲ καὶ σπόγγος καὶ ωάπυρος ἐσκελετευμένα λίνῳ ἐπί τε κόλπων καὶ συρίγγων ὑπὲρ
317 τοῦ ἀναξηρᾶναι, εἰ τούτου δεοίμεθα· ἐπισπᾶται γὰρ | εἰς ἑαυτὰ τὴν ἰκμάδα· καὶ ὑπὲρ τοῦ διευρῦναι καὶ ἀνοῖξαι τὰ σῖόμια τῶν συρίγγων,

4-5 Le collyre doit être revêtu d'une couche d'huile d'alcanna. Il faut se garder d'appliquer des collyres à l'utérus quand il est enflammé, ou dou-
6 loureux. Quant aux collyres qu'on introduit dans les fistules et dans les foyers purulents, ceux qu'on met dans les foyers purulents s'emploient pour en agglutiner les parois; on les fait avec du miel cuit, de la colle de taureau, du vert-de-gris, ou du cuivre brûlé; mais ceux qu'on introduit dans les fistules s'emploient pour détruire les callosités; on les fait avec du miel, du sulfate de cuivre déliquescent, du vitriol bleu, du cuivre pyriteux, des battitures de cuivre noires, de la racine de marrube,
7 de la résine de *cèdre* et du sulfate de cuivre natif. Ces collyres, ainsi que ceux destinés aux foyers purulents, doivent avoir la même longueur que les foyers ou les fistules; mais leur épaisseur doit être moindre, de façon
8 qu'ils n'y restent pas enclavés. On introduit aussi dans les foyers purulents et dans les fistules, à l'aide d'un fil de lin, de l'éponge ou du papyrus secs, dans le but de dessécher, si nous avons besoin de produire un tel effet (car ces ingrédients attirent à eux l'humidité), et aussi dans celui de dilater, de dégager l'ouverture des fistules, et de ménager aux

1. Ἔξω δὲ χρίεσθαι τό F; ἔξω. Χρ. δὲ καὶ τό V. — 3. ωροσῖεθῆναι ABMV; ωροσῖιθέναι C. — 3-4. τὰ μὲν..... κόλποις om. ABCMV. — 4. ἐμβαλλόμενα ex em.; ἐμβαλόμενα F. — 5. γίνωνται F. — 9. σέρεως ABCMV. — 11. διεΦηνεῖσθαι AB corr. CM; διαΦηνεῖσθαι B text.; διεσΦηνεῖσθαι V. — Ib. καί om. F.

Matth. 317.

ϖαρασχεῖν τε χώραν τοῖς κολλυρίοις τῆς ϖαρόδου. Τῶν δὲ ὀφθαλ- 9
μικῶν κολλυρίων τὴν μὲν ὕλην ἐξεθέμεθα ἐν τῷ ϖερὶ ἐμβροχῶν καὶ
καταπλασμάτων καὶ ἐμπλασμάτων τόπῳ. Σκευάζειν δὲ τὰ κολλύρια 10
ἔαρος· θέρους τε γὰρ ἡ δύναμις αὐτῶν διαπνεῖται, καὶ μάλιστα
τῶν ἀρωμάτων ξηρῶν κοπτομένων, ἔτι τε ἐξαεροῦται· χειμῶνος δὲ
ἐν μὲν τῷ ξηρὰ κόπτεσθαι οὐδὲν λυπεῖται, τριβόμενα δὲ σὺν τῷ
ὑγρῷ Φρίσσει, καὶ οὔτε ἀνίησι τὰς δυνάμεις, οὔτε ἀνακιρνᾶται ἀλ-
λήλοις. Ἐνίοτε δὲ, καθάπερ ἐν ταῖς δυσχειμέροις χώραις, καὶ ἀπο- 11
βάλλει τὰς δυνάμεις τὰ Φάρμακα χειμῶνος, ἐν τῷ ὑγρῷ τριβόμενα·
ἐκπήγνυται γάρ. Οὐδὲ λίαν ξηροτριβεῖν τὰ Φάρμακα· τὸ γὰρ χνοῶ- 12
δες αὐτῶν, ὅπερ ἐστὶ τῇ δυνάμει καθαρώτατον, ἐξατμίζεται καὶ
ἀπέρχεται. Τριπτέον δὲ κατὰ αὐτὰ μὲν ξηρὰ τὰ Φάρμακα, ὥστε 13
διασῆσαι χωρὶς βίας διὰ τῶν λεπτοτάτων κοσκίνων σὺν τῷ ὑγρῷ.

collyres un espace par lequel ils puissent passer. Quant aux collyres pour 9
les yeux, nous avons exposé les ingrédients dont on les fait, dans l'en-
droit où nous avons parlé des embrocations, des cataplasmes et des to-
piques. Il nous reste à dire qu'il faut les préparer au printemps; en effet, 10
en été, leurs vertus médicales se dissipent, surtout pendant qu'on pile
les aromes à sec; de plus, ils s'évaporent; en hiver, au contraire, ils n'é-
prouvent aucune altération pendant qu'on pile les substances sèches;
mais, quand on les triture avec le liquide, ils deviennent rugueux et ne
laissent pas échapper leurs vertus médicales, et les ingrédients ne se
mêlent pas bien ensemble. Quelquefois les médicaments perdent, en hiver, 11
leurs propriétés au moment où on les triture dans le liquide, par exemple
dans les pays où l'hiver est rigoureux, car la gelée détruit leurs pro-
priétés. On ne doit pas non plus triturer très-fortement les médicaments 12
à sec, puisque, dans ce cas, la partie qui est à l'état de poussière fine, et
qui est douée des vertus médicales les plus pures, s'envole et se perd.
Triturez les médicaments secs à part, de manière à pouvoir les faire 13
passer sans difficulté conjointement avec le liquide à travers les cribles

3. Παρασκευάζειν F. — 4-5. μάλ. τὰ τῶν F. — 6. τῷ ξηρᾶναι F. — 7. Φρίσσειν Codd. — Ib. δυν. καὶ οὔτε F. — Ib. ἀνακίρνανται F. — 7-8. ἀλλήλαις F. — 11. καθαρ. τῇ δυν. ABCMV. — 13. διασεῖσαι BCMV; διασείσας A.

14 Οὐκ ἀθρόον δὲ παραχυτέον τὸ ὑγρὸν, ἀλλὰ κατὰ βραχὺ, ὥσΊε ἀεὶ
γλοιῶδες καὶ ἰξῶδες τρίϐεσθαι τὸ Φάρμακον· οὕτω γὰρ ἑνωθήσεται
τὰ ἐμϐαλλόμενα πρὸς ἄλληλα· εἰ δὲ πᾶν ἐπιχυθείη τὸ ὑγρὸν, τὰ
μὲν μεταλλικὰ ὑφιζάνει, τὰ δὲ ἀρωματικὰ ἐπιπολάζει, καὶ οὔτε
ἀλλήλοις ἀναγκασθήσεται ἑνωθῆναι, οὔτε ὑποπεσεῖται τῷ λεαντῆρι,
318 15 προτρέχοντα καὶ διαφεύγοντα τῷ ὑγρῷ. | Τὸ δὲ ὕδωρ ὄμϐριον
ἔσΊω· λεπΊὸν γὰρ τοῦτο καὶ διαδύεται διὰ πάντων· εἰ μὴ οἴνῳ τύχοι
16 τὸ κολλύριον ἀναλαμϐάνεσθαι. Τὰ μὲν δὴ διὰ μεταλλικῶν σκευαζό-
μενα κολλύρια λεαίνεται χρόνῳ πολλῷ, τὰ δὲ διὰ χυλῶν ὀλιγημέρου
17 δεῖται τρίψεως. Μετὰ δὲ τὸ αὐτάρκως ἔχειν τῆς λεάνσεως κόμμι
προσϐάλλεται τοῖς κολλυρίοις ὑπὲρ τοῦ συναγαγεῖν καὶ μετὰ τὸ
ξηρανθῆναι ἀῤῥαγῆ παρέχειν τὰ κολλύρια· ἰδίαν γὰρ δύναμιν οὐ-
18 δεμίαν ὀΦθαλμοῖς ἐπιτήδειον ἔχει τὸ κόμμι. Ἀποτίθεσθαι δὲ χρὴ
μετὰ τὸ ἀναπλάσαι τὰ κολλύρια ἐν ἀγγείῳ χαλκῷ· βελτιοῦται γὰρ

14 les plus fins. Le liquide ne devra pas être versé d'un seul coup, mais
petit à petit, de manière que le médicament conserve toujours la con-
sistance du marc d'huile ou de la colle, pendant qu'on le triture; car, de
cette manière, les ingrédients qu'on y met se combineront; si, au con-
traire, on ajoute tout le liquide à la fois, les substances minérales vont
au fond et les substances aromatiques à la surface; elles ne seront pas
forcées de se combiner entre elles et ne subiront pas l'action du pilon,
15 parce qu'elles s'écartent et s'échappent grâce au liquide. L'eau qu'on
emploie doit être de l'eau de pluie, parce que cette eau est ténue et pé-
nètre à travers tout, à moins que ce soit le vin qui serve d'excipient
16 au collyre. Les collyres qu'on fait avec les substances minérales doivent
être triturés pendant longtemps; mais ceux qu'on fait avec les sucs n'ont
17 besoin que d'une trituration peu prolongée. Quand les collyres sont par-
venus à un degré suffisant de trituration, on y met de la gomme pour
les raffermir et pour empêcher qu'ils ne se cassent quand il sont séchés,
car la gomme ne possède aucune propriété spécialement utile pour les
18 yeux. Après avoir pétri le collyre, il faut le conserver dans un vase de

1. ἀεί om. C. — 5. ἐπιπεσεῖται F. — 7. οἶνος τύχοι V; οἶνος τύχῃ A 2ª m. BC; οἶνε σΊύχῃ A; οἶνον τύχῃ M. — 8-9. συσκευαζόμενα AC. — 9. ὀλιγημέρου ex em.; ὀλίγην μέρου F; ὀλίγην μέρους AB; ὀλίγης μέρους CM; ὀλίγου μέρους V. — 11. καί om. F. — 12. ἀῤῥαγῆ] δέ F. — 14. χαλκῷ ἢ ὑαλίνῳ Paul.

ὑπὸ τοῦ χαλκοῦ τὰ ὀφθαλμικά. Τοῖς μὲν οὖν διὰ χυλῶν εὐθὺς δεῖ 19
χρῆσθαι, τὰ δὲ διὰ τῶν μεταλλικῶν παλαιούμενα κρείσσω γίνεται.
Ἁρμόζει δὲ ἀρχομένῃ μὲν ὀφθαλμίᾳ, καὶ μάλισῖα θέρους, τὰ διὰ 20
γλαυκίου καὶ κρόκου καὶ σαρκοκόλλης· ῥεύματι δὲ τὰ διὰ ῥόδων καὶ
τὰ διὰ Φοινίκων ὀσῖέων κεκαυμένων καὶ τὰ διὰ θαλλίας· ὀδύναις
δὲ ἰσχυραῖς τὰ διὰ ἀσῖέρος καὶ τὰ διὰ ἀμύλου, τὰ Βαβυλώνια καλούμενα·
χημώσεσι δὲ τὰ διὰ πομφόλυγος καὶ τὰ διὰ ψιμμιθίου καὶ
τὰ διὰ νάρδου· πρὸς δὲ ἕλκη τὰ διὰ λιβάνου· πρὸς δὲ τὰς διαθέσεις
τὰς ἐγκεχρονικυίας τὰ δριμέα· τὰ δὲ αὐτὰ καὶ πρὸς ἀμβλυωπίας. Ἡ 21
δὲ ὕλη παρὰ πᾶσιν ἔγκειται τῶν κολλυρίων. Δεῖ δὲ ἐγχυματίζειν 22
ἐπί τε χη|μώσεως καὶ Φλεγμονῶν ἰσχυρῶν, ἵνα μὴ ἐρεθίζῃ τὸ πά- 319
θος ἡ μήλη ψαύουσα· ὑπαλείφειν δὲ ἐπὶ τῶν ἄλλων περισῖάσεων.
Τῷ δὲ πυρῆνι τῆς μήλης οὐ ψαυσῖέον τοῦ ὀφθαλμοῦ, ἀλλὰ κατα- 23

bronze, car le bronze améliore les médicaments oculaires. On emploiera 19
immédiatement les collyres faits avec les sucs, tandis que les collyres composés avec les substances minérales deviennent meilleurs en vieillissant.
Contre une ophthalmie commençante, surtout quand c'est en 20
été, il convient d'employer les collyres au glaucium, au safran et à la sarcocolle; contre une fluxion, ceux aux roses, aux pepins de dattes brûlés et aux pousses d'olivier; contre les douleurs intenses, ceux à la terre étoilée et ceux à l'amidon, qu'on appelle *collyres de Babylone;* contre les chémosis, ceux aux fleurs de zinc, à la céruse et à l'épi de nard; contre les ulcères, ceux à l'encens; et, contre les affections de longue durée, les collyres âcres; ces mêmes collyres conviennent aussi contre l'obscurcissement de la vue. Les ingrédients qui entrent dans la com- 21
position des collyres se trouvent indiqués partout. En cas de chémosis 22
ou d'inflammation grave, il faut administrer les collyres sous forme d'injection; de cette façon on évite l'emploi de la spatule, qui irrite l'organe malade par son contact; dans les autres circonstances, on se servira des collyres sous forme d'onction. Mais il faut que le bouton de la 23

2. *γίνωνται* F. — 3. Ἁρμόζει]. Avant ce mot, les mss. ont en titre Τρόποι ou Τρόπος χρήσεως. — Ib. δέ] μέν ABCMV. — Ib. ἄρχομεν A; ἀρχομέναις B corr. V. — Ib. μέν om. ABCMV. — Ib. ὀφθαλμίαις B corr. V. — 4-5. ῥόδων τά ABCMV. — 5. κεκαυμένων τά ABCMV. — 6. καί om. ABCMV. — 7. χειμώσει B. — Ib. καί bis om. ABCMV. — 13-p. 437, 1. καταπλασθὲν τοῦ ACMV; τοῦ καταπλασθὲν τοῦ B.

Matth. 319.

24 πλασθέντος τοῦ κάτω βλεφάρου ἐκεῖνο παραθετέον τὸ φάρμακον. Αἱ δὲ ἐξ ὑποβολῆς ἐγχρίσεις καὶ αἱ κατὰ ἐκτροπὴν θεατρικὸν μέν τι ἔχουσιν, ἀνίατρον δέ· αἱ μὲν γὰρ ἐξ ὑποβολῆς λυμαίνονται τὸν ὀφθαλμὸν, πρὸς ἀντίτυπον τὴν μήλην παρατρίβουσαι· αἱ δὲ κατὰ ἐκ-
25 τροπὴν τυλώδη ποιοῦσι τὰ βλέφαρα. Αἱ δὲ ὑγραὶ λεγόμεναι χρήσιμοι μέν εἰσι πρός τε ἀμβλυωπίας καὶ πρὸς ἀρχομένας ὑποχύσεις· σκευάζονται δὲ διὰ μέλιτος Ἀτlικοῦ καὶ ὀποβαλσάμου καὶ χολῆς, μάλισlα μὲν ὑαίνης· εἰ δὲ μὴ, ἐχίδνης, ἢ ἀετοῦ, ἢ γυπὸς, ἢ πέρ-
26 δικος, ἢ ἀλεκτορίδων λευκῶν, ἢ κορακίνων τῶν ἰχθύων. Ἐνίοτε δὲ καὶ μαράθρου χυλὸν λαμβάνουσιν, ἢ ἔλαιον τὸ διὰ παλαιότητα ἤδη λεπlὸν καὶ λελυμένον, ἢ ὀπὸν Κυρηναϊκὸν, ἢ κιννάμωμον, ἢ τοῦ λεγομένου βησασᾶ τοῦ σπέρματος, ὅπερ ἡγούμεθα πήγανον ἄγριον
27 εἶναι. Δύνανται δὲ αἱ ὑγραὶ λεπlύνειν τε καὶ θερμαίνειν καὶ καθαί-

spatule ne touche pas à l'œil; on appliquera, au contraire, le médicament
24 en en enduisant la paupière inférieure. Les méthodes dont on se sert pour appliquer les collyres sous forme d'onction, en passant la sonde ou derrière la paupière, ou en renversant cet organe, ont quelque chose qui sent l'ostentation; mais elles sont indignes d'un médecin : en effet, la première nuit à l'œil, attendu qu'il est râclé par la spatule, laquelle est un corps résistant, et la seconde produit des callosités aux paupières.
25 Les collyres qu'on appelle *humides* sont utiles contre l'obscurcissement de la vue et contre les cataractes commençantes; on les prépare avec du miel de l'Attique, du baume de Judée et de la bile, de préférence avec celle d'hyène, ou, si cela ne se peut pas, avec celle d'une vipère, d'un aigle, d'un vautour, d'une perdrix, de poules blanches, ou des poissons
26 appelés castagnols. Quelquefois on y met aussi du suc de fenouil, de l'huile, qui, par l'effet du temps, est parvenue à un état de ténuité et de grande liquéfaction, du suc de Cyrène, de la cannelle, ou de la graine de la plante qu'on appelle *bésasa* et que nous croyons être de la rue sauvage.
27 Les collyres humides ont la propriété d'atténuer, d'échauffer et de pu-

2. δέ] μέν A. — Ib. ἐπιβολῆς BV; item l. 3. — Ib. θεατρ. τι μέν B. — 3. ἀνίατον Codd. — Ib. αἱ δὲ ἐξ BV. — 3-4. λυομένων τε τῶν ὀφθαλμῶν ABMV; λουομένων τε τῶν ὀφθαλμῶν C. — 5-6. χρήσιμαι BFV. — 6. καὶ ἀρχ. ABCM. — 10-11. ἢ διάλεπlον ACM; εἰ διάλεπlον BV. — 12. πηγάνου ἀγρίου BV.

ρειν. Δεῖ δὲ καὶ πάντα μὲν τὰ ὀφθαλμικὰ φάρμακα, μάλισ7α δὲ τὰ 28
ὑγρὰ, τῆς καταλλήλου χρήσεως τυγχάνειν· κεφαλῆς ἀσυμπληρώ-
του καὶ τῆς | κοιλίας μεμαλαγμένης δὲ, οὕτω προσφέρειν· ἰδίως δὲ 320
τὰς ὑγρὰς καὶ ἐν τῷ περιέχοντι καθαρῷ καὶ βορείῳ καὶ αἰθρίῳ·
νότου γὰρ πνέοντος, ἢ ἀχλυώδους ὄντος τοῦ ἀέρος, ἢ ὑγροῦ, ἢ ψυ-
χροῦ καὶ πεπηγότος, ἀλυσιτελὴς ἡ χρῆσις. Τὸ *δὲ ὅμοιον καὶ ἐπὶ* 29
τῶν ὀξυδορκικῶν συντετύχηκε κολλυρίων. Καὶ *τὰ ἄλλα δὲ, ὅσα* 30
πρὸς ὀφθαλμίας χρησιμεύει, διὰ φυλακῆς ἐν τοιούτῳ περιέχοντι
ἔσ7ω, πλὴν εἰ μὴ σφόδρα τις ἐπείγοι, καὶ ἐν ταῖς ἐπείξεσι δὲ ὀλι-
γάκις καὶ ὀλίγοις χρησ7έον.

κδ'. Περὶ τροχίσκων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Τροχίσκων εἴδη εἰσὶ τρία· οἱ μὲν γάρ εἰσι πινόμενοι, οἱ δὲ 1
ἐνιέμενοι, οἱ δὲ καταχριόμενοι. Περὶ *μὲν οὖν τῶν πινομένων ἐν* 2

rifier. Tous les médicaments oculaires, mais surtout les médicaments 28
humides doivent être administrés dans des circonstances favorables, et il faut les employer lorsque la tête n'est pas embarrassée et que le ventre est relâché; il ne faut recourir particulièrement aux collyres humides que lorsque le ciel est clair et pur et que le vent est au nord, car, si le vent du sud souffle, ou si l'air est nébuleux, humide, ou froid, ou glacé, l'ad-
ministration de ces collyres ne produit aucun effet. On doit observer les 29
mêmes précautions pour les collyres qui aiguisent la vue. Quand l'at- 30
mosphère est telle que nous venons de le dire, on sera très-réservé aussi dans l'emploi des autres médicaments qui conviennent contre les ophthalmies, à moins qu'il ne s'agisse d'un cas très-pressant, et, même dans cette circonstance, on n'emploiera ces médicaments que rarement et en petit nombre.

24. DES PASTILLES. — TIRÉ DU MÊME LIVRE.

Il y a trois espèces de pastilles : les unes s'administrent sous forme de 1
boisson, d'autres sous forme d'injection, d'autres enfin sous forme d'on-
guent. Nous nous occupons des pastilles employées sous forme de bois- 2

3. *δέ* om. ABCMV. — 7. *ὀξυδερκιῶν* M. — 9. *καί* om. ABCMV. — Ib. *δέ*] *τε* ABCMV. — Ch. 24; l. 11. *τρία οἷον οἱ* F. — 12. *Καὶ περί* F. — Ib. *τῶν* om. A.

Matth. 320-321.

3 τοῖς προσφερομένοις λέγομεν, περὶ δὲ τῶν ἄλλων νῦν. Τῶν δὴ ἐνιε-
μένων πάλιν οἱ μέν εἰσιν ἀμβλυντικοὶ, οἱ δὲ στυπτικοὶ, οἱ δὲ καυ-
4 στικοί. Ἀμβλυντικοῖς μὲν χρώμεθα ἐπὶ τῶν δριμέα κάτωθεν ἐκκρι-
νόντων καὶ ὅλως δακνομένων τὸ ἔντερον· ὕλη δὲ αὐτῶν ἄμυλον καὶ
ἀστὴρ Σάμιος καὶ πομφόλυξ καὶ κόμμι καὶ τραγάκανθα καὶ γλυ-
5 κυῤῥίζης χυλὸς καὶ ὅπιον καὶ μάννα καὶ βδέλλιον. Δεῖ δὲ τὸν ἐκ
321 τῶν τοιούτων τροχίσκον λειώσαντα | μετὰ χυλοῦ πτισάνης ἐνιέναι,
6 ἢ γύρεως, ἢ πιτύρων χυλοῦ, ἢ φακῆς ἀφεψήματος. Τοῖς δὲ στυπτι-
κοῖς χρώμεθα ἐπὶ ὧν τε ἐπισχεῖν προαιρούμεθα ἄμετρον φορὰν καὶ
ἐπὶ ὧν τονῶσαι τὸ ἔντερον· ὕλη δὲ καὶ τούτων στυπτηρία, ἀκακία,
ὑποκιστὶς, ῥοῦς Συριακὸς, βαλαύστιον, οἰνάνθη, κηκὶς, σίδιον,
μυρσίνη· ἐνίεται δὲ μετὰ χυλοῦ ῥόδων, ἢ φακοῦ, ἢ ἀρνογλώσσου.
7 Τοῖς καυστικοῖς δὲ ἐπὶ νομῆς χρώμεθα, σκευαζομένοις διὰ σανδαρά-

son, dans l'endroit où nous traitons des agents administrés à l'intérieur;
3 actuellement nous parlons des autres. Parmi les pastilles servant aux
injections, les unes ont la propriété d'émousser, d'autres sont astrin-
4 gentes, et d'autres encore caustiques. Nous avons recours aux pastilles
qui ont la vertu d'émousser, chez les malades qui rejettent par le bas des
matières âcres, et, en général, chez ceux qui éprouvent des picotements
aux intestins : les ingrédients dont on les compose sont l'amidon, la
terre étoilée de Samos, les fleurs de zinc, la gomme, l'adragant, le suc
5 de réglisse, l'opium, la poussière d'encens et le bdellium. La pastille
faite avec de pareils ingrédients devra être triturée et injectée avec de
la crème de ptisane, avec une bouillie de poussière de farine, ou de
6 son, ou avec une décoction de lentilles. Nous nous servons des pastilles
astringentes dans les cas où nous voulons arrêter un écoulement dé-
mesuré, ou renforcer l'intestin; les ingrédients dont on fait ces pastilles
sont l'alun, le suc d'acacia, l'hypocistis, le sumac de Syrie, les fleurs de
grenadier sauvage ou de vigne sauvage, les noix de galle, l'écorce de
grenade, la myrte; on les injecte avec du suc de roses ou de plantain,
7 ou une décoction de lentilles. On emploie les pastilles caustiques en cas

1-2. Τῶν διενιεμένων Codd. — 2. πάλιν· καὶ γὰρ οἱ F. — Ib. ἀμβλωτικοὶ ABCMV; item. l. 3. — 7-8. ἐνιέναι γὰρ γύρ. C. — 9-10. τε..... ὧν om. A 1ª m. — 10. τούτων οἷον στυπτ. F. — 11. σίδια F. — 12. ἐνίενται F. — 13. Τοῖς δὲ καυστ. ABCMV. — Ib. νομωδῶν δυσεντεριῶν Paul.

κης καὶ ἀσϐέσ7ου καὶ λεπίδος χαλκοῦ καὶ χάρτου κεκαυμένου καὶ τῆς ὁμοίας ὕλης· ἐνιέναι δὲ χρὴ τοὺς τοιούτους τροχίσκους, ϖροεδηδοκότων καὶ ϖεπωκότων τῶν ἀῤῥώσ7ων, ὡς ἂν μὴ ϖληγῇ ἐκ τῆς ἀναθυμιάσεως ὁ σ7όμαχος. Δεῖ δὲ ϖρὸ τῆς ἐνέσεως τούτων τῶν 8
τροχίσκων ἅλμῃ κλύζειν, ὥσ7ε, ϖροαποῤῥυφθέντων τῶν ἑλκῶν, οὕτως ἐνιέναι τὸν τροχίσκον· μᾶλλον γὰρ ἐνεργεῖ. Δεῖ δὲ μέλλον- 9
τας ἐνιέναι καὶ ἐμϐάλλοντας εἰς τὸ ἄσκωμα τὸ ἔνεμα ἀνακινεῖν ϖολλάκις καὶ οὕτως ἐγκλύζειν, ἵνα μὴ ὑφιζήσῃ τὸ φάρμακον· ἐνθέντας δὲ τὸν αὐλίσκον τῇ ἕδρᾳ καὶ ἐκθλίϐοντας, χρὴ σ7ρέφειν ἐνταῦθα κἀκεῖ τὸν αὐλίσκον, ἵνα ἔνθα ἂν τυγχάνῃ τὸ ἕλκος, ϖροσπέσῃ τὸ φάρμακον. Οἱ δὲ κατάχρισ7οι τροχίσκοι δυνάμεως μέν εἰσι ϖαρα- 10
πλησίας τοῖς ἐνιεμένοις· οἱ μὲν γὰρ σ7ύφουσιν, ὡς ὁ Ἄνδρωνος καὶ ὁ Πολυείδου καὶ ὁ κροκώδης καὶ | ὁ κιῤῥὸς καὶ ὁ διὰ οἰσυπηρῶν· 322
οὗτοι δὲ καὶ ὁ διὰ ἀλικακκάϐου ϖοιοῦσι ϖρός τε ἐξανθήματα καὶ

d'ulcère rongeur [aux intestins], et on les prépare avec du réalgar, de la chaux vive, de la battiture de cuivre, du papyrus brûlé, ou des ingrédients analogues; on n'injectera des pastilles de ce genre qu'après avoir donné à manger et à boire aux malades, de peur que les vapeurs
qui s'en élèvent ne viennent frapper l'orifice de l'estomac. Avant d'injec- 8
ter ces pastilles, on administrera un lavement d'eau salée, en sorte que les ulcères sont préalablement détergés, car, dans ce cas, elles agissent
plus efficacement. Quand on est sur le point de faire l'injection, il faut, 9
pendant qu'on met le lavement dans la vessie du clystère, la remuer à plusieurs reprises et injecter ensuite, de peur que le médicament [essentiel] ne se précipite au fond; après avoir introduit la canule dans l'anus, il faut, pendant qu'on presse la vessie, retourner la canule de tous les côtés, afin que le médicament arrive sur l'endroit où se trouve l'ul-
cère. Les pastilles qu'on emploie sous forme d'onguent ont des pro- 10
priétés analogues à celles qu'on injecte : en effet, quelques-unes sont astringentes; telles sont les pastilles d'Andron et de Polyide, la pastille au safran, la pastille jaune et la pastille à la laine en suint; ces pastilles-là, ainsi que celle au coqueret, agissent contre les efflorescences

3. *καὶ ϖεπ.* om. C.— Ib. *ϖληγείη* F. — 8. *ὑφιζήσῃ* ex em.; *ὑφιξήσῃ* F; *ὑφίξησι* ABCMV. — Ib. *ἐνθέντα* B. — 9. *ἐκθλίϐοντα* CM. — 12. *Ἀνδρώνιος* F. — 13. *Πολυείδους* F. — 14. *οἷοι* G. — Ib. *καί* om. B. — Ib *τε*] *τά* ABCMV.

Matth. 322.

ἕρπητας καὶ ἐρυσιπέλατα καὶ παρατρίμματα καὶ αἱμοῤῥαγίας καὶ ῥευματικὰ ἕλκη· οἱ δὲ ἀμβλύνουσι καὶ ἁρμόζουσιν ἐπινυκτίσιν, ἄνθραξι, τοῖς κακοήθεσι τῶν ἑλκῶν.

κε'. Περὶ πεσσῶν. Ἐκ τοῦ αὐτοῦ λόγου.

1 Πεσσοὶ δὲ μόνῃ μὲν ὑσlέρᾳ προσlίθενται· διαφοραὶ δὲ αὐτῶν τρεῖς· οἱ μὲν γὰρ μαλάσσουσιν, οἱ δὲ σlύφουσιν, οἱ δὲ ἀνασlομοῦσιν. 2 Τοῖς μὲν οὖν μαλάσσουσιν ἐπί τε φλεγμονῶν ὑσlέρας καὶ ἑλκώσεων καὶ ψύξεων, ἀναδρομῶν τε καὶ ἀποσlροφῶν καὶ ἐμπνευματώσεων χρώμεθα· σκευάζονται δὲ διὰ κηροῦ Τυῤῥηνικοῦ καὶ κυπρίνου, ἢ σουσίνου, πιμελῆς χηνείου, ἢ ὀρνιθείου, ἢ βουτύρου ἀνάλου, ῥητίνης ἀποκεκαυμένης, μυελοῦ ἐλαφείου, τήλεως καὶ τῶν ὁμοίων· τοῖς δὲ ἀνασlομωτικοῖς, ἐπειδὰν κάθαρσιν ἐπεσχημένην προκαλεῖσθαι θέλωμεν, ἢ μύσιν ὑσlέρας, ἢ συσlολὴν ἐπανορθῶσαι· σκευάζονται δὲ καὶ οὗτοι διὰ μέλιτος, ἀρτεμισίας, δικτάμνου,

de la peau, contre l'*herpès*, l'érésipèle, l'intertrigo, les hémorragies et les ulcères compliqués de fluxion; d'autres émoussent et conviennent contre l'*épinyctis*, l'anthrax et les ulcères de mauvaise nature.

25. DES PESSAIRES. — TIRÉ DU MÊME LIVRE.

1 Les pessaires s'appliquent uniquement à l'utérus; il y en a de trois espèces : en effet, quelques-uns ramollissent, d'autres ont des propriétés 2 astringentes, d'autres encore, des propriétés apéritives. On se sert de pessaires ramollissants quand l'utérus est enflammé, ulcéré, refroidi, remonté, déplacé, ou gonflé par les gaz; on les prépare avec de la cire d'Étrurie, de l'huile d'alcanna ou de lis, de la graisse d'oie ou de poule, du beurre non salé, de la résine brûlée, de la moelle de cerf, du fenugrec, ou des substances analogues; on a recours aux pessaires apéritifs, quand on veut provoquer les règles en cas de rétention, ou remédier à une occlusion, ou à une contraction de l'utérus; on prépare ces pessaires avec du miel, de l'armoise, du dictame de Crète, du suc de

Ch. 25; l. 5. τρεῖς, οἷον οἱ F. — 8-9. κυπρ. σουσ. ABCMV. — 9. πιμελὴ δέ F. — Ib. χυνείου A 2ª m.; κυνείου ABM text. V; ἐχηνίου F. — Ib. ἢ βουτ. ex em.; καὶ βουτ. F; βουτ. ABCMV. — 13. σκευάζ. καὶ οὗτοι τοίνυν F.

κράμβης χυλοῦ, γλυκυσίδης, πράσου χυλοῦ, πηγάνου, σκαμμωνίας.
Οἱ δὲ σ7υ|π7ικοὶ τὴν ἐναντίαν χρείαν ὡς πρὸς τοὺς ἀνασ7ομωτι- 3 323.
κοὺς παρέχονται· ῥοῦν γὰρ ἐπέχουσι γυναικεῖον, καὶ ἀναπεπ7αμέ-
νην συνάγουσιν ὑσ7έραν, καὶ προπεπ7ωκυῖαν ἀνασ7έλλουσιν· ἡ δὲ
τῶν σ7υπ7ικῶν ὕλη δεδήλωται πρόσθεν ἐν τῷ περὶ κολλυρίων καὶ
τροχίσκων λόγῳ. Δεῖ δὲ γλοιῶδες καὶ ὀλίγῳ παχύτερον ποιεῖν τοῦ 4
πεσσοῦ τὸ πάχος, κἄπειτα ἔριον μοτῷ σ7ενῷ παραπλήσιον δι-
πλοῦν ἀποβάπ7ειν εἰς τὸ Φάρμακον καὶ προσ7ιθέναι εἰς τὸ σ7όμιον
τῆς ὑσ7έρας, ἔχον ἐξημμένην κροκύδα ἐπιμήκη πρὸς τὸ ἐπισπᾶσθαι
τὸν πεσσὸν εὐκόλως.

κς'. Περὶ ἐγχυματισμῶν. Τοῦ αὐτοῦ· ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐγχυματισμοῖς δὲ χρώμεθα ἰδίως ἐπὶ ὑσ7έρας διὰ μητρεγχύτου· 1
ὁ δὲ πρὸ αὐτῆς κόλπος διὰ Φυσαρίου [ἐγχυματίζεται]· τὸ δὲ ἐγχυ-

chou, de la pivoine, du suc de poireau, de la rue, ou de la scammo-
née. Les cas où l'on emploie les pessaires astringents sont le contraire de 3
ceux qui nécessitent l'application de pessaires apéritifs; car les premiers
répriment l'écoulement des parties génitales de la femme, contractent
l'utérus quand il est béant, et le repoussent lorsqu'il y a procidence;
les ingrédients dont on fait les pessaires astringents ont été énumérés
auparavant quand nous avons parlé des collyres et des pastilles. On don- 4
nera aux pessaires la consistance du marc d'huile, ou même une con-
sistance un peu plus forte; ensuite on plongera dans le médicament de
la laine pliée en deux, semblable à un plumasseau peu large de charpie,
et on l'appliquera contre l'orifice de l'utérus avec un long fil de laine
qui pende en dehors pour faciliter l'extraction du pessaire.

26. DES INJECTIONS, DU MÊME AUTEUR. — TIRÉ DU MÊME LIVRE.

Nous administrons spécialement des injections dans l'utérus avec l'ins- 1
trument fabriqué à cet effet, tandis que, dans la cavité qui le précède
(le vagin), on fait des injections à l'aide d'un petit soufflet; mais les

1. πηγ. καὶ σκαμμ. F. — 4. προσπ. ABCMV. — 5. κοιχωρίων C. — 7. νώτῳ C. — 8. καί om. ABCMV. — 9. ἐξημμένην Paul.; ἐξημαμένην F; ἐξαμμένην ABCMV. — Ch. 26; l. 11. ὑπό ABCMV. — 12. πρὸς αὐτήν V. — Ib. Φυσαρίου] ἐρίου F. — Ib. ἐγχυματίζεται conj.; om. Codd.

ματιζόμενον εἴς τε τὸν κόλπον εἴς τε τὴν μήτραν ὁμοειδές ἐσΊιν. 2 Δύναται δὲ ὁ ἐγχυματισμὸς μαλάσσειν, σΊύφειν, ψύχειν, θερμαίνειν, ἐκπνευματοῦν, παρηγορεῖν ὀδύνας, ταῦτα πάντα ποιῶν παρὰ 3 τὴν διαφορὰν τῆς ὕλης. Ὑγρὸν δὲ δεῖ εἶναι τὸ ἐγχυματιζόμενον, ἢ ὅσον ὀλίγον παχύτερον ἐλαίου.

324 | κζ'. Περὶ καταχρισμάτων. Τοῦ αὐτοῦ · ἐκ τοῦ αὐτοῦ λόγου.

1 Χρώμεθα δὲ καταχρίσμασιν ἐπὶ μερῶν τοῦ σώματος, ἐπὶ ὧν οὔτε ἐμβροχὰς παραλαμβάνειν δυνατὸν, οὔτε καταπλάσματα, οἷον ἐπὶ βλεφάρων καὶ ὤτων καὶ ῥινὸς τοῦ ἄκρου καὶ ὅλου τοῦ προσώπου· βαρεῖταί τε γὰρ ὑπὸ τῶν καταπλασμάτων, καὶ βλάπΊεται πρὸς 2 τῶν ἐμβροχῶν καταῤῥεουσῶν. Καὶ ἐπὶ τῶν πολυκινήτων δὲ μερῶν χρώμεθα, οὐκ οὔσης μονίμου τῆς τῶν καταπλασμάτων καὶ ἐμβρο-3 χῶν χρήσεως. Ἔτι δὲ καταχρίομεν τὰς πυρώδεις φλεγμονὰς καὶ τὰς

substances qu'on injecte, aussi bien dans l'utérus que dans le vagin, 2 sont de la même espèce. Une injection peut ramollir, resserrer, refroidir, échauffer, chasser les gaz, apaiser les douleurs, et elle produit tous ces 3 effets en raison de la différence des ingrédients dont on la compose. Le médicament qu'on injecte doit être liquide, ou tout au plus un peu plus épais que l'huile.

27. DES ONGUENTS, DU MÊME AUTEUR. — TIRÉ DU MÊME LIVRE.

1 Nous avons recours aux onguents pour les parties du corps sur lesquelles il n'est pas possible d'appliquer des embrocations, ou des cataplasmes, comme pour les paupières, les oreilles, l'extrémité du nez et toute la face : en effet, les cataplasmes pèsent sur ces parties, et les 2 embrocations y sont nuisibles, en ce qu'elles s'écoulent vers le bas. Nous recourons encore aux onguents pour les parties qui sont fréquemment en mouvement, parce que, dans ce cas, les embrocations et les cata-3 plasmes ne restent pas en place. Nous appliquons aussi des onguents

2. ψύχειν om. ABCMV. — 5. ὅσον om. ABCMV. — Ch. 27; l. 6. δέ om. ABCMV. — 9. τε om. ABCMV. — 10. δή C. — 11-12. καὶ τῶν ἐμβροχῶν B. — 12. χρίσεως ABCMV. — Ib. δέ om. ABCMV.

ἐρυσιπελατώδεις, ἐρεθιζομένας ὑπό τε τῶν καταπλασμάτων καὶ τῶν
ἐμβροχῶν. Καὶ τὰς ἐπιπολαίους δὲ ἑλκώσεις καὶ τὰς ἀπὸ τῶν ἀπο- 4
συρμάτων καταχρίομεν, βαρυνομένας ὑπό τε καταπλάσματος καὶ
ἐμβροχῆς. Καὶ τὰ πελιώματα δὲ καὶ τὰ σομφὰ τῶν οἰδημάτων καὶ 5
ἄλλα πλείονα καταχρίομεν. Ἔστι δὲ τῶν μὲν κούφων καταχρισμά- 6
των ᾠοῦ τὸ λευκὸν, ἢ κατὰ ἰδίαν, ἢ σὺν ῥοδίνῳ, ἢ σὺν οἴνῳ στύ-
φοντι, ἢ σὺν ἀλεύρῳ σιτανίῳ. Ἰσχυρότερον δὲ ᾠὸν σὺν μάννῃ, ἢ σὺν 7
κόμμει, καὶ ἔτι μᾶλλον κόλλα διεθεῖσα ὕδατι ζέοντι. Καὶ κοχλίαι 8
δὲ λευκοὶ σὺν τοῖς ὀστράκοις λεανθέντες ἁρμόζουσι, καὶ κατὰ ἰδίαν,
| καὶ σὺν τῷ ᾠῷ. Καὶ κρόκος δὲ σὺν οἴνῳ καταχριόμενος παρηγο- 325 9
ρεῖ, καὶ ἔτι μᾶλλον γλαύκιον σὺν οἴνῳ. Ἄριστον δέ ἐστι Λημνία 10
σφραγὶς μετὰ ὄξους, ἢ μετὰ χυλοῦ βοτάνης περδικίου, ἀκακία τε

sur les inflammations brûlantes ou érésipélateuses, parce que les cata-
plasmes et les embrocations y produisent de l'irritation. Nous employons 4
également des onguents pour les ulcérations superficielles et pour celles
qui sont le produit d'une excoriation, attendu que les cataplasmes et les
embrocations gênent alors par leur poids. Enfin, nous administrons des 5
onguents en cas de sugillation, ou de tumeurs spongieuses, ainsi que
dans plusieurs autres cas. A la classe des onguents légers appartiennent 6
le blanc d'œuf, employé soit seul, soit avec l'huile de roses, ou avec du
vin astringent, ou de la farine de froment sitanique. De la poussière 7
d'encens ou de la gomme, délayées dans un œuf, ou mieux encore de
la colle dissoute dans l'eau bouillante constituent des onguents plus effi-
caces. Des escargots blancs, triturés avec leurs coquilles et employés soit 8
seuls, soit conjointement avec un œuf, forment encore des onguents
convenables. Le safran, et mieux encore le glaucium, macérés dans du 9
vin, ont des propriétés calmantes quand on les administre sous forme
d'onguent. Le meilleur onguent est un mélange de terre sigillaire de 10
Lemnos et de vinaigre, ou de suc de la plante appelée *perdicium* (parié-

2. *ἐμβροχῶν χρίσεων* V. — 4. *πελιώματα σὶ καί* (sic) B. — 5. Ἔστι] Ici les manuscrits ont en titre Ὗλαι *τῶν χρισμάτων μετώπου* (*ὤπων* ABV) *ἐπὶ ῥευματιζομένων* (ACMV add. *καί*) *ὀφθαλμῶν*. — 6. *τοῦ ᾠοῦ* ABCMV. — 7. *σητανείῳ* F. — 8. *κόμμι* Codd. — Ib. *κόλλα διεθεῖσα* ex emend.; *κόλλαν διεθεῖσαν* ABFV; *κόλλαν διαιθεῖσαν* M; *κόλλαν διαθεῖσαν* C. — 12. *ὄξους ἢ μετά* om. B.

Matth. 325-326.

11 κιῤῥὰ σὺν οἴνῳ παραπλησίως ὀνίνησιν. Τούτων δὲ τὰ μὲν τῷ περι-
τενὲς ἐργάζεσθαι τὸ δέρμα τοῦ μετώπου καὶ τῶν κροτάφων καὶ διὰ
τοῦτο θλίβειν τε τὰ ἀγγεῖα καὶ ἀπολαμβάνειν τὴν ἐπιῤῥοὴν τοῦ
αἵματος ὠφελεῖ, τὰ δὲ τῷ σΊύφειν μετὰ τῆς περιτενείας καὶ συσΊέλ-
12 λει τῇ σΊύψει τὰ ἀγγεῖα. Καταχρίεται δὲ καὶ τὰ κατὰ τὸ πρόσωπον
ἐξανθήματα ᾠῷ μετὰ ψιμμιθίου, ἢ λυκίῳ μετὰ ἀμόργης ἐλαίου ἐπὶ
13-14 πολὺ ἀφηψημένης. Ποιεῖ δὲ καὶ πρὸς τὰ κατεῤῥωγότα χείλη. Ὑπώ-
15 πια δὲ χυλῷ θαψίας καταχρισΊέον, ἢ ὑσσώπῳ χλωρῷ. Τὰ δὲ κυ-
λοιδιῶντα πρόσωπα προπυριατέον θύμῳ, ἢ θύμβρᾳ, ἢ ὀριγάνῳ,
εἰς ὀθόνιον ἀραιὸν ἐνδεομένοις καὶ ἀφεψομένοις ἐν ὕδατι θερμῷ,
326
16 καὶ ἔπειτα οὕτως ἁλὸς ἄνθει καταχρισΊέον. | Ὦτα δὲ φλεγμαίνοντα,
καὶ μάλισΊα ἐκ πληγῆς, κόλλῃ σὺν ὕδατι, ἢ σμύρνῃ σὺν οἴνῳ, ἢ

taire); le suc jaune d'acacia, combiné avec le vin, agit d'une manière
11 analogue. Parmi ces onguents, quelques-uns agissent efficacement en
donnant de la tension à la peau du front et des tempes, et conséquem-
ment en comprimant les vaisseaux et en interceptant l'afflux du sang;
d'autres, en vertu de leurs propriétés astringentes, outre qu'ils tendent
la peau, contractent aussi les vaisseaux par l'effet de cette astringence.
12 On applique aussi, sous forme d'onguent, aux efflorescences cutanées de
la face, de la céruse délayée dans un œuf, ou du suc de petit nerprun
13 combiné avec du marc d'huile fortement cuit. Ces onguents agissent
14 aussi contre les fissures des lèvres. Il faut oindre les ecchymoses au-des-
15 sous des yeux avec du suc de thapsie, ou de l'*hysope* vert. Quand la face
est boursouflée, on fera d'abord des fomentations de *thym*, de *thymbre*,
ou d'origan, liés dans un linge peu serré et cuits dans de l'eau chaude;
16 ensuite on fera des onctions avec des fleurs de sel. Quand les oreilles
sont enflammées, et surtout quand cette inflammation tient à une vio-
lence extérieure, on a recours à un mélange de colle et d'eau, ou de

1. τό ABMV; om. C. — 3. τούτων F. — Ib. θλίβειν τά B; θλίβον τε τά C. — 4. τό ABCMV. — Ib. περιτονίας ABCMV. — 4-5. συσΊέλλειν BM; σΊέλλειν ACV. — 5. Καταχρίεται] Ici les mss. ont en titre Προσώπου καταχρίσματα. — Ib. καί om. V. — 7-8. Ὑπόπνα C. — 8-9. κυλοιδιῶντα ex em.; κιλιδιῶντα FV; κιλιδιῶν τά ABCM. — 10. ἐνδεομένοις om. C. — Ib. ἀφεψώμενον C; ἀφεψημένοις B corr. V. — 11. ἐπιθεὶς οὕτως ἄνθη ABCMV. — Ib. Ὦτα] Ici les mss. ont en titre Ὤτων χρίσμα φλεγμαινόντων. — Ib. δέ om. B.

Matth. 326.

μάννῃ σὺν οἴνῳ· τὰ δὲ ἐν κεφαλῇ ἐξανθήματα, μετὰ τὸ ἀποξύραι, κιμωλίᾳ μετὰ ὄξους, ἢ τεύτλου χυλοῦ ἐπιχρίομεν· τὰ δὲ ὑγρότερα κεδρίᾳ· τὰ δὲ κολλώδεις ἀποκρίνοντα τοὺς ἰχῶρας ἀμυγδαλίνῳ· τὰ δὲ περὶ ῥῖνα καὶ μυκτῆρας τοῖς διὰ σΊυπΊηρίας καὶ σμύρνης καὶ ἀλόης· ἐρυσιπέλατα δὲ γλαυκίῳ, ἢ χυλῷ ἀρνογλώσσου, ἢ πολυγόνου, ἢ σΊρύχνου, ἢ κωνείου, ἢ ἀκακίας, ἢ ὑποκισΊίδος· πάντων δὲ ἄμεινον ἡ ὑεία χολὴ κατάχρισμα ἐρυσιπελάτων· τὰ δὲ ἔνυγρα τοῖς λιπαροῖς, οἷον σΊέατι, βουτύρῳ, κηρῷ Τυῤῥηνικῷ σὺν ῥοδίνῳ· ἰδίᾳ δὲ αἰδοῖα τοῖς σΊύφουσιν ἱκανῶς καὶ λεπΊύνουσιν, οἷον ἢ μέλιτι μετὰ λεπίδος χαλκοῦ, ἢ ἀλόῃ σὺν οἰνομέλιτι· ἄμεινον δὲ καὶ βράθυ παραπλέκειν τῇ ἀλόῃ. Τὰ δὲ οἰδοῦντα τῶν μερῶν ὑδρωπικῶς, ἢ ἄλλως, 17 κιμωλίᾳ μετὰ ὄξους, ἢ τρυγὸς οἴνου ὑγρᾶς καταχρισΊέον, ἢ αὐτῇ τῇ

myrrhe et de vin, ou de poussière d'encens et de vin; en cas d'efflorescences cutanées à la tête, on la rase d'abord, et ensuite on se sert d'un onguent composé d'un mélange de terre de Cimole et de vinaigre, ou de suc de bette; quand ces efflorescences sont trop humides, on emploie la résine de *cèdre;* quand il y a sécrétion d'un pus glutineux, on fait des onctions avec l'huile d'amandes; aux environs du nez et des narines, on applique des onguents faits avec de l'alun, de la myrrhe, ou de l'aloès; on traite l'érésipèle avec des onguents de glaucium, de suc de plantain, de renouée, de morelle, de ciguë, d'acacia, ou d'hypocistis; cependant le meilleur de tous les onguents, en cas d'érésipèle, est le fiel de cochon; quand il y a excès d'humidité, on a recours aux ingrédients gras, comme la graisse, le beurre, la cire d'Étrurie combinée avec l'huile de roses; en cas d'affection des parties génitales, on se sert spécialement des substances fortement astringentes et atténuantes, par exemple le miel uni aux battitures de cuivre, ou l'aloès combiné avec le vin miellé; il est encore préférable d'ajouter aussi de la sabine à l'aloès. Sur les parties 17 gonflées, soit par l'effet de l'hydropisie, soit par quelque autre cause, on fait des onctions avec un mélange de terre de Cimole et de vinaigre, ou

2. κιμωλίᾳ ex em.; καιμωλίαν A; κιμωλίαν A 2ª m. BCFMV. — 6-7. ἀμείνων F. — 7. ἄνυγρα C. — 8-9. ἰδίᾳ δὲ αἰδοῖα ex em.; ἰδίᾳ δὲ αἰδοίοις F; αἰδοῖα δὲ ABCMV. — 9. οἱονεὶ μέλιτι ABCV. — 12. τῇ om. Codd.

18 τρυγί. Τὰ δὲ καταπίμελα σώματα μέλιτι καταχριστέον ὅλα, συμπε-
πλεγμένων ἁλῶν αὐτῷ· βέλτιον δὲ ἐπὶ τῶν τοιούτων σωμάτων κα-
19 λάμου δρόσῳ. Μυρμηκίας δὲ ἡλιοτροπίου, ἢ χελιδονίου, ἢ βατραχίου
20 χυλῷ χριστέον. Ἐπινυκτίδας δὲ ὀπῷ Κυρηναϊκῷ, ἢ Παρθικῷ σὺν
οἴνῳ γλυκεῖ, ἢ κονίᾳ ἀσβέστῳ σὺν ἐλαίῳ, ἢ κορίου χυλῷ χρίομεν·
327 | τὰ δὲ ψωρώδη καρδάμῳ σὺν ὄξει· ἐπὶ δὲ τῶν πυρικαύτων, ὥστε μὴ
φλυκταινοῦσθαι, σμύρνῃ οἴνῳ συλλεανθείσῃ· ποιεῖ δὲ καὶ σχιστὴ
21 στυπτηρία σὺν ὄξει καὶ κονία ἄσβεστος σὺν ὕδατι. Ὀνίνησι δὲ καὶ
παρωνυχίας ἄκρως στυπτηρία ὑγρὰ καταχριομένη· χείμεθλα δὲ οὐκ
ἐᾷ γίνεσθαι λιβανωτὸς σὺν στυπτηρίᾳ καὶ ὑείῳ στέατι χριόμενος·
πρὸς δὲ τὰς ψωριάσεις καὶ κνησμοὺς σταφὶς ἀγρία σὺν θείῳ ἀπύρῳ
καὶ ὄξει· πρὸς δὲ τὰς συκώδεις ὑπεροχὰς ὑοσκυάμου χυλός· πρὸς
δὲ τὰς ἐν δακτυλίῳ καὶ αἰδοίοις ὑπεροχὰς στυπτηρία σχιστὴ μετὰ

18 de lie de vin liquide, ou bien avec la lie de vin toute seule. Contre l'em-
bonpoint exagéré, on fait des onctions sur tout le corps avec du miel,
auquel on ajoute du sel; dans ce cas, il vaut mieux encore se servir du
19 suc qui exsude du roseau. On oindra les verrues appelées *myrmécies*
20 avec du suc de tournesol, d'éclaire, ou de renoncule. Contre les *épinyc-
tides* on fera des onctions avec du suc de Cyrène, ou de Parthie (*assa
fœtida*), délayé dans du vin d'un goût sucré, ou avec un mélange de
chaux vive et d'huile, ou avec du suc de coriandre; contre les affections
qui tiennent de la *psore*, avec le cresson d'Alep combiné au vinaigre; en
cas de brûlure par le feu, on a recours à la myrrhe triturée avec du vin
pour prévenir la formation des bulles; l'alun de plume combiné au vi-
naigre, et la chaux vive combinée à l'eau, agissent aussi dans le même
21 sens. L'alun liquide est aussi d'une grande efficacité contre la paronychie,
quand on l'emploie sous forme d'onction; un onguent d'encens, uni à
l'alun et à la graisse de porc empêche la formation des engelures; contre
le psoriasis et les démangeaisons, on a recours à la staphisaigre com-
binée au soufre brut et au vinaigre; contre les excroissances ressem-
blant à une figue, on emploie le suc de jusquiame, et, contre les excrois-
sances à l'anus et aux parties génitales, l'alun de plume combiné au vitriol

2. ἐπὶ τούτων σωμ. F. — 3. ἡλιοτρ. om. B. — 6. πυρικαύστων BFMV. — 9. ὑγρά om. C. — Ib. χίμεθλα F. — 10. γενέσθαι ABCMV. — 12. ὀγκώδεις ABCMV. — 12-13. ὑοσκ..... ὑπεροχάς om. BV. — 12. χυλῷ Codd.

χαλκάνθου καὶ σμύρνης σ7ακτῆς. — Σκόλοπας ἐμπεπηγότας | πυτία, ἢ κόπρος οὑτινοσοῦν ζώου περιχριομένη ἀνάγει. 22 327

κη'. Περὶ μαλαγμάτων. Ἐκ τοῦ αὐτοῦ λόγου.

Διαφοραὶ τῶν μαλαγμάτων εἰσὶν αἱ μέγισ7αι τρεῖς· τὰ μὲν γὰρ 1
26 sèche aussi; la partie intérieure qui reste est peu efficace. Le mélilot res-
serre et favorise la perspiration et la maturation, car il contient une plus
27 grande quantité de substance chaude que de substance froide. Le myrte
est un mélange de substances contraires, cependant le froid terreux pré-
domine en lui, quoiqu'il possède aussi une certaine chaleur subtile qui
28 lui donne la propriété de dessécher fortement. Les feuilles, les jeunes
pousses, le fruit et le suc de cette plante ne diffèrent pas beaucoup entre
eux sous le rapport de l'astringence, mais l'excroissance noueuse qui
vient sur la tige et sur les branches, et que quelques-uns appellent *myr-
tide*, surpasse, eu égard à l'astringence et aux propriétés desséchantes,
les parties susdites dans la même proportion qu'elle les surpasse en sé-
29 cheresse. Quelques-uns conservent ces excroissances en les pilant, en les
30 incorporant dans du vin et en en formant des trochisques. Les feuilles
31 sèches sont plus fortement desséchantes que les feuilles vertes. On

2. κωματώδη Gal. — Ib. ἐστι ταῦτα Gal. — 4. ἀσθενὲς..... συμπέττει om. Gal. — 6. Μυῤῥίνη Gal. — Ib. σύγκειται Gal. — 7. τό om. Gal. — Ib. τι om. Gal. — 8. θερμαίνει V. — 11. μυρτάδα C. — 13. κἄπειτα ἀναλαμβ. Gal.

δὲ χυλὸς οὐκ ἐκ τῶν φύλλων μόνον ἐκθλίϐεται τῶν χλωρῶν, ἀλλὰ καὶ ἐκ τοῦ καρποῦ· στεγνωτικῆς δέ ἐστιν ἅπαντα ταῦτα δυνάμεως, ἐπί τε τοῦ σώματος ἐπιτιθέμενα καὶ εἴσω λαμϐανόμενα. Μέλι πι- 32
κρὸν μικτῆς ἐστι δυνάμεως, ὡς εἰ καὶ ἡμῶν τις ἔμιξεν ἀψίνθιον αὐτῷ. Μορέας πάντα τὰ μέρη καθαρτικήν τε καὶ ἐφεκτικὴν ἔχει 33
δύναμιν· ἐπικρατεῖ δὲ ἐν μὲν τῷ φλοιῷ τῆς ῥίζης ἡ καθαρτική, ἐν δὲ τοῖς ἀώροις μόροις ἡ ἐφεκτική· κατὰ δὲ τὰ φύλλα καὶ τοὺς βλαστοὺς μέση πώς ἐστιν ἀμφοῖν ἡ κρᾶσις. Μυρίκη τμητικῆς ἐστι καὶ 34
ῥυπτικῆς δυνάμεως καὶ λεπτομεροῦς ἄνευ τοῦ ξηραίνειν ἐπιφανῶς· ὁ καρπὸς δὲ καὶ ὁ φλοιὸς οὐ βραχεῖαν στύψιν προσειλήφασιν, ὥστε κηκῖδος ὀμφακίτιδος ἐγγὺς ἥκειν· χρήσαιτο γοῦν ἄν τις αὐτοῖς εἰς ὅσα κηκῖδι. Ἡ τέφρα δὲ καυθείσης τῆς μυρίκης ξηραντικῆς γίνεται 35
δυνάμεως, ἔχουσα πλεῖστον μὲν τὸ τμητικὸν καὶ ῥυπτικόν, ὀλίγον δὲ τὸ στυπτικόν. Ὄξος μικτῆς ἐστιν οὐσίας ψυχρᾶς καὶ θερμῆς, 36

n'exprime pas seulement le suc des feuilles vertes, mais aussi du fruit : cependant tous les produits de cette plante sont doués de propriétés resserrantes, soit qu'on les applique sur le corps, soit qu'on les prenne à l'intérieur. Le miel amer est doué de propriétés mélangées, comme 32
si on y avait mêlé de l'absinthe. Toutes les parties du mûrier ont des 33
propriétés purgatives et resserrantes, mais la propriété purgative prédomine dans l'écorce de la racine, et la propriété resserrante dans les mûres vertes; dans les feuilles et les jeunes pousses, il existe un tempérament pour ainsi dire moyen entre ces deux propriétés. Le tamarisc 34
est doué de propriétés incisives, détersives et subtiles, sans qu'il dessèche manifestement; le fruit et l'écorce ont, en outre, une assez forte astringence, de manière à se rapprocher des noix de galle vertes; on peut donc les employer dans les mêmes cas que ceux-ci. Si on brûle le tamarisc, 35
sa cendre acquiert des propriétés desséchantes, parce que les qualités incisives et détersives prédominent en elle, tandis qu'elle n'a qu'un léger degré d'astringence. La substance du vinaigre est un mélange de chaud 36

3. ἐπιτιθ. καὶ εἴσω om. ACV. — 5. ἔοικεν ἔχειν Gal. — 6. ἡ om. A. — 7. ἀώροις μορίοις A; ἄλλοις μορίοις Gal. — 8. ἡ om. V. — 9. καὶ λεπτ. om. Gal. — 12. τῆς om. ACV. — Ib. ξηρ. ἱκανῶς Gal.

ἀμφοῖν λεπτομερῶν· ἐπικρατεῖ δὲ ἡ ψυχρὰ δύναμις λεπτομερὴς οὖσα·
διόπερ ἀποκρουστικήν τε ἅμα καὶ λεπτυντικὴν καὶ διαφορητικὴν
37 *ἔχει δύναμιν. Ὀξυλάπαθον διαφοροῦν ἔχει τι καὶ ἀποκρουστικόν· τὸ*
38 *δὲ σπέρμα σαφῶς στύφει. Καὶ τὸ ἱππολάπαθον τῆς αὐτῆς ὂν δυνά-*
39 *μεως ἀσθενέστερόν ἐστιν. Ὄρχεως τῆς ῥίζης βολβοειδοῦς ὑπαρχούσης*
καὶ διπλῆς, ἡ δύναμίς ἐστιν ὑγρὰ καὶ θερμὴ, ἀλλὰ ἡ μὲν μείζων
πολλὴν ἔχειν ἔοικεν ὑγρότητα περιττωματικὴν καὶ φυσώδη· ἡ δὲ
ἑτέρα ἡ ἐλάττων ἔμπαλιν κατειργασμένην ἱκανῶς, ὡς εἶναι τὴν κρᾶ-
40 *σιν αὐτῆς ἐπὶ τὸ θερμότερόν τε καὶ ξηρότερον ῥέπουσαν. Ἐσθίονται*
41 *δὲ δίκην βολβῶν ὀπτώμεναι. Πιτυΐδες καὶ στύφουσι καὶ δριμύτητά*
42 *τινα ἔχουσι μετὰ πικρότητος. Πολυγόνατον ἔχει τι καὶ στύψεως*
43 *καὶ δριμύτητος καὶ πικρότητος καί τινος ἀηδίας ἀῤῥήτου. Ῥῆον ἔχει*
μέν τι καὶ γεῶδες ψυχρὸν, ὡς ἡ στύψις δηλοῖ· σύνεστι δέ τις αὐτῷ
καὶ θερμότης, καὶ μὴν καὶ ἀερώδους τινὸς οὐσίας μετέχει λεπτο-

et de froid qui tous les deux sont subtils; cependant la propriété froide
et subtile prédomine en lui : pour cette raison, il possède à la fois des
37 vertus répercussives, atténuantes et favorables à la perspiration. La pa-
tience sauvage a quelque chose de favorable à la perspiration et de ré-
38 percussif, mais sa graine est manifestement astringente. La patience des
39 marais est douée des mêmes propriétés, mais à un degré plus faible. La
racine d'orchis est bulbeuse et double, et ses propriétés sont humides
et chaudes; mais la plus grande des deux racines contient, à ce qu'il
paraît, beaucoup d'humidité excrémentitielle et flatulente, tandis que
l'autre, qui est plus petite, contient, au contraire, une humidité suffi-
samment élaborée, raison pour laquelle son tempérament penche plu-
40 tôt vers le chaud et le sec. On mange ces racines grillées comme les
41 ognons de vaccet. Les pignons sont astringents et doués d'une certaine
42 âcreté combinée avec de l'amertume. Le genouillet possède un certain
degré d'astringence, d'âcreté et d'amertume, et un certain goût désa-
43 gréable difficile à décrire. Le rhapontic a quelque chose de terreux et
de froid, comme son astringence l'indique, mais il ne manque pas d'une
certaine chaleur non plus, et il possède, en outre, une certaine substance

1. ψυχρά] ξηρά C. — Ib. λεπτ. οὖσα om. Gal. — 2. τε om. C. — Ib. καὶ διαφ. om. V. — 4. Τὸ δ' ἱππολ. Gal. — 8. ἑτέρα ἐλ. AV. — Ib. κατειργασμένη Gal. — 9. αὐτήν V. — Ib. ῥέπ. om. ACV.

μεροῦς. Ὅσοι δὲ τὸ ῥῆόν φασιν εἶναι τὸ μέγα κενταύρειον ἄμεινόν 44
μοι δοκοῦσι γινώσκειν. Ῥόδων ἡ δύναμις ἐξ ὑδατώδους οὐσίας θερμῆς 45
καὶ στυφούσης καὶ πικρᾶς σύγκειται· τὸ δὲ ἄνθος ἔτι καὶ μᾶλλον
αὐτῶν τῶν ῥόδων στυπτικόν ἐστι, καὶ δῆλον ὅτι διὰ τοῦτο καὶ ξηραν-
τικόν ἐστιν. Σκόρδιον καὶ πικρὸν ἔχει τι καὶ στρυφνὸν καὶ δριμύ. 46
Σύμφυτα ἀμφότερα τέμνει, διαφορεῖ καὶ συνάγει καὶ σφίγγει καὶ 47
θερμαίνει μετρίως. Τῆς ὀξυσχοίνου καὶ ὁλοσχοίνου ὁ καρπὸς σύν- 48
θετός ἐστιν ἐκ γεώδους οὐσίας ἠρέμα ψυχρᾶς καὶ ὑδατώδους ἀτρέμα
θερμῆς, ὡς ξηραίνειν μὲν τὰ κάτω δύνασθαι, πρὸς δὲ τὴν κεφαλὴν
ἀτμοὺς ἀναπέμπειν ἠρέμα ψυχρούς, οἷς ὑπνώδεις ἐργάζεται τοὺς
λαμβάνοντας. Διφρυγὲς ἔχει τι καὶ στῦφον καὶ δριμύ. Φρύγιος λίθος 49-50
ἀποκρούεται καὶ διαφορεῖ. Καὶ ὁ ἀγήρατος ὁμοίως, ᾧ οἱ σκυτεῖς 51
χρῶνται, ἀποκρούεται καὶ διαφορεῖ. Χάλκανθος ἰσχυρῶς στύφει, 52

aérienne subtile. Ceux qui prétendent que le rhapontic est la grande 44
centaurée me semblent professer l'opinion la plus vraisemblable. Les 45
propriétés du rosier tiennent à une substance aqueuse et chaude, à une
substance astringente et à une substance amère; les fleurs sont encore
plus fortement astringentes que le rosier lui-même : il est clair que,
pour cette raison, elles sont aussi desséchantes. La germandrée aquatique 46
a quelque chose d'amer, d'âpre et d'âcre. Les deux espèces de consoude 47
sont incisives et favorables à la perspiration; elles contractent, resserrent
et réchauffent modérément. Le fruit du jonc aigu et celui du faux sou- 48
chet sont composés d'une substance terreuse légèrement froide et d'une
substance aqueuse légèrement chaude, de manière à pouvoir dessécher
les parties inférieures, tandis qu'ils font monter à la tête des vapeurs
légèrement froides, qui donnent des envies de dormir à ceux qui en
prennent. Le deutoxyde de cuivre natif a quelque chose d'astringent et 49
d'âcre. La pierre phrygienne répercute et favorise la perspiration. La 50-51
pierre agérate, employée par les cordonniers, répercute également et fa-
vorise la perspiration. Le vitriol bleu est fortement astringent et réchauffe 52

Ὅσοι]. *Scholie* : Ἀπὸ τοῦ α′ Περὶ τῆς καθ' Ὅμηρον ἰατρικῆς, ἐν τοῖς κατὰ τὸ λ′ τρωθεῖσι βιβλίον. V.

1. κενταύριον C. — 2. οὐσίας om. ACV. — 3. αὐτῶν ἔτι Gal. — 4. ῥυπτικόν ACV. — 4-5. τοῦτο ξηρ. (om. ἐστιν) Gal. — 8. ἀτρέμα ψ. Gal. — 9. καὶ πρὸς τήν Gal. — 10-11. ἐργάζονται (om. τοὺς λαμβ.) Gal. — 12. ἀγήρ. καλούμενος Gal. — Ib. σκυτοτόμοι Gal.

53 καὶ οὐκ ἀγεννῶς θερμαίνει. Τυρὸς νεαλὴς ἐμπλάτlει τε καὶ δια-
φορεῖ καὶ σlύφει.

ια'. Περὶ τάξεως τῆς δυνάμεως τῶν ἁπλῶν φαρμάκων.

1 Ταῦτα μὲν οὖν προείρηται· καιρὸς δὲ ἂν εἴη τὰ κατὰ μέρος διελ-
2 θεῖν. Δεῖ δὲ μὴ μόνον, ὅτι θερμόν ἐσlι τόδε τὸ φάρμακον, ἐπί-
3 σlασθαι τὸν τέλειον ἰατρὸν, ἀλλὰ καὶ πόσῳ θερμότερον. Ἀρκεῖ δὲ
κατὰ ἑκάσlην ἐπικράτειαν τέσσαρας ὡς πρὸς τὴν χρείαν ποιήσασθαι
τάξεις, θερμὸν μὲν ὀνομάζοντας κατὰ τὴν πρώτην τάξιν ὅ τι ἂν
ἡμᾶς θερμαίνῃ, μὴ μέντοι γε ἐναργῶς· οὕτω δὲ καὶ ψυχρὸν καὶ
4 ξηρὸν καὶ ὑγρόν. Ὅσα μέντοι σαφῶς ἤδη θερμαίνειν, ἢ ψύχειν, ἢ
ξηραίνειν, ἢ ὑγραίνειν πέφυκε, δευτέρας ταῦτα τάξεως εἶναι λεχθή-
σεται· τὰ δὲ ἤδη σφοδρῶς, οὐ μὴν εἰς ἄκρον γε, τῆς τρίτης· ὅσα
δὲ οὕτω θερμαίνειν πέφυκεν ὡς ἐσχαροῦν καὶ καίειν τετάρτης· οὕτω

53 d'une manière assez notable. Le fromage nouvellement salé bouche les
pores, favorise la perspiration et est astringent.

11. SUR LES DEGRÉS DES PROPRIÉTÉS DES MÉDICAMENTS SIMPLES.

1 Voilà ce que nous avions à dire préalablement : il est temps mainte-
2 nant de passer aux particularités. Un médecin accompli ne doit pas seu-
lement savoir que tel ou tel médicament est chaud, mais aussi à quel
3 degré il supasse les autres en chaleur. Pour chaque qualité prédomi-
nante, il suffit, pour l'usage, d'admettre quatre degrés, d'appeler chaud
au *premier degré* ce qui nous réchauffe sans que cela soit d'une manière
4 évidente, et d'en agir de même pour le froid, le sec et l'humide. On
regardera comme appartenant au *second degré* toutes les substances qui
sont de nature à échauffer, à refroidir, à dessécher ou à humecter ma-
nifestement, et au *troisième* celles qui produisent fortement ces effets,
sans cependant qu'ils arrivent au suprême degré; celles qui échauffent
tellement, qu'elles produisent des escarres et qu'elles brûlent, appartien-
dront au *quatrième degré;* de même celles qui refroidissent jusqu'au point

Ch. 11; l. 7. καὶ κατά AV. — 8. θερμαίνει AC. — Ib. δέ om. Gal. — 8-9. καὶ ξηρόν om. CV. — 9-12. ἢ ψύχειν ..... θερμ. om. V. — 10. τὰ τοιαῦτα Gal. — 11. ἤδη μὲν σφοδρῶς Gal. — 12. κάειν A; καεῖν C; item p. 498, l. 2.

δὲ καὶ ὅσα ψύχει ὡς ἤδη ναρκοῦν, τετάρτης καὶ ταῦτα. Ξηραῖνον 5
δὲ οὐδέν ἐσ7ι τετάρτης τάξεως ἄνευ τοῦ καίειν· εἴ τι γὰρ ἄκρως ξηραίνει, πάντως τοῦτο καὶ καίει.

ιβ'. Περὶ τῶν ἐνεργειῶν τοῦ θερμοῦ καὶ ψυχροῦ.

Τὰ μὲν οὖν εὔκρατα προσηνῆ ἐσ7ι καὶ φίλια· διαχεῖ γὰρ ἡμῶν 1
τὸ πεπηγός τε καὶ συνεσ7ὸς ἐν τοῖς σώμασιν, ἐν ᾧ μάλισ7α πάθει τὸ ἥδεσθαι τοῖς ζώοις ἐσ7ίν· χρονίζοντα δὲ ἀνιαρὰ γίνεται· μεταπίπ7ει γὰρ εἰς ἀμετρίαν οὕτω γε χύσεως, ὡς διαφορεῖσθαι καὶ λύεσθαι καὶ σκεδάννυσθαι τὴν οὐσίαν ἡμῶν, ἀλλὰ κἀν τούτῳ χωρὶς τοῦ δάκνειν ἀνιᾷ, λιποψυχίαν τε ποιοῦντα καὶ κατάπ7ωσιν τῆς δυνάμεως, ὥσ7ε καὶ θάνατον ἕπεσθαι. Τὰ δὲ ἔτι μᾶλλον θερμὰ τέμνει 2
καὶ διαιρεῖ καὶ διίσ7ησι τὴν οὐσίαν, ὥσ7ε ἐξ ἀνάγκης δακνώδη φαί-

de stupéfier, appartiendront aussi au quatrième degré. Il n'existe aucune 5
substance qui dessèche au quatrième degré sans qu'elle brûle : car aussitôt qu'une substance dessèche au suprême degré, elle brûle nécessairement aussi.

12. SUR LES EFFETS PRODUITS PAR LE CHAUD ET PAR LE FROID.

Les substances tempérées sont douces et agréables, parce qu'elles dis- 1
solvent ce qui est coagulé et solidifié dans notre corps, et que c'est surtout cet effet qui cause des sensations agréables aux animaux; cependant, si elles agissent longtemps, elles deviennent nuisibles, car, de cette manière, la liquéfaction qu'elles produisent dépasse la mesure, de façon à évaporer, à dissoudre et à disperser notre substance; mais, même en agissant ainsi, elles nuisent sans irriter, ne causant que des défaillances et un abattement des forces qui peuvent même donner la mort. Les 2
substances encore plus chaudes exercent sur notre corps une action incisive, divisive et disjonctive; on les voit donc nécessairement aussi cau-

1. *δή* Gal. — Ib. *σφοδροτέρως ψύχειν πέφυκεν* Gal. — Ib. *νεκροῦν* Gal., Aët. — 2. *ἔσ7ιν εὑρεῖν* Gal. — Ib. *ὅ τι γάρ* Gal. — 3. *καί* om. ACV. — Ch. 12; l. 4. *διαχεῖται* Gal. — 7. *ὡς καὶ διαφ.* Gal. — 8. *διαλ.* Gal. — 9. *λειποψ.* C Gal. — Ib. *ἐμποιοῦντα* Gal. — Ib. *τῆς* om. Gal. — 10. *τὸν θ.* Gal. — Ib. *ἐπί* ACV. — Ib. *μᾶλλον τῶνδε* Gal. — 11-p. 499, 1. *φαίνεσθαι* Gal.

3 *νεται, καθάπερ καὶ τὸ ζέον ὕδωρ καὶ τὸ πῦρ αὐτό. Καὶ τῶν ψυχρῶν*
δὲ κατὰ τὸν αὐτὸν τρόπον ὅσα μὲν οὔπω διασπᾷ τὸ συνεχὲς τοῦ
πλησιάζοντος ψυχρὰ μόνον ἐσ͂τιν, οὐ μὴν ἤδη γέ πω καὶ δακνώδη·
4 *τὰ δὲ πρὸς τῷ συνάγειν διασπῶντα βιαίως δακνώδη φαίνεται. Τὸ*
μὲν οὖν συνάγειν τε καὶ πηγνύναι τὴν ὑποβεβλημένην ὕλην ἴδιον
ἀεὶ τοῦ ψυχροῦ· τὸ δὲ διαχεῖν τε καὶ τήκειν τοῦ θερμοῦ· κοινὸν
δὲ ἀμφοῖν ἀμετρότερον αὐξηθέντων τὸ δάκνειν, ὥστε καὶ χαλεπὸν
εἶναι διακρῖναι πολλάκις, εἴτε κατεψυγμένος τις, εἴτε καὶ διὰ χυμῶν
δριμύτητα δάκνοιτο, ἀλλὰ ἐπὶ μὲν τῶν ψυχόντων εὐθέως καὶ τοῦ
συνάγεσθαί τε καὶ σφίγγεσθαι τὴν οὐσίαν αἴσθησις ἡμῖν ἐστιν, ἐπὶ
5 *δὲ τῶν θερμαινόντων τοῦ διαλύεσθαί τε καὶ χεῖσθαι. Καὶ δὴ καὶ τὸ*
τάχος οὐχ ὅμοιόν ἐστιν ἀμφοτέρων τῶν παθῶν, ἀλλὰ ἐπὶ μὲν τῶν
ψυχόντων βραδύνει μᾶλλόν πως ἡ δῆξις, ἐπὶ δὲ τῶν θερμαινόντων
6 *ὠκύτατα διέρχεται. Μέγιστον δὲ εἰς τὰ τοιαῦτα παθήματα συμβάλ-*

3 ser de l'irritation, comme ferait l'eau bouillante et le feu lui-même. De
même, parmi les agents froids, ceux qui ne causent pas encore de solution
de continuité dans le corps sur lequel on les applique, sont uniquement
froids, mais ils ne produisent pas encore d'irritation; ceux, au contraire,
qui ne contractent pas seulement, mais qui déchirent aussi, produisent
4 manifestement une irritation violente. Contracter et figer la matière sur
laquelle s'exerce l'action, est donc toujours un effet propre au froid; dis-
soudre et fondre est un effet du chaud; mais irriter est un effet com-
mun à tous les deux, quand ils sont portés à un degré exagéré : il
est donc souvent difficile de distinguer si un individu est refroidi, ou
s'il est irrité par l'âcreté des humeurs; mais, s'il s'agit d'agents refroi-
dissants, nous sentons immédiatement que notre substance se contracte
et se resserre, tandis que, sous l'influence des échauffants, nous
5 éprouvons une sensation de dissolution et de fusion. De plus, la rapi-
dité de l'action n'est pas la même dans les deux cas; mais, pour les
refroidissants, l'irritation arrive en quelque sorte plutôt tardivement, tan-
6 dis que, pour les échauffants, elle passe très-rapidement. Ce qui exerce

2. *μὲν οὖν οὔπω* V; *μὲν συνάγει, οὔπω δέ* Gal. — 4. *φαντάζεται* Gal. — 5. *πηγνύειν* Gal. — 7. *ἀμετρότερα* Gal. — 8. *χυμοῦ* Gal. — 11. *δή τό* ACV. — 12. *ἐστιν*] *ἐπί* Gal. — 12-13. *μὲν ψυχόντων* ACV. — 14. *διεξέρχεται* Gal.

λεται καὶ τὸ τῆς οὐσίας τῶν φαρμάκων ἢ παχυμερὲς, ἢ λεπτομερές· ἐπὶ μὲν γὰρ τῶν ψυχόντων τὰ λεπτομερῆ μᾶλλον ἐξικνεῖται πρὸς τὸ βάθος καὶ διὰ τοῦτο δάκνει σφοδρότερον· ἐπὶ δὲ τῶν θερμαινόντων τὰ παχυμερῆ μᾶλλον ἑλκοῖ, καὶ διὰ τοῦτο ἀνιᾷ βιαιότερον.
Μᾶλλον δὲ ἔτι δάκνει τὰ λεπτομερῆ τε ἅμα καὶ ταῖς κράσεσιν ἀνώ- 7
μαλα· σχεδὸν δὲ πάντα ἐστὶν ἀνώμαλα· ἢ γὰρ ἀδύνατον, ἢ πάνυ χαλεπὸν, ἐξευρεῖν οὐσίαν ἡντιναοῦν ἀκριβῶς ὁμοιομερῆ.

ιγʹ. Ὅσα μέσα τῶν θερμαινόντων καὶ ψυχόντων ἐστίν.

Ἀδίαντον, ἀσπάραγος ὁ μυακάνθινος, ἄσπληνος, βρύον, τὸ καὶ 1
σπλάχνον, γλυκυῤῥίζης ὁ χυλὸς, δρακοντίου ἡ ῥίζα, ἔλαιον τὸ γλυκύτατον, ἐκ δρυπεποῦς μάλιστα τοῦ καρποῦ γινόμενον, κηρὸς, κύα-

encore une très-grande influence sur ces effets, c'est la grossièreté ou la subtilité de la substance des médicaments : en effet, pour les refroidissants, les substances subtiles pénètrent plus dans la profondeur du corps et irritent par conséquent plus fortement, tandis que, parmi les échauffants, les médicaments composés de particules grossières ulcèrent
davantage, et causent, pour cette raison, un dommage plus grave. Une 7
irritation plus forte encore est produite par les médicaments qui sont à la fois subtils et composés d'un mélange de substances dissemblables; or presque tous ont une composition inégale, car il est impossible, ou très-difficile, de trouver un ingrédient quelconque composé de particules exactement semblables.

13. MÉDICAMENTS QUI TIENNENT LE MILIEU ENTRE LES ÉCHAUFFANTS ET LES REFROIDISSANTS[1] :

Le capillaire, l'asperge, la daurade, le lichen qui croît sur les arbres 1
et qu'on appelle aussi *splachnon,* le suc de réglisse, la racine de serpentaire, l'huile la plus douce qui existe, et qu'on fait surtout avec des olives mûries sur l'arbre, la cire, les fèves, la partie mangeable des pi-

[1] Voyez la Préface sur la manière dont nous avons traduit ces listes.

1. *καί* om. Gal. — 4. *ἕλκει* ACV. — Ch. 13; l. 8. *ἄσπληνον* Gal. — 9. *σπλάγχνον* Codd., Gal.— 10. *δρυπετοῦς* AC; V a la glose : *Δρυπεπεῖς ἐλάας ἔλεγον τὰς ἐπὶ τῶν δένδρων πεπαινομένας.*

μος, στροβίλου τὸ ἐδώδιμον ἀποβραχὲν εἰς ὕδωρ, λύκιον, λωτὸς ἢ τρίφυλλον, μάκερ, κιτρίου ὁ φλοιὸς, πτέρεως ἡ ῥίζα καὶ θηλυπτέρεως, σχῖνος, ὑακίνθου ὁ καρπὸς, φακοὶ, Σελινουσία γῆ καὶ Χία καὶ Σαμία, καδμεία, λιθάργυρος, λίθος γαλακτίτης.

ιδʹ. Ὅσα εἶπε θερμαίνειν ἄνευ τοῦ προσθεῖναι τὴν τάξιν.

1-2 Ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα θερμαίνει μετρίως. Ἀκαλήφης
ὁ καρπὸς καὶ τὰ φύλλα, ἀκανθίου ἡ ῥίζα καὶ τὰ φύλλα· ἅλιμον
μετὰ ὑγρότητος ἀκατεργάστου καὶ φυσώδους· ἀμύγδαλα γλυκέα,
ἀναγαλλίδες ἀμφότεραι, ἀτρακτυλὶς ἢ κνῆκος ἄγριος, ἀφάκη, τῶν
βάτων ὁ πέπειρος καρπὸς, γλυκυσίδης ἡ ῥίζα, ἐλαίας ὁ καρπὸς ὁ
3 πέπειρος, ζύμη, ἠρύγγιον, κίσθος ἢ κίσθαρος. Κίσθος ἢ λάδανον ὁ
4 μὲν παρὰ ἡμῖν ψύχει, ὁ δὲ ἐν θερμοῖς χωρίοις θερμαίνει. Κράμβη
ἀγρία ἰσχυρότερον τῆς ἡμέρου· περικλυμένου ὁ καρπὸς, πολύγαλον,

gnons doux macérée dans l'eau, le suc de petit nerprun, le mélilot de Messine, le macer, l'écorce de citron, la racine de fougère mâle et celle de *fougère femelle,* le lentisque, la graine de l'hyacinthe, les lentilles, la terre de Sélinunte, celle de Chios et celle de Samos, la tutie, la litharge, le quartz laiteux.

14. MÉDICAMENTS DONT GALIEN A DIT QU'ILS ÉCHAUFFENT, SANS AJOUTER À QUEL DEGRÉ.

1-2 Les feuilles et la graine de gattilier échauffent modérément. La graine
et les feuilles de l'ortie, la racine et les feuilles du chardon bâtard, la
soutenelle, qui contient en outre une humidité mal élaborée et flatu-
lente, les amandes douces, les deux espèces de mouron, le carthame
laineux ou carthame sauvage, le jarseau, le fruit mûr de la ronce, la
racine de pivoine, le fruit mûr de l'olivier, la levure, le panicaut, l'es-
3 pèce de ciste appelé aussi *cistharus,* échauffent. Quant à l'espèce ap-
pelée aussi ladanum, celle qui vient dans nos contrées refroidit; mais
4 celle qui croît dans les pays chauds échauffe. Le chou sauvage échauffe
plus fortement que le chou cultivé; le fruit du chèvrefeuille, le polygala,

2. μάκιρ V; μακίρ A; μακρόν C. — 3. φακή ACV. — Ch. 14; l. 6. ἅλιμον Codd. Gal. — 7. τε καὶ φ. ἀτρέμα Gal. — 8. ἡ φακή V. — 9-10. ὁ ἀκριβῶς πέπ. Gal. — 10. κίθαρος Codd. — Ib. Κίσθος om. C.

ῥητίναι πᾶσαι, ἡ δὲ πευκίνη πλεῖον τῆς τερμινθίνης καὶ ταύτης
ἔτι μᾶλλον ἡ στροβιλίνη, μέσαι δὲ αὐτῶν εἰσιν ἡ πιτυΐνη τε καὶ ἡ
ἐλατίνη· τῶν δὲ ὑγρῶν ῥητινῶν τὸ καπνέλαιον μᾶλλον· δριμείας
δέ ἐστιν ἡ κυπαρισσίνη δυνάμεως. Σήσαμον μετρίως καὶ τὸ ἀπὸ 5
αὐτοῦ ἔλαιον καὶ τὸ ἀφέψημα τῆς πόας· σόγχος ξηρανθεὶς, σχοίνου
ἄνθος, φαληρὶς, φοινίκων ὁ καρπὸς, καὶ μᾶλλον ὁ γλυκὺς, λίθος
μυλίτης, μελιτίτης, ῥύπος, κοχλιῶν κεκαυμένων ἡ τέφρα. Κυνο- 6
κράμβη δὲ πάνυ θερμαίνει, καὶ βατραχίου ἡ ῥίζα καὶ σύμπασα ἡ
πόα, γλήχων, δάφνης τὰ φύλλα καὶ μᾶλλον ὁ καρπὸς, ἧττον δὲ ὁ
φλοιὸς τῆς ῥίζης· δάφνη ἡ πόα· δίκταμνον ὁμοίως γλήχωνι· τὸ δὲ
ψευδοδίκταμνον ἧττον· ἐλελίσφακος, ἐρύσιμον, ἔρια κεκαυμένα, ζιγ-
γίβερι, θαψία, καρδάμωμον, ὀπὸς, καὶ πάντων μᾶλλον ὁ Κυρηναϊ-
κὸς, πάνακος ἡρακλείας ὁ φλοιὸς τῆς ῥίζης καὶ ὁ καρπὸς, ἀλλὰ ἧτ-

échauffent; toutes les espèces de résine échauffent; mais celle des pins
dont on fait les torches échauffe plus que la résine de térébenthinier, et
celle du pin cultivé encore plus que la précédente, tandis que celles du
pin commun et du sapin tiennent le milieu entre les deux; la résine qui
découle spontanément des arbres est plus échauffante que les résines
liquides, tandis que la résine de cyprès est douée de facultés âcres.
Le sésame, ainsi que l'huile qu'on en tire, et la décoction de l'herbe, 5
échauffent modérément; le laiteron desséché, le jonc odorant, l'alpiste, le
fruit du dattier, surtout les dattes sucrées, la *pierre meulière*, le mellite (?),
la crasse, la cendre des escargots brûlés échauffent. Le cynanque droit 6
échauffe fortement; la racine de renoncule, ainsi que toute l'herbe, le
pouliot, les feuilles de laurier, échauffent; mais les fruits le font à un de-
gré plus prononcé, et l'écorce de la racine plus faiblement; le laurier
d'Alexandrie échauffe; le dictame de Crète, au même degré que le pou-
liot; mais le faux dictame, plus faiblement; la sauge, l'*érysimum*, la laine
brûlée, le gingembre, la thapsie, le cardamome, tous les sucs résineux,
et, avant tous, celui de Cyrène, échauffent; l'écorce de la racine et le
fruit de la panacée d'Hercule, mais à un moindre degré que le suc; la

5. *καί* post *ἐλ.* om. C. — 6. *μάλιστα δένδρον τά* Gal. — 12-13. Κυρηναῖος Gal. — 7. *ἡ* om. C. — 9. *δάφν. τοῦ* Gal.

τον τοῦ ὀποῦ· πάνακες ἀσκληπίειον καὶ πάνακες χειρώνειον ἔλατῖον
πάνακος ἡρακλείας· σιλφίου ὀπὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ
7 ἡ ῥίζα καὶ ὁ καυλὸς, τρίχες κεκαυμέναι. Θερμαίνει δὲ καὶ ἀμπέλου
λευκῆς τῆς καὶ βρυωνίας ἡ ῥίζα· τῆς δὲ ἄλλης τῆς μελαίνης ἀσθε-
νέσῖερα· ἀναγύρεως τὰ φύλλα καὶ μᾶλλον τὰ ξηρὰ, ἀρισῖολοχίαι,
ἀσφοδέλου ἡ ῥίζα καὶ καυθείσης ἡ τέφρα, βαλάνου μυρεψικῆς ὁ
χυλὸς, βουϐώνιον, βούγλωσσον, βούνιον, ὃ καὶ ἄρκτιον, ψευδοϐού-
νιον, γλαῦξ ἡ πόα, δαῦκος ὁ καὶ σῖαφυλῖνος, καὶ μᾶλλον ὁ ἄγριος
δαῦκος, ἔξωθεν ἡ πόα ἐπιτιθέμενη, καὶ μᾶλλον τὸ σπέρμα αὐτῆς,
8 χαμαιδάφνη, δαφνοειδές. Δρακοντίου ἡ ῥίζα θερμοτέρα τῆς τοῦ
9 ἄρου, διότι καὶ δριμυτέρα καὶ πικροτέρα. Ἔϐενος, ἔλαιον γλυκὺ
καὶ παλαιόν· τὸ δὲ ῥαφάνινον μᾶλλον, καὶ τούτων μᾶλλον τὸ σι-
νάπινον καὶ τὸ μελάνθινον καὶ δάφνινον καὶ τὸ κέδρινον καὶ τὸ

panacée d'Esculape et celle de Chiron échauffent moins que celle d'Her-
cule; le suc, les feuilles, la graine, la racine et la tige de *silphium*,
7 des cheveux brûlés. La racine de la *vigne* blanche, qu'on appelle aussi
bryone, échauffe; celle de l'autre espèce, appelée *noire*, le fait à un
moindre degré; les feuilles de bois puant, surtout quand elles sont des-
séchées, les diverses espèces d'aristoloche, la racine d'asphodèle et la
cendre de cette racine, le suc du gland d'Égypte, l'aster amelle, la
bourrache bâtarde, le bunium, qu'on appelle aussi *arctium*, le *faux bu-
nium*, le cresson sauvage, le *daucus*, qu'on appelle aussi carotte, et sur-
tout le *daucus* sauvage, quand on applique l'herbe à l'extérieur, et plus
8 encore sa graine; le fragon racémeux et le daphné des Alpes. La racine
de serpentaire est plus chaude que celle de gouet, parce qu'elle est aussi
9 plus âcre et plus amère. Le bois d'ébène, l'huile douce vieillie; l'huile
de raifort à un degré plus prononcé, et l'huile de moutarde, de nielle, de
laurier, de *cèdre*, et l'huile *de torche*, qu'on tire du goudron, à un de-

1. ἀσκληπίειον ex em.; ἀσκλήπειον AC Gal.; om. V. — Ib. καὶ πάν. om. CV. — Ib. χειρ. om. C. — 2. καρπός] καυλός Gal. — 3. καὶ ὁ καυλός om. Gal. — 4-5. ἀσθενεσῖέρα AV. — 5. ἀρισῖολόχειαι A; ἀρισῖολόχεια C 1ª m. V. — 7. βουϐώνιον] βούνιον Codd. — Ib. βούνιον om. Codd. — 10. θερμαντικωτέρα Gal. — 11. Ἔϐενος] σϐένοσι AC; σϐέννυσι V. — 12. τούτου μᾶλλον ἔτι τό Gal. — 12-13. σησάμινον Codd. — 13. κέδριον AC.

*ἀπὸ τῆς ὑγρᾶς πίτlης τὸ δᾴδινον· ἐλενίου τῆς πόας ἡ ῥίζα, ἐρέ-
βινθοι, ἕρπυλλον, ἰξὸς, καυκαλὶς ὡς δαῦκος, λιγυσlικοῦ καὶ ἡ ῥίζα
καὶ τὸ σπέρμα, σμῖλαξ καὶ ἡ τραχεῖα καὶ ἡ λεία, νάρθηκος σπέρμα,
πεπλίου τὸ σπέρμα, σαγαπηνὸν, σατύριον, σέλινον, καὶ μᾶλλον τὸ
σπέρμα, ἱπποσέλινον, ὀρεοσέλινον, σέσελι, σησαμοειδοῦς τοῦ λευκοῦ
τὸ σπέρμα, σίον, σίνων, σμύρνα Βοιωτικὴ, σlύραξ, συκῆ· ὑδροπέ-
περι ἔλατlον πεπέρεως· ὑπερικόν. Ἅλες οἱ χαῦνοι θερμότεροι τῶν* 10
ἄλλων. Θεῖον, αἷμα, χολὴ, καὶ μᾶλλον ἡ ξανθὴ τῆς ὠχρᾶς, καὶ ἡ 11
*τῶν ταύρων τῆς τῶν εὐνουχισθέντων βοῶν μᾶλλον· ἀσθενεσlάτη δέ
ἐσlιν ἡ τῶν ὑῶν πλὴν τῶν ἀγρίων· ἡ δὲ τῶν προβάτων βραχὺ δρι-
μυτέρα τῆς τῶν ὑῶν, καὶ ταύτης μᾶλλον ἡ τῶν αἰγῶν, ᾗ παρα-
πλησία πώς ἐσlιν ἡ τῶν ἄρκτων τε καὶ βοῶν· ἡ δὲ τῶν ταύρων
ἰσχυροτέρα μὲν τούτων, ἀσθενεσlέρα δὲ τῆς τῶν ὑαινῶν, αὕτη δὲ αὖ
πάλιν τῆς τε τοῦ καλλιωνύμου καὶ τοῦ θαλατlίου σκορπίου καὶ*

gré encore plus prononcé; la racine de l'herbe appelée aunée, les pois
chiches, le serpolet, la glu; la petite boucage, au même degré que le
daucus; la racine et la graine de laser sermontain, le liseron épineux et
le liseron lisse [des haies], la graine de férule, la graine de *péplium,* la
gomme sagapène, l'orchis homme-pendu, le céleri et surtout sa graine,
le maceron et le séseli annuel, le séseli (de Marseille), la graine d'au-
briétie deltoïde, la berle, la fausse amome, la résine qui exsude de la
racine de maceron, le styrax, le figuier; le piment d'eau, moins que le
poivre; le millepertuis. Le sel spongieux est plus chaud que les autres 10
espèces de sels. Le soufre, le sang, la bile, échauffent; la bile jaune, plus 11
fortement que la bile pâle; de même celle des taureaux échauffe plus
que celle des bœufs; la plus faible est celle des cochons; celle des san-
gliers est moins faible; la bile des moutons est un peu plus âcre que
celle des cochons, et celle des chèvres l'est encore plus; à cette der-
nière ressemble en quelque sorte celle des ours et des bœufs; celle des
taureaux est plus forte que la bile de ces animaux-là, mais plus faible
que celle des hyènes, qui est, à son tour, plus faible que celle de l'ura-

1. *καὶ τὸ δᾴδ.* Codd. — 2. *ἕρπυλλος* Gal. — Ib. *λιβυσlικοῦ* Gal. — 3. *σμῖλαξ..... σπέρμα* om. C. — Ib. *μῖλαξ* Gal. — 6. *σιον, σίνον* AV; *σιούσινον* C. — 6-7. *ὕδνον, πέπερι* Aët. — 9. *τῆς* om. Codd. — 13. *ἀπολειπομένη* Gal. — Ib. *δέ* ante *τῆς* om. ACV. — 14. *π. αὐτὴ τῇ* Gal.

12 χελώνης θαλαττίας. Εἴσι δὲ καὶ αἱ τῶν πτηνῶν ζώων πᾶσαι δρι-
μύτεραί τε καὶ ξηραντικώτεραι τῶν ἐν τοῖς τετράποσι, τῶν δὲ πτη-
νῶν αὐτῶν αἵ τε τῶν ἀλεκτορίδων καὶ περδίκων ἀμείνους· αἱ δὲ
τῶν ἱεράκων τε καὶ ἀετῶν δριμεῖαι δεινῶς εἰσι καὶ διαβρωτικαί.
13 Οὖρον πάντων μὲν ζώων ἐστὶ θερμὸν, μᾶλλον δὲ καὶ ἧττον παρὰ
τὴν κρᾶσιν· τὰ γὰρ θερμότερα θερμότερον ἔχει· τὸ δὲ τῶν ἀν-
14 θρώπων καὶ τῶν ἐκτμηθέντων ὑῶν πάντων ἀσθενέστερον. Σίελον
ἀσθενὲς μὲν πεπωκότων καὶ ἐδηδοκότων ἐστὶν, ἰσχυρὸν δὲ καὶ δρι-
15 μύτατον ὑπερδιψησάντων καὶ ὑπερπεινησάντων. Σάρκες ἐχιδνῶν.
16 Στέαρ χήνειον θερμότερον τοῦ τῶν ἀλεκτορίδων καὶ ἀλεκτρυόνων
καὶ τοῦ ὑείου· τὸ δὲ τῶν ταύρων πολὺ θερμότερον καὶ ξηρότερον
τοῦ ὑείου· τὸ δὲ μόσχειον ἀπολείπεται τοῦ τῶν ταύρων, ὥσπερ τὸ
τῶν ἐρίφων τοῦ τῶν αἰγῶν καὶ τοῦ τῶν τράγων· τοῦ δὲ τῶν ταύρων

12 noscope, de la scorpène et de la tortue de mer. La bile des oiseaux est
toujours plus âcre et plus desséchante que celle des quadrupèdes, et,
parmi les oiseaux, celle des poules et des perdrix est la meilleure, tandis
que celle des éperviers et des aigles est excessivement âcre et corrosive.
13 L'urine de tous les animaux est chaude; mais elle l'est plus ou moins
selon le tempérament, car elle est d'autant plus chaude, que les animaux
sont eux-mêmes plus chauds; celle des hommes et des cochons châtrés
14 est plus faible que toutes les autres. La salive des individus qui ont bu
et mangé est faible; mais elle est efficace et très-âcre chez ceux qui ont
15 été exposés à une soif ou à une faim exagérées. Les chairs de vipère
16 échauffent. La graisse des oies est plus chaude que celle des poules, des
coqs et des porcs, tandis que celle des taureaux est beaucoup plus
chaude et plus sèche que celle des porcs; la graisse de veau est inférieure à celle des taureaux dans la même proportion que celle des jeunes
boucs l'est à celle des chèvres et des boucs adultes; mais celle des lions
échauffe plus fortement que celle des taureaux; toute graisse molle est

1. αἱ om. AC. — 3. αἵ τε τῶν om. V. — 4. δριμεῖαι om. C. — Ib. ἱκανῶς Gal. — Ib. εἰσὶ δὲ καί Gal. — 7. ἀσθενέστατον Gal. — 8. πεπωκ. καί om. Gal. — 8-9. καὶ ἐδηδοκ..... ὑπερδιψ. om. V. — Ib. δριμὺ τὸ τῶν Gal. — 10. ἀλεκτορίδων καί om. Gal. — 12. ταύρων πλέον ὥσπερ V.

πλέον τὸ τῶν λεόντων· ἁπάσης δὲ πιμελῆς ἡ δύναμίς ἐσ7ι θερμαντική τε καὶ ὑγραντική. Ἅλμη τῶν ταριχηρῶν ἰχθύων. 17

ιε'. Ὅσα θερμαίνει πρώτης ἀποσ7άσεως.

Ἀλόη ἐπιτεταμένης· ἀνθεμὶς ἢ χαμαίμηλον, ἄρον, ἀψίνθιον· 1 θερμότερος δὲ ὁ χυλός· λάδανον πληρουμένης· λευκακάνθης ἡ ῥίζα καὶ ὁ καρπὸς, λινόσπερμον, μαλαβάθρου φύλλον, νάρδου σ7άχυς· ἀσθενεσ7έρα δὲ ταύτης νάρδος Κελτικὴ, καὶ ἔτι μᾶλλον νάρδος ὀρεία· οἶνος γλεύκινος, ὄροβος, πυρὸς ἔξωθεν ἐπιτιθέμενος· σῦκα ξηρὰ συμπληρουμένης.

ις'. Ὅσα θερμαίνει δευτέρας ἀποσ7άσεως.

Ἀμόργη ἐπιτεταμένης· ἄνηθον ἐπιτεταμένης· τὸ δὲ χλωρὸν ἔλαττον· ἀρτεμισίαι ἀμφότεραι, βάλσαμον, ἐλαφόβοσκον, κάλαμος ἀρωματικὸς, κρόκος, λιβανωτός· λυχνὶς ἡ εἰς τοὺς σ7εφάνους πληρου- 1

douée de propriétés échauffantes et humectantes. La saumure des poissons salés échauffe. 17

15. MÉDICAMENTS QUI ÉCHAUFFENT AU PREMIER DEGRÉ :

L'aloès, au degré exagéré; l'*anthemis* ou camomille, le gouet, l'absinthe, mais le suc est encore plus chaud que la plante elle-même; le ladanum, au degré extrême; la racine et la graine de centaurée de Dalmatie, la graine de lin, la feuille de faux cannellier, l'épi de nard; mais le nard celtique est plus faible que lui, et le *nard de montagne* l'est encore davantage; le vin doux, l'ers, le froment appliqué à l'extérieur, échauffent; les figues sèches le font au degré extrême. 1

16. MÉDICAMENTS QUI ÉCHAUFFENT AU SECOND DEGRÉ :

Le marc d'huile, au degré extrême; de même l'aneth; mais, quand l'herbe est verte, elle agit plus faiblement; les deux espèces d'armoise, le baume de Judée, le panais, le roseau odorant, le safran, l'encens; la coquelourde, qu'on emploie pour les bouquets, au degré extrême; la 1

Ch. 15; l. 4. συμπληρ. Gal. — Ib. λευκακάνθου Gal. — 5. τὸ σπέρμα Gal. — 7. ὁ γλεῦκος ὀνομαζόμενος Gal. — Ib. ὄροβος ad Eun.; ὀρός Codd.

μένης· λωτοῦ ἀγρίου τὸ σπέρμα, μασ7ίχη Χία, μέλι, μυῤῥίς· ἔνιοι δὲ μύῤῥαν· οἶνος, ϖευκεδάνου ἡ ῥίζα, ὁ δὲ ὀπὸς μᾶλλον· ϖίσσα· ϖόλιον τὸ μικρότερον συμπεπληρωμένης· ϖολύκνημον, μελισσόφυλλον, ϖράσιον· ϖρόπολις συμπληρουμένης· ϖ7αρμικῆς τὸ θαμνίον χλωρὸν ἔτι· ῥοδία ϖληρουμένης· σέριφον ἐπιτεταμένης· σικύου ἀγρίου χυλὸς, ὃν ἐλατήριον καλοῦσιν, σισάρου ἡ ῥίζα· σκάνδιξ ἐπιτεταμένης· σκίλλα· σκολύμου ἡ ῥίζα συμπληρουμένης· σμύρνα, τερμίνθου ὁ φλοιὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς, τεύκριον, τῆλις· χαμαιλέοντος ἑκατέρου ἡ ῥίζα ϖληρουμένης· χαμαίπιτυς, ὤκιμον.

ιζ'. Ὅσα θερμαίνει τρίτης ἀποσ7άσεως.

1 *Ἀβρότονον, καὶ μᾶλλον τὸ καυθέν· αἶρα ἀρχομένης· αἰγείρου ἄνθη καὶ ἡ ῥητίνη· ἀσθενέσ7ερα δὲ αὐτῆς τὰ φύλλα· ἄκορον, ἄμωμον, ἀμάρακον, ἄμμι, ἄνηθον καυθὲν, ἀνίσου σπέρμα, ἄρκευθος καὶ ὁ καρπὸς αὐτῆς, ἀσάρου ἡ ῥίζα, βράθυ, ἐλλέβορος ἑκάτερος, ἐπί-*

graine de la trigonelle élancée, le mastix de Chios, le miel, le cerfeuil anisé, que quelques-uns appellent *myrrhe;* la racine de fenouil de porc, et le suc à un degré plus prononcé; la poix; la petite espèce de polium, au degré extrême; la ziziphore capitée, la mélisse, le marrube; le propolis, au degré extrême; toute la tige de la ptarmique, quand elle est encore verte; la racine d'orpin rose, au degré extrême; l'armoise maritime, au degré extrême; le suc de concombre sauvage, qu'on appelle *élatérium,* la racine de chervis; l'aiguillette, au degré extrême; la scille; la racine de cardousse, au degré extrême; la myrrhe, l'écorce, les feuilles et le fruit du térébenthinier, le pouliot jaune, le fenugrec; la racine des deux espèces de *chamæléon,* au degré extrême; l'ivette, le basilic.

17. MÉDICAMENTS QUI ÉCHAUFFENT AU TROISIÈME DEGRÉ :

1 L'aurone, surtout quand elle est brûlée; l'ivraie, au degré faible; les fleurs et la résine de peuplier noir; mais ses feuilles agissent plus faiblement; le faux acore, l'*amome,* l'origanum maru, l'ammi, l'aneth brûlé, la graine d'anis, le genévrier aussi bien que son fruit, la racine de cabaret, la sabine, les deux espèces d'ellébore, l'agourre, la menthe, la

2. ἡ om. V. — 3. *μικρόν* Gal. — Ch. 17; l. 12. *ἀνήσου* A.

*θυμον, μίνθη, καλαμίνθη, θύμα, καλάμου Φραγμίτου Φλοιὸς καυ-
θεὶς, καρὼ, κασία, κέδροι ἀμΦότεραι, κιννάμωμον, κλινοπόδιον,
κνήκου τὸ σπέρμα, κόνυζα, καὶ ἡ μείζων καὶ ἡ μικροτέρα· ἡ γὰρ
δυσωδεσῖέρα ἐν ὑγροτέροις χωρίοις γινομένη ἀσθενεσῖέρα ἐσῖίν.
Κύμινον, λεοντοπετάλου ἡ ῥίζα, λευκὰς, λιβανωτοῦ ὁ αἴθαλος, μά- 2
ραθρον, μελάνθιον, μήου αἱ ῥίζαι, μῶλυ, ἢ πήγανον ἄγριον ἢ ἅρ-
μαλα ἢ βησασᾶ ἢ ὄρειον· ῥοδοδάΦνη ἀρχομένης· οἶνος ὁ ἱκανῶς
παλαιὸς, ὀνωνίδος ὁ Φλοιὸς, ὀρίγανοι πᾶσαι, ὀποπάναξ, παρω-
νυχία, πετροσέλινον, πήγανον, πΊαρμικὴ τὸ θαμνίον ξηρὸν, ῥα-
Φανίς· ἡ ἀγρία δρασΊικωτέρα, καὶ τὸ σπέρμα γε δρασΊικώτερον·
σάμψυχον, σησαμοειδὲς μέγα, σισύμβριον, σκορπιοειδὲς, σμύρνιον,
σῖάχυς ὁ παραπλήσιος πρασίῳ θάμνος, πολίου ἡ ῥίζα, τρίΦυλ-
λον· οἱ δὲ ἀσΦάλτιον· ὕσσωπον· χαλβάνη ἀρχομένης· χαμαίδρυς,
χαμαιλεύκη· χελιδόνιον τὸ μεῖζον πληρουμένης.*

calaminthe, le *thym,* l'écorce de roseau à balai brûlée, le carvi, la fausse
cannelle, les deux espèces de *cèdre,* la cannelle, le clinopode, la graine
de carthame, la grande *conyze* aussi bien que la petite; l'espèce qui a une
mauvaise odeur plus prononcée est plus faible, parce qu'elle croît dans
des pays plus humides. Le cumin, la racine de saponaire d'Espagne, le 2
lamier strié, la suie d'encens, le fenouil, la nielle, les racines de cistre,
le *moly,* ou rue sauvage, ou [Peganum] harmala, ou besasa, ou encore
rue de montagne; le laurier-rose, au degré faible; le vin très-vieux, l'é-
corce de bugrane, toutes les espèces d'origan, l'opopanax, la paronychie,
le persil, la rue, la tige desséchée de la ptarmique, le raifort (mais l'es-
pèce sauvage est plus efficace que l'autre, et la graine de raifort l'est
encore plus), la marjolaine, le réséda blanc, le cresson de fontaine, le
grémil d'Apulie, le smyrnium, l'épiaire, arbrisseau qui ressemble au
marrube, la racine de polium, le trèfle [bitumineux], que quelques-uns
appellent *asphaltion,* l'*hysope;* le galbanum, au degré commençant; la
germandrée lucide, le pas-d'âne; la grande chélidoine, au degré extrême.

1. *θύμος* Gal. — 2. *κάρω* AC; *κάρου τὸ σπέρμα* Gal. — 3. *μικρά* Gal. — 5. *ὁ θάλλος* Gal. — 5-6. *μάραθον* ACV. — 6-7. *ἄρμολα* Gal. — 7. *βήσασαν* Codd. — Ib. *ἢ ὄρ.* om. Gal. — 8. *ὀρίγανον* A. — Ib. *ἄπασαι* Gal.; *ἥμερον* A 1ª m. — 9. *πήγανον ἥμερον* V Gal. — 10. *γε*] *δέ* AV. — 12. *πόλιον* (om. *ἡ ῥίζα*) Gal. — 14 *χαμαιλεύκη ἀρχομένης* V. — Ib. *χελιδ..... πληρ.* om. Gal.

ιη′. Ὅσα θερμαίνει τῆς δ′ ἀποστάσεως.

1 Ἀδάρκη, ἀμπελόπρασον, εὐφόρϐιον, κεδρέας τὸ ἔλαιον· κληματίδος τὰ φύλλα ἀρχομένης· κόστος, κρόμμυον, λεπίδιον, νᾶπυ, ϖήγανον ἄγριον, σκόροδον· τὸ δὲ ἄγριον μᾶλλον ὀφιοσκόροδον· στρουθίου ἡ ῥίζα, τιθυμάλλων ὀπός· ἔλαττον δὲ ὁ καρπὸς αὐτῶν καὶ τὰ φύλλα· χελιδόνιον τὸ μικρότερον ἀρχομένης· τὰ καυστικὰ ϖάντα.

ιθ′. Ὅσα ψύχειν ἁπλῶς εἶπεν ἄνευ τοῦ ϖροσθεῖναι τὴν ἀπόστασιν.

1 Ἀγρώστεως ἡ ῥίζα μετρίως, καὶ ἡ ϖόα καταπλασσομένη μετρίως· ἀλσίνη χωρὶς στύψεως· ἄπιοι καταπλασσόμεναι· αὐστηροὶ δὲ [οἱ ἀκρέμονες]· βουϐώνιον ἄνευ στύψεως· βαλαύστιον, βάτου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ ὁ ἄωρος καρπὸς καὶ τὸ ἄνθος· βρόμος μετρίως· βρύον θαλάσσιον· γλαύκιον μετρίως· γλυκυῤῥίζης ὁ χυλός· δορύ-

18. MÉDICAMENTS QUI ÉCHAUFFENT AU QUATRIÈME DEGRÉ.

1 L'adarcé, le *poireau des vignes*, l'euphorbe, l'huile de *cèdre;* les feuilles de pervenche, au degré faible; le costus, l'oignon, le cresson alénois, la moutarde, la rue sauvage, l'ail, et surtout l'espèce sauvage qu'on appelle rocambole; la racine de saponaire, le suc des tithymalles (mais leur fruit et leurs feuilles, à un degré plus faible); la petite chélidoine, au degré faible; toutes les substances caustiques.

19. MÉDICAMENTS DONT GALIEN A DIT SIMPLEMENT QU'ILS REFROIDISSENT, SANS AJOUTER À QUEL DEGRÉ.

1 La racine de chiendent refroidit modérément; il en est de même de cette herbe appliquée sous forme de cataplasme; la pariétaire de Crète, sans qu'elle soit astringente; les poires appliquées en cataplasme (mais les jeunes pousses du poirier sont légèrement âpres); l'aster amelle sans être astringent; les fleurs de grenadier sauvage, les feuilles, les jeunes pousses, le fruit vert et la fleur de la ronce; l'avoine, modérément; la lai-

Ch. 18; l. 1. *κέδρινον ἔλαιον* Aët.; om. V. — 2. *ἀρχ.*] *συμπληρουμένης* Gal. — Ch. 19; l. 7. *Ἀγρ. ῥίζα* A 1ª m. — 8. *δέ* om. V. — 8-9. [*οἱ ἀκρέμονες*] Gal.; om. Codd. — 9. *βουϐ. δέ* V. — 11-p. 510, 1. *δορυκνίδιον* Gal.

κιον πάνυ ἐπικρατούμενον ὑδατώδει ψυχρότητι δραστηρίῳ· ἐλαίας οἱ θαλλοὶ καὶ ὁ ἄωρος καρπὸς, ἔλαιον ὠμοτριβὲς, ἔλαιον μύρτινον, σησάμινον, βαλάνινον, ὑοσκυάμινον· ἐλατίνη μετρίως· ἑλξίνη ἡ καὶ περδίκιον, μετρίως· ἔλυμος ἡ μελίνη καταπλασσομένη· ἐπιμήδιον μετρίως· ἴου τὰ φύλλα μετρίως· καλάμου φραγμίτου τὰ φύλλα μετρίως· κώνειον ἄκρως· λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, μήκωνες πᾶσαι, καὶ ὁ ἐξ αὐτῶν ὀπὸς, μηλέας ὁ καρπὸς καὶ τὰ φύλλα καὶ οἱ χυλοὶ καὶ οἱ φλοιοὶ πλὴν τῶν γλυκέων· ταῦτα γὰρ ὑδατώδη εὔκρατα· περσικῆς ὁ καρπὸς, κιτρίου ἡ σάρξ· μύκητες ἱκανῶς· ὄμφακος χυλὸς ἱκανῶς· τὸ ἀπὸ τοῦ σίτου ἄμυλον μετρίως· ῥόδινον ἔλαιον μετρίως· πάτος ὁ ἀπὸ παλαίστρας, σιδηρῖτις ἑκατέρα, σόγχος ὁ μηδέπω ξηρανθεὶς, στρατιώτης, τρίβολοι ἀμφότεροι, ἀλλὰ ὁ μὲν ὑγρὰν ἔχει τὴν ψύξιν, ὁ δὲ χερσαῖος γεώδη· φοίνικος τῶν κλάδων

tue de mer; le glaucium, modérément; le suc de réglisse, le dorycnium, dans lequel prédomine complétement un froid aqueux très-actif; les rameaux et le fruit vert de l'olivier, l'huile d'olives vertes, l'huile de myrte, de sésame, de ben (glands d'Égypte), de jusquiame; la linaire, modérément; la pariétaire de Judée, qu'on appelle aussi *perdicium*, modérément; l'*élymos* ou grand millet appliqué sous forme de cataplasme; l'épimédium, modérément; les feuilles de violette, modérément; les feuilles de roseau à balai, modérément; la ciguë, au suprême degré; le lichen qui croît sur les rochers, toutes les espèces de pavot ainsi que leur suc, les feuilles et l'écorce de pommier, ainsi que les pommes et leur suc, à l'exception de celles qui ont un goût sucré, car celles-là sont aqueuses et d'un tempérament moyen; la pêche, la chair de citron; les champignons, fortement; le verjus, fortement; l'amidon fait avec du froment et l'huile de roses, modérément; la crasse des palestres, les deux espèces de *sidéritis;* le laiteron avant d'être desséché; le pistia stratiote, les deux espèces de *tribulus;* mais l'un (la macle) produit un refroidissement humide, tandis que le tribulus terrestre produit un refroidissement terreux; le suc des branches du palmier, le chou palmiste et la spathe de cet

2-3. μύρτινον ex em.; μύρσινον Codd., Gal. — 3. βαλάνιον A; om. V Gal. — Ib. ὑοσκ. om. V Aët. — 4-5. ἔλυμος... φύλλα μετρίως om. V. — Ib. ἐπιμήδειον AC. — 5. τὰ φ. καὶ ὁ χυλός Aët. — 10. τελέως Gal. — Ib. πυροῦ Gal. — 10-11. ῥόδ. ἔλ. μετρ. om. C. — 12. τρίβολος (om. ἀμφ.) C.

ὁ χυλὸς καὶ ὁ ἐγκέφαλος καὶ ὁ ἐλάτης αὐτοῦ· Σαμία γῆ μετρίως· κιμωλία γῆ, λίθος αἱματίτης· ὁ δὲ σχιστὸς ἧττον· Ναξίας ἀκόνης τὸ ἀπότριμμα· μολύϐδαινα μετρίως· μόλυϐδος ἄκαυστος καὶ κεκαυμένος, ψιμύθιον· σάνδυξ μετρίως· τυρὸς ὁ μαλακὸς καὶ νεοπαγὴς μετρίως.

κʹ. Ὅσα ψύχει τῆς πρώτης ἀποστάσεως.

1 Ἀκακία ἄπλυτος· ἀτράφαξυς ἄνευ στύψεως· γίγαρτα, κέγχρος, κριθαί, ὀροϐάγχη, πλάτανος· ῥάμνος συμπληρουμένης· σέρις, ἥν τινες πικρίδα καὶ κιχόριον προσαγορεύουσι, καὶ ἡ χονδρίλη· εἶδος δέ ἐστι σέρεως.

καʹ. Ὅσα ψύχει τῆς δευτέρας ἀποστάσεως.

1 Ἀκακία πεπλυμένη, ἀρνόγλωσσον καὶ ὁ καρπὸς αὐτοῦ, βλίτον, κηκὶς ὀμφακῖτις, κολοκύνθη, μηλέας Ἀρμενιακῆς ὁ καρπός, ῥοῦς, σικυὸς πέπων, στρύχνον τὸ κηπευόμενον· παραπλήσια δὲ τούτῳ

arbre; la terre de Samos, modérément; la cimolie, l'hématite; la pierre lamelleuse, à un moindre degré; le détritus de la pierre à aiguiser de Naxos; la galène, modérément; le plomb soit brûlé, soit non brûlé, la céruse; le *sandyx*, modérément; le fromage mou et récemment coagulé, modérément.

20. MÉDICAMENTS REFROIDISSANT AU PREMIER DEGRÉ :

1 L'acacia non lavé; l'arroche, sans être astringente; les pepins de raisin, le petit millet, l'orge, l'orobanche, le platane; le nerprun, au degré extrême; l'espèce de *chicorée*, que quelques-uns appellent *picris* ou plus spécialement *chicorée* (l'urosperme), et le duriou jaune; mais c'est aussi une espèce de *chicorée*.

21. MÉDICAMENTS REFROIDISSANT AU SECOND DEGRÉ :

1 L'acacia lavé, le plantain ainsi que son fruit, la blite, la noix de galle verte, la courge, l'abricot, le sumac, le concombre mûr, la morelle cultivée, refroidissent au second degré; les feuilles de la *morelle-coqueret*

Ch. 20; l. 7. ὀροϐάκχη Codd. — 9. δὲ εἶδος Codd. — Ch. 21; l. 11. Ἀρμενικῆς Gal. — 12. τρύχνον Gal. — Ib. τούτων Codd.

καὶ τὰ φύλλα τοῦ σΊρύχνου τοῦ ἁλικακκάβου· ὑακίνθου ῥίζα πληρουμένης· φακὸς ὁ ἐπὶ τῶν τελμάτων, φῦκος χλωρὸν ἔτι καὶ ὑγρὸν ἐξαιρούμενον τῆς θαλάτΊης, ψυλλίου τὸ σπέρμα.

κβ'. Ὅσα ψύχει τῆς τρίτης ἀποσΊάσεως.

Ἀείζωα ἀμφότερα, ἀνδράχνη αὐτή τε καὶ ὁ χυλὸς αὐτῆς, μανδραγόρας, κιτρίου τὸ περὶ τὸ σπέρμα ὀξύ· πολύγονον ἀρχομένης· ποταμογείτων ὁμοίως· σΊρύχνου τοῦ θαμνώδους τοῦ ὑπνωτικοῦ τῆς ῥίζης ὁ φλοιός, ὑοσκύαμος ὁ καὶ τὸ ἄνθος καὶ τὸ σπέρμα λευκὸν ἔχων, ὑπήκοον. Τῆς δὲ τετάρτης τάξεως ψύχει ὀπὸς μήκωνος. 1 2

κγ'. Ὅσα ξηραίνειν φησὶν ἄνευ τοῦ προσθεῖναι τὴν ἀπόσΊασιν.

Ἄγνου τὰ φύλλα καὶ τὸ σπέρμα ἧτΊον τοῦ πηγάνου· ἀγρώσΊεως ἡ ῥίζα μετρίως· τῆς ἐν Παρνασσῷ ἀγρώσΊεως τὸ σπέρμα, ἀδίαν- 1

produisent un effet analogue; la racine de jacinthe, au degré extrême; la lentille des marais, les algues qu'on ôte encore toutes vertes et humides de la mer, la graine de pulicaire.

22. MÉDICAMENTS REFROIDISSANT AU TROISIÈME DEGRÉ :

Les deux espèces de joubarbe, le pourpier et son suc, la *mandragore*, 1
la partie aigre du citron qui entoure la graine; la renouée, au degré faible; le potamot, au même degré; l'écorce de la racine de la *morelle* frutescente et somnifère, l'espèce de jusquiame dont la graine et la fleur sont blanches, le cumin cornu. Le suc de pavot refroidit au quatrième 2
degré.

23. MÉDICAMENTS DONT GALIEN A DIT QU'ILS DESSÈCHENT, SANS AJOUTER À QUEL DEGRÉ :

Les feuilles et la graine de gattilier, moins que la rue; la racine de 1
chiendent, modérément; la graine de *chiendent* du Parnasse, le capillaire;

1-2. συμπληρ. Gal. — 3. θαλάσσης C. — Ch. 22; l. 6. τὸ θαμνῶδες Codd. — 7. ὁ om. A. — 8. ἔχων om. V. — 8-9. Après μήκωνος V a la glose Σημειωτέον ὅτι οὐδὲν ἄλλο εἶπεν εἶναι τῆς δ' τάξεως τῶν ψυχόντων. — Ch. 23; l. 11. συμμέτρως Gal. — Ib. Παρνασῷ V.

τον· ἀείζωα ἀμφότερα μετρίως· αἰγείρου τὰ ἄνθη καὶ ἡ ῥητίνη μετρίως· τὰ ἄλλα δὲ αὐτῆς ἀσθενέσΊερα· ἀκάνθου, ἤτοι μελαμφύλλου, ἢ παιδέρωτος ἡ ῥίζα, ἀκάνθης λευκῆς ἡ ῥίζα, ἄκανθα ΑἰγυπΊία, ἀκτῆ ἥ τε δενδρώδης καὶ ἡ χαμαιάκτη ἡ βοτανώδης, ἄλυσσον, ἀμάραντος, καὶ ῥευμάτων ξηραντικὴ πινομένη· ἀμπέλου λευκῆς τῆς καὶ βρυωνίας, ἡ ῥίζα· τῆς γὰρ μελαίνης βρυωνίας ἡ ῥίζα ἀσθενεσΊέρα· ἀναγύρου τὰ ξηρὰ φύλλα ἰσχυρῶς· ἀνδροσαίμου, τῆς τε ἀσκύρου· ὑπερικοῦ δὲ εἶδος· καὶ τῆς διονυσιάδος καλουμένης τὰ φύλλα· ἀνδρόσακες· ἀνθύλλιοι ἀμφότεραι μετρίως· ἀπαρίνη μετρίως· ἄπιοι καταπλασσόμεναι μετρίως· μᾶλλον δὲ ἀχράδες· ἀρισΊολοχίαι πάνυ· μᾶλλον δὲ ἡ σΊρογγύλη· ἄρκτια ἀμφότερα, ἀσπάραγος μυακάνθινος, ἀσπάλαθος, ἀσΊραγάλου ἡ ῥίζα, ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον καυθείσης ἡ τέφρα· ἀτρακτυλὶς ἢ κνῆκος ἄγριος

les deux espèces de joubarbe, modérément; les fleurs et la résine du peuplier noir, modérément, mais les autres parties sont plus faibles; la racine de branche-ursine, qu'on appelle aussi *feuille noire* ou *pédéros;* la racine du cnicus ferox, l'onoporde d'Arabie, le sureau arborescent et le sureau bas, qui ressemble à une herbe (hièble), l'*alyssum,* le bouton d'or, qui dessèche aussi les fluxions, quand on le prend en boisson; la racine de la *vigne blanche,* qu'on appelle aussi bryone, car celle de la bryone *noire* est plus faible; les feuilles desséchées de bois puant, fortement; les feuilles des deux espèces d'*androsæmum,* aussi bien de celle qu'on nomme *ascyrum,* et qui est une espèce de millepertuis, que de celle qu'on appelle *dionysiade,* l'acétabule; les deux espèces d'*anthyllius,* modérément; le gratteron, modérément; les poires, appliquées sous forme de cataplasme, modérément; mais les poires sauvages, à un degré plus prononcé; les diverses espèces d'aristoloche, fortement, mais la *ronde,* plus que les autres; les deux espèces d'*arctium,* l'asperge, le genêt anthoclade, la racine d'orobe, la racine d'asphodèle, et plus encore sa cendre; le carthame laineux ou carthame sauvage, modérément; le jarseau, plus que les lentilles; les fleurs

1. ἐπ' ὀλίγον Gal. — Ib. καὶ ῥητ. A. — 2. φύλλα Gal. — 3. ἀκάνθου λευκῆς Gal.; om. V. — Ib. ἡ ῥίζα om. V. — 4. βοτανωδεσΊέρα Gal. — 4-5. ἀμάραντον AV. — 6. ἡ ῥίζα ante ἀσθ. om. AC. — 7. ξηρανθέντα Gal. — 10. καταπλασσόμεναι ad Eun.; καταπλασσόμενοι ACV Gal. — 10-11. ἀρισΊολόχεια ACV.

μετρίως· ἀφάκη μᾶλλον φακῆς· βαλαύστιον πάνυ· τῶν βάτων ὁ ἄωρος καρπός· ξηρανθεὶς δὲ μᾶλλον· ὁμοίως καὶ τὸ ἄνθος· βατραχίου ἡ ῥίζα καὶ ἡ σύμπασα πόα σφοδρῶς· βολβὸς ἐπιπλασσόμενος· γάλιον, γλυκυσίδης τῆς καὶ πεντορόβου καὶ παιωνίας, ἡ ῥίζα· δάφνης τὰ φύλλα σφοδρῶς, καὶ μᾶλλον ὁ καρπός· ἧττον δὲ ὁ φλοιὸς τῆς ῥίζης· δρυὸς ἅπαντα τὰ μόρια, καὶ μᾶλλον φηγοῦ καὶ πρίνου, καὶ δὴ καὶ τὰ φύλλα τὰ μὲν τούτων τῶν φυτῶν ἁπαλὰ καταπλασσόμενα ξηραίνειν οὐκ ἀγεννῶς πέφυκεν· τὰ δὲ τῆς ἑτέρας δρυὸς ἧττον· ἔλαιον δάφνινον, καὶ μᾶλλον τὸ δᾴδινον· ἔλυμος ἡ καὶ μελίνη, καταπλασσομένη· ἐχίνου τῆς πόας ὁ καρπός· ἠρύγγιον ἱκανῶς· ἰσάτις ἀγρία μᾶλλον τῆς ἡμέρου· ἰτέας τοῦ φλοιοῦ ἡ τέφρα ἰσχυρῶς· καννάβεως ὁ καρπὸς, κάρδαμον· καυκαλὶς ὡς δαῦκος· κερατωνία, ὥσπερ καὶ ὁ καρπὸς αὐτῆς τὰ κεράτια, κόμμι, κονία· ξηραντικωτάτη καὶ ῥυπτικωτάτη πασῶν ἐστιν ἥ τε ἐκ τῆς συκίνης τέφρας, καὶ τῆς τῶν

de grenadier sauvage, fortement; le fruit vert de la ronce, surtout quand il est desséché; il en est de même de la fleur; la racine de renoncule et toute cette herbe, fortement; l'ognon de vaccet appliqué sous forme de cataplasme; le gaillet, la racine de pivoine, qu'on appelle aussi *glycyside* ou *pentorobe;* les feuilles de laurier, fortement, et plus encore les fruits; l'écorce de la racine, au contraire, à un degré plus faible; toutes les parties du chêne, et surtout celles du vélani et de l'yeuse; en effet, les jeunes feuilles de ces arbres, appliquées sous forme de cataplasme, dessèchent à un degré assez prononcé, tandis que celles de l'autre chêne le font moins; l'huile de laurier, et plus encore l'*huile de torche;* le grand millet, qu'on appelle aussi *méline,* appliqué sous forme de cataplasme; la graine de l'herbe dite *échinos;* le panicaut, fortement; la guède sauvage, plus que la guède cultivée; les cendres d'écorce de saule, fortement; la graine de chanvre, le cresson d'Alep; la petite boucage, au même degré que le *daucus;* le caroubier, de même que ses fruits, les caroubes; la gomme, la lessive; mais la lessive la plus fortement desséchante et détersive est celle des cendres de figuiers et celle des cendres des tithymalles; celles-là ont

1. πάνυ] οὐκ ἀγεννῶς Gal. — Ib. βάτου (om. τῶν) Gal. — 3. ἐπιπασσόμενος C. — 9. ἔλυμος καὶ μελίνη AV. — 9-10. ἐπιπλασσόμενος Gal. — 10. ἐχίου Codd. — 12. καρδάμωμον Aët. — 13. καὶ om. C.

τιθυμάλλων, καὶ σχεδὸν ἤδη τῆς καυστικῆς δυνάμεως· κρανίας ὁ καρπὸς καὶ τὰ φύλλα καὶ οἱ βλαστοὶ ἰσχυρῶς· κράμβη ἐσθιομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη· οἱ δὲ καυλοὶ καυθέντες αὐτῆς ἰσχυρῶς ξηραίνουσαν ποιοῦσι τέφραν, ὡς ἤδη τι καὶ καυστικῆς μετέχειν δυνάμεως· κράμβη ἀγρία ἰσχυρότερον τῆς ἡμέρου· κρῆθμον, κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα λειούμενα, κροκοδειλίου τὸ σπέρμα καὶ ἡ ῥίζα, κυνοκράμβη, λαγώπους, λειχὴν ὁ ἐπὶ τῶν πετρῶν· λεπίδιον ἔλασσον καρδάμου· λιγνὺς πᾶσα· λωτὸς ἡ τρίφυλλον μετρίως· λωτὸς τὸ δένδρον· μαράθρου ἀγρίου τὸ σπέρμα καὶ ἡ ῥίζα μᾶλλον τοῦ ἡμέρου·
2 καλεῖται δὲ διὰ τὸ μέγεθος ἱππομάραθρον. Τούτου μὲν οὖν οὐχ ἡ ῥίζα μόνον, ἀλλὰ πολὺ μᾶλλον τὸ σπέρμα κάχρυϊ παραπλήσιόν ἐστιν· ἕτερον δέ ἐστιν ἱππομάραθρον, οὗ τὸ σπέρμα στρογγύλον τέ ἐστι καὶ δριμὺ τῷ τοῦ κοριάννου παραπλήσιον, ὅμοιον μὲν τῇ
3 δυνάμει τῷ τοῦ ἱππομαράθρου, ἀσθενέστερον δέ. Μυριόφυλλον, ναρ-

presque des propriétés caustiques; les fruits du cornouiller, ainsi que ses feuilles et ses jeunes pousses, fortement; le chou, soit qu'on le mange, ou qu'on l'applique à l'extérieur; mais les troncs de chou brûlés donnent une cendre si fortement desséchante, qu'elle est déjà, à un certain degré, douée de propriétés caustiques; le chou sauvage dessèche plus fortement que le chou cultivé; le fenouil de mer, les feuilles et la racine de lis triturées, la racine et la graine du chardon à épines vertes, le cynanque droit, le trèfle des champs, le lichen qui croît sur les rochers; le cresson alénois, moins que le cresson d'Alep; toute espèce de suie; la trigonelle élancée, modérément; le micocoulier; la graine et la racine du *fenouil sauvage*, plus que celle du fenouil cultivé; on appelle la première plante
2 *fenouil de cheval*, à cause de sa grandeur. Non-seulement la racine de cette plante, mais bien plus encore sa graine, ressemblent à celles de l'amarinte; mais il y a encore une autre espèce de *fenouil de cheval*, dont la graine est ronde et âcre et ressemble à celle de la coriandre; pour les propriétés, elle ressemble à celle de l'autre *fenouil de cheval*, mais elle est
3 plus faible. Le volant d'eau, la racine de narcisse, l'astragalus poterium,

1. τῆς καλουμένης σηπτικῆς δυν. Gal. Gal. — 8. καρδάμου om. ACV. — Ib.
— 4. τι καυστ. AC. — 7. λαγώπουν τό] δέ C.

νέον καὶ ὁ σlύραξ καὶ ἡ χαλβάνη καὶ τὸ βδέλλιον τὸ Σκυθικὸν, ὅ δὴ

3 évacuante devra l'être davantage. Comme il y a une assez grande lati-
tude, par rapport au plus et au moins, dans les parties endurcies par le
squirre, les médicaments qui doivent les guérir présenteront nécessai-
rement aussi une grande variété : ainsi, par exemple, la graisse de chèvre
fait quelquefois du bien aux parties *squirreuses*, ainsi que celle de poule;
mais ces moyens sont assez faibles et ramollissent les endurcissements
moyens; la graisse d'oie est plus forte que celle de poule, et celle de bouc,
4 plus que celle de chèvre. La graisse de taureau est forte aussi, mais
5 moins que celle de bouc. La graisse de lion, de léopard, d'hyène et d'oie,
favorisent plus la perspiration que les précédentes, mais elles ne sont
6 pas plus ramollissantes. La moelle de cerf ramollit aussi fortement, et
7 après elle celle de veau. La moelle des os est meilleure que celle de l'é-
8 pine du dos, qu'on appelle moelle épinière. Les médicaments suivants
appartiennent au même genre que ceux dont nous venons de parler,
mais ils sont plus forts : la gomme ammoniaque, surtout quand elle est
grasse et fraîche, le styrax, le galbanum, le bdellium de Scythie, qui est

2. οὕτως om. Gal. — 6-7. ἰσχ. μέντοι τῶν Gal. — 7. ἀλεκτ. τε καὶ ἀλεκτρυόνων Gal. — Ib. χοίρειον Aët. — 8. Ἰσχυρότερόν τε καί Gal. — 9. δύναμιν om. ACV. — 12. Βελτίων] σκληρότερός τε καὶ αὐχμηρότερος Gal. — 13. τοῦ αὐτοῦ V. — Ib. τοῦ *ad Eun.*; om. ACV Gal. — 14. μάλισlα Gal.

καὶ μελάντερόν ἐστι καὶ ῥητινωδέστερον· τὸ γὰρ ἕτερον τὸ Ἀραβικὸν,
ὃ δὴ διαυγέστερόν ἐστιν, ἐπὶ μᾶλλον ξηραίνει τῶν μαλακτικῶν. Ὅσον 9
μὲν οὖν ἐστι νέον αὐτοῦ καὶ ὑγρὸν καὶ κοπτόμενον μαλάσσεται ῥᾳδίως,
ἐπιτήδειον εἰς ὅσα περ καὶ τὸ Σκυθικόν· ὅσον δὲ παλαιότερόν τέ ἐστι
καὶ πικρὸν ἱκανῶς καὶ δριμὺ καὶ ξηρὸν, ἐκπέπτωκε τῆς τῶν μαλατ-
τόντων συμμετρίας. Καλλίω δὲ καὶ τῶν ἄλλων ἁπάντων εἰς τὸ μα- 10
λάττειν τὰ νέα· παλαιούμενα γὰρ ἰσχυρότερον ξηραίνει. Τοῦτο μέν 11
γε καὶ μυελὸς καὶ στέαρ ἔχουσιν· παλαιούμενα γὰρ καὶ ταῦτα δρι-
μύτερα σφῶν αὐτῶν γίνεται καὶ ξηρότερα, καθάπερ τὸ χοίρειον στέαρ.
Οὐ χρὴ δὲ ἔχειν ἁλῶν οὔτε τοῦτο, οὔτε τἄλλα ὅσα μαλάττει· ξηραί- 12
νουσι γὰρ σφοδρῶς οἱ ἅλες. Καὶ μὲν δὴ καὶ τὸ Σικυώνιον ἔλαιον ἐκ 13
τοῦ γένους ἐστὶ τούτων καὶ τὸ ἀπὸ τοῦ κρίνου καὶ τὸ ὑοσκυάμινον
καὶ τὸ ἐκ τῆς ἐλαίας τὸ γλυκύτατον ἐκ δρυπεποῦς μάλιστα τοῦ καρποῦ
γινόμενον, ἀνθεμὶς ἡ καὶ χαμαίμηλον ὀνομαζομένη, καὶ ἀλθαίας ῥίζα

plus noir et plus résineux, car l'autre espèce, le bdellium d'Arabie, qui
est plus transparent, dessèche trop fortement pour appartenir aux ramol-
lissants. Tout bdellium donc, qui est frais et humide, et qui se ramollit 9
facilement quand on le pile, se prête aux mêmes usages que le bdellium
de Scythie; mais celui qui est plus vieux et qui montre une amertume,
une âcreté et une sécheresse fortement prononcées, a dépassé la moyenne
requise pour les médicaments ramollissants. Pour tous les autres ingré- 10
dients, ceux qui sont frais sont préférables aussi, lorsqu'il s'agit de ra-
mollir : car, quand ils vieillissent, ils dessèchent plus fortement. Ceci s'ap- 11
plique tout aussi bien à la graisse qu'à la moelle, car, en vieillissant, ces
substances deviennent plus âcres et plus sèches qu'elles ne l'étaient aupa-
ravant, par exemple la graisse de porc. Ni cette graisse, ni aucun autre 12
médicament ramollissant, ne doit contenir du sel; car le sel dessèche for-
tement. L'huile de Sicyone appartient aussi à cette classe de médicaments, 13
ainsi que l'huile de lis, l'huile de jusquiame, l'espèce la plus douce
d'huile d'olives, qu'on tire principalement des fruits mûris sur l'arbre,

1. γάρ] δέ Gal. — 2. δὴ καὶ διαυγ. Gal. — Ib. ἐπί om. Gal. — 3. μέν om. Gal. — Ib. νέον ἐστίν CV. — 5. ἐκπέπτ. τοῦτο ἤδη τήν Gal. — 6. συμμετρίαν Gal. — 9. τὸ στέαρ τὸ χοίρειον τὸ παλαιωθέν Gal. — 10. ταῦτα C. — 11. Καὶ μέντοι καί C. — 12. τούτου Gal. — 13. δρυπετοῦς A Gal. — 14. ἡ καί ad Eun.; τε καί ACV; ἤ Gal. — Ib. ὀνομαζομένη om. Gal.

καὶ ἀγρίου σικύου καθεψηθέντα ἐν ἐλαίῳ, ἢ ἐν ὕδατι, καὶ τῆς ἀγρίας
μαλάχης τὰ φύλλα, καὶ ὠμὰ καὶ ἑφθά· τῆς δὲ κηπευομένης ἀσθενέ-
στερα· ἡ δὲ ἀναδενδρομαλάχη ἀλθαία ἰσχυροτέρα· ὁ δὲ καρπὸς αὐ-
14 τῶν ἰσχυρότερος. Λιβανωτίδες αἱ τρεῖς, μαστίχη Χία· τερμινθίνη
μᾶλλον τῆς σχινίνης· κολοφωνία ἡ παραπλησία τῇ Χίᾳ μαστίχῃ·
ὁμοίως αὐτῇ καὶ ἡ Αἰγυπτία μαστίχη· ὀποπάναξ, ῥύπος ὁ ἀπὸ ἀν-
δριάντων, πάτος ὁ ἀπὸ παλαίστρας, γλοῖος ὁ ἀπὸ λουτρῶν, καὶ τὸ
βούτυρον, σμύρνα Βοιωτικὴ, ὑπογλώσσου ἡ ῥίζα καὶ ὁ χυλός.

λθ'. Περὶ τῶν σκληρυνόντων καὶ χαλώντων.

1 Ἡ μὲν δὴ τῶν μαλαττόντων δύναμις αὐτάρκως μοι δεδήλωται·
2 περὶ δὲ τῶν σκληρυνόντων ἐφεξῆς δίειμι. Χρὴ τοίνυν εἶναι ταῦτα
ψυχρὰ καὶ ὑγρὰ, καθάπερ ἀείζωόν τέ ἐστι καὶ ἀνδράχνη καὶ ψύλλιον
ὅ τε ἐπὶ τῶν τελμάτων φακὸς καὶ τὸ στρύχνον· ἢ τοῦτο μὲν οὐδὲ

la camomille qu'on appelle aussi *anthemis*, la racine de guimauve et celle
de concombre sauvage, cuites fortement dans de l'huile ou de l'eau, les
feuilles de mauve *sauvage*, soit crues, soit cuites, mais celles de la mauve
14 *cultivée* sont plus faibles; la *guimauve* arborescente, au contraire, est plus
forte, et le fruit de ces plantes est plus fort aussi. Les trois espèces d'*ar-
marinte*, le mastic de Chios; la racine du térébenthinier, plus que celle
du lentisque; l'espèce de colophane qui ressemble au mastic de Chios,
et, au même degré qu'elle, le mastic d'Égypte; l'opopanax, la crasse des
statues, celle des palestres et celle des baignoires, le beurre, le suc de
racine de maceron, la racine et le suc de double-langue.

39. DES MÉDICAMENTS ENDURCISSANTS ET RELÂCHANTS.

1 Je viens d'exposer suffisamment les propriétés des médicaments ra-
2 mollissants; je vais maintenant parler des endurcissants. Ces médica-
ments doivent être froids et humides comme la joubarbe, le pourpier,
la pulicaire, la lentille des marais et la morelle; ou plutôt ce dernier mé-

1. σικ. ῥίζα ACV; σικύου καὶ ἄλλα ἄττα φυτά Gal. — Ib. ἢ ὕδατι C. — 2-3. ἡ δὲ κηπευομένη ἀσθενεστέρα Gal. — 3. δενδρομαλάχη καλουμένη Gal. — Ib. ἰσχυροτέρα] διαφορικωτάτη Gal. — 3-4. αὐτῆς (sc. τῆς κηπευομένης) Gal. — 5. ἡ om. C. — 7. γλοῖος ἀπό ACV. — 8. ἱππογλώσσου CV. — Ch. 39; l. 9. μέντοι τῶν C. — 12. φακὸς ἢ τό Gal.

ὑγρόν ἐστι τὴν κρᾶσιν, ἀλλὰ μέσον ὑγραίνοντος ἁπλῶς καὶ ξηραίνοντος. Εἰ μὲν δή τι ψύχει καὶ ξηραίνει, σκληρύνει μὲν καὶ τοῦτο 3 *πάντως, ἀλλὰ οὐκ ἔστι τῶν ἰδίως σκληρυντικῶν· πήξει γὰρ μᾶλλον ἢ κενώσει τὸ σκληρὸν γίνεται σῶμα· εἴ τι δὲ ἐκ τοῦ τὴν σύμφυτον ὑγρότητα μὴ κατέχειν ἐσκληρύνθη, ξηρὸν μᾶλλον τοῦτο προσαγορεύομεν ἢ σκληρὸν, καὶ ἡ ἴασις αὐτοῦ δίανσίς τε καὶ ὕγρανσίς ἐστιν, οὐ μάλαξις, ὥσπερ γε καὶ τοῦ συντεταμένου μὲν ἡ ἴασις χάλασίς ἐστι, τοῦ κεχαλασμένου δὲ σύντασις. Ταῦτα δὲ ὁρᾶται σαφῶς κἀπὶ* 4 *τοῦ δέρματος μὲν, οὕτω δὲ κἀπὶ τῶν ἄρθρων πολλάκις. Ἡ μὲν οὖν* 5 *χάλασις ὑγρανθέντων ἀμέτρως τῶν ἀμφὶ αὐτὰ συνδέσμων καὶ τενόντων ἀποτελεῖται· ἡ δὲ σύντασις οὐκέτι ἁπλῶς, ἀλλὰ ἤτοι ξηραινομένων ἐπὶ πλέον, ἢ ψυχομένων, ἢ φλεγμαινόντων, ἢ σκιῤῥουμένων· κατὰ ἄρθρα μὲν οὕτως· ἐπὶ δὲ τοῦ δέρματος οὐχ οὕτω μόνον, ἀλλὰ καὶ τῶν ἐντὸς αὐτοῦ μυῶν κατὰ ὁντινοῦν τρόπον εἰς ὄγκον*

dicament n'est pas d'un tempérament humide, mais il tient le milieu entre ceux qui humectent simplement et ceux qui dessèchent. Si donc 3 une substance refroidit et dessèche, elle endurcit nécessairement aussi; mais, néanmoins, elle n'appartient pas aux médicaments endurcissants proprement dits, car c'est plutôt la coagulation que l'évacuation qui rend les corps durs, et, si une substance s'est endurcie, parce qu'elle n'a pas su retenir son humidité propre, nous l'appelons plutôt sèche que dure; aussi le moyen de remédier à cet état consiste dans l'imbibition et l'humectation, non dans le ramollissement; de même celui de remédier à la tension consiste dans le relâchement, et celui de remédier au relâchement dans la tension. Cela se voit manifestement pour la peau, 4 et souvent aussi pour les articulations. Leur relâchement a lieu, lorsque 5 les ligaments et les tendons qui les environnent sont humectés outre mesure, tandis que leur tension ne se fait plus d'une manière unique, mais soit par un desséchement exagéré, soit par refroidissement, soit par inflammation, soit par le *squirre;* voilà ce qui en est des articulations; pour la peau, au contraire, l'endurcissement ne se fait pas seulement suivant les modes énumérés, mais aussi quand les muscles, qui se trouvent à son intérieur, se tuméfient d'une façon quelconque; du

1. *ἁπλῶς* om. V. — 12. *ἐπὶ πλέον ἢ ψυχ.* om. ACV. — 14. *ἐκτός* ACV.

αὐξανομένων, ὥσπερ γε καὶ διὰ πολυσαρκίαν τισὶν ἐκτείνεται πολ-
6 *λάκις. Ἀλλὰ κἀν ταῖς φλεγμοναῖς ταὐτὸ τοῦτο πάσχει· διόπερ οὐδὲ*
ἁπλῶς ἕν τι τῶν χαλαστικῶν ἔστιν εἶδος, ἀλλὰ τὰ μὲν ὑγραίνοντα
χαλᾷ, τὰ δὲ θερμαίνοντα, τὰ δὲ μαλάττοντα, τὰ δὲ κενοῦντα, τὰ δὲ
τοὺς παρὰ φύσιν ὄγκους καθαιροῦντα, τὰ δέ τινα τούτων ἐργαζόμενα.
7 *Ἐπεὶ δὲ οὖν πολυειδῶς ἕκαστον γίνεται σκληρότερον, ἢ ξηραινό-*
μενον, ἢ πηγνύμενον, ἢ ὑπερπληρούμενον ὡς διατετάσθαι σφοδρῶς,
ἢ κατὰ συζυγίαν τινὰ πάσχον ταῦτα, καὶ τὸ μαλάττεσθαι κατὰ ἕκα-
8 *στον ἴδιον αὐτῶν ἔσται· διελώμεθα οὖν ὑπὲρ ἁπάντων ἑξῆς. Τὸ μὲν*
οὖν ὑπὸ ξηρότητος σκληρυνθὲν ὑγρανθῆναι δεῖται, τὸ δὲ ὑπὸ πήξεως
θερμανθῆναι, τὸ δὲ ὑπὸ πληρώσεως κενωθῆναι, τὸ δὲ ὑπὸ ξηρό-
τητος ἅμα καὶ πήξεως ὑγρανθῆναί τε καὶ θερμανθῆναι, τὸ δὲ ὑπὸ
9 *πήξεως ἅμα καὶ πληρώσεως θερμανθῆναί τε καὶ κενωθῆναι. Ξη-*

reste, la peau se tend souvent aussi d'une manière analogue par suite
6 d'embonpoint. Dans les inflammations, la même chose lui arrive encore :
pour ces raisons il n'existe pas seulement un genre unique de médica-
ments relâchants, mais il y en a qui relâchent par humectation, d'autres
par échauffement, d'autres par ramollissement, d'autres par évacuation,
d'autres encore en détruisant les tumeurs contre nature, d'autres enfin
7 en produisant quelques-uns de ces effets à la fois. Donc, puisque tout corps
peut s'endurcir de différentes manières, soit par desséchement, soit par
coagulation, soit par plénitude exagérée, qui lui fait subir une distension
très-prononcée, soit par la combinaison de quelques-uns de ces effets,
il y aura aussi, pour chacune de ces manières, une espèce spéciale de ra-
mollissement; parlons donc successivement de chacune de ces espèces.
8 Par conséquent un corps endurci par desséchement a besoin d'être hu-
mecté; celui qui l'est par coagulation doit être échauffé; celui qui l'est
par plénitude doit subir une évacuation; celui qui l'est à la fois par des-
séchement et par coagulation doit être humecté et échauffé; celui enfin
qui l'est à la fois par coagulation et par plénitude a besoin d'être soumis
9 à un échauffement et à une évacuation. Or les corps se dessèchent sans

1. *αὐξανόμενον* ACV. — Ib. *ὥστε καί* Gal. — 2. *κἂν τις ταὐτό* V. — 5. *καθαίροντα* Gal. — Ib. *τούτων κατὰ συζυγίαν ἐργ.* Gal. — 6-7. *ἢ ξηρότερον* V. — 8. *πάσχον κατ' αὐτά* Gal. — 12. *πήξεως*] *πληρώσεως* V.

ραίνεται μὲν οὖν ἄνευ πήξεως ἔν τε γυμνασίοις ἀμέτροις τὰ σώματα, καὶ ἡλίῳ σφοδρῷ, καὶ ἐνδείαις ἰσχυραῖς, καὶ πυρετῷ καυσώδει, καὶ φαρμάκοις τισὶν, ὅσα ξηραίνει μὴ ψύχοντα· πήγνυται δὲ ὑπὸ μόνης ψύξεως ἰσχυρᾶς, ὥσπερ καὶ πληροῦται διὰ ἐπιῤῥοὴν ὑγρότητος δαψιλοῦς· ξηραίνεται δὲ ἅμα καὶ πήγνυται, συνδραμόντων εἰς ταὐτὸ τῶν συνυπάρξαι δυναμένων αἰτίων, οἷον εἴ τις ὑπερπονήσειεν, ἢ ὑπερπεινήσειεν ἐν κρύει· οὕτω δὲ πληροῦται καὶ πήγνυται διὰ ῥεῦμα ψυχρὸν, ἤ τινα ψύξιν τοῦ μορίου. Κατὰ τοσούτους μὲν τρόπους σκληρύνεται τὰ σώματα· τὸ μέντοι μαλακτικὸν φάρμακον οὐκ ἐπὶ πάντας ἐοίκασι φέρειν τοὺς τρόπους, ἀλλὰ ἐξαιρέτως ἐπὶ τοὺς διὰ πῆξιν ἐσκληρυμμένους, ἔτι δὲ μᾶλλον εἰ καὶ περιεχομένη τις ὑγρότης ἐν αὐτοῖς εἴη παρὰ φύσιν, ὡς ἐπὶ τῶν σκιῤῥουμένων.

se coaguler par l'effet des exercices démesurés, d'un soleil très-vif, d'un défaut d'aliments prolongé, d'une fièvre ardente, ainsi que par l'action de certains médicaments qui dessèchent sans refroidir; ils se coagulent uniquement par l'effet d'un froid rigoureux, comme ils sont pris de pléthore par l'afflux d'une humidité abondante; ils se dessèchent et se coagulent à la fois par le concours de quelques-unes de ces causes, si elles sont susceptibles de se combiner; par exemple, si, pendant un froid rigoureux, on s'est livré à des exercices démesurés, ou si l'on a été en proie à une faim poignante; de même, ils passent à la fois à un état de plénitude et de coagulation par l'effet d'une fluxion froide, ou par le refroidissement d'une partie. Ce sont là les différentes manières dont les corps s'endurcissent; cependant on n'applique pas, à ce qu'il paraît, le nom de médication ramollissante à toutes ces manières d'agir, mais on l'emploie par exclusion pour [les médicaments qui doivent guérir] les parties endurcies par coagulation, surtout si elles contiennent, en outre, une humidité contre nature, comme cela a lieu dans le *squirre*.

5. ἐs ACV. — 6. αἰτιῶν AC. — 6-7. ἢ ὑπερπειν. om. Gal. — 8-9. σκληρ. τε καὶ μαλάτ7εται Gal. — 10. ἔοικε Gal.

μ'. Περὶ τῶν ἐμπλασΊικῶν.

Ὁποίαν ἄν σοι τὸ ἀποιότατον ὕδωρ αἴσθησιν γευομένῳ παράσχῃ, τοιαύτην ὅταν ἔν τινι τῶν ξηρῶν εὑρίσκῃς, ἔξω δηλονότι πάσης τὸ τοιοῦτο θερμότητός τε καὶ ψυχρότητος ἐπιφανοῦς ἐσΊι, μέσην, ὡς οἷόν τε μάλισΊα, κατάσΊασιν ἔχον, ἢ καὶ μικρόν τι ῥέπον ἐπὶ τὸ
2 ψυχρότερον. Ἀλλὰ εἴπερ οὕτως ἔχον ξηρόν ἐσΊι τὴν σύσΊασιν, ἀνάγκη γεῶδες ὑπάρχειν αὐτὸ καὶ ξηραίνειν ἀδήκτως ἐμπλάτΊεσθαί
3 τε δυσαπολύτως τοῖς κατὰ τὸ σῶμα πόροις. Τοιαῦτα δέ ἐσΊι τὰ πλεῖσΊα τῶν ἀκριβῶς πεπλυμένων, ἄμυλον καὶ πομφόλυξ καὶ ψιμύθιον καὶ τίτανος καὶ καδμεία καὶ γῆ Κρητικὴ καὶ κιμωλία καὶ χόνδρος καὶ Σάμιος ἀσΊὴρ καὶ τῶν κναφέων ἡ γῆ, γύψος, θέρμος ὁ ἤδη ἐσθιόμενος, καγκάνου ἡ ῥίζα, σΊροβίλων τὸ ἐδώδιμον ἐν ὕδατι
4 βραχέν. Τινὰ δὲ ἐξ αὐτῶν οὐ γεώδη μόνον, ἀλλὰ καὶ ὑδατώδη τὴν

40. DES MÉDICAMENTS EMPLASTIQUES.

1 Si vous observez qu'une substance sèche vous procure au goût la même sensation que l'eau complétement exempte de toute qualité, cette substance sera entièrement dépourvue de chaleur ou de froid manifestes, et se trouvera, autant que possible, dans une condition moyenne, ou
2 bien elle penchera légèrement vers le froid. Mais, lorsque, étant dans cet état, cette substance a, en outre, une structure sèche, elle sera nécessairement terreuse, desséchera sans irriter et s'insinuera dans les pores, de
3 manière à s'en détacher difficilement. De cette nature sont la plupart des substances lavées avec soin, comme l'amidon, les fleurs de zinc, la céruse, la chaux, la tutie, la terre de Crète, la cimolie, l'*alica,* la terre étoilée de Samos, la terre à foulon, le gypse, le lupin, quand il a déjà subi la préparation qui le rend propre à être mangé, la racine de *cancanum,*
4 la partie mangeable des pignons doux macérée dans l'eau. La nature de quelques-unes de ces substances n'est pas seulement terreuse,

Ch. 40; l. 1. ἄν om. A. — Ib. γευομ. om. Gal. — 5. ψυχρόν Gal. — Ib. ἐσΊί ex em.; ἐπί ACV; εἴη Gal. — 7. σῶμά τοῦ ἀνθρώπου Gal. — 8. ἄμυλον Aët.; ἄμυλος ACV Gal. — 12. βρεχθέν Gal. — Ib. καί om. C.

*φύσιν ἐστίν· ἔνια δὲ καὶ ἀέρος ἐν ἑαυτοῖς οὐκ ὀλίγον περιέχει· γλί-
σχρα μὴν πάντα, καὶ διὰ τοῦτο ἐμπλαστικά· διττὴ γὰρ ἡ τῶν ἐμ-
πλαστικῶν φαρμάκων ἐστὶ φύσις, ἡ μὲν ἑτέρα γεώδης ἀκριβῶς καὶ
ξηρά, ἡ δὲ ἑτέρα γλίσχρα μὲν πάντως, μικτὴ δὲ ἐξ ὕδατος καὶ γῆς,
καὶ τὰ πολλὰ καὶ ἀέρος, ὥσπερ καὶ τοὔλαιον τὸ γλυκὺ χωρὶς ἁλῶν
σκευασθέν.* Τὸ *δὲ τοῦ ᾠοῦ λευκὸν ἐκ τῶν αὐτῶν μέν πως μέμικται,* 5
γεωδέστερον δέ ἐστιν ἐλαίου. Καὶ *μὲν δὴ καὶ τὸ τυρῶδες τοῦ γά-* 6
λακτος ἐμπλαστικόν ἐστι, καὶ ὁ μαλακὸς καὶ νεοπαγὴς τυρός. Καὶ 7
*ἡ τοῦ ὑὸς πιμελή, καὶ ἄλλαι δὲ πιμελαὶ ὅσαι μηδέπω δριμύτητά τινα
ἔχουσιν, ἐμπλαστικαὶ τῶν πόρων εἰσί, καὶ μᾶλλον αἱ ξηρότεραί τε
καὶ γεωδέστεραι.* Τοιοῦτος *δέ ἐστι καὶ ὁ πεπλυμένος γλυκὺς κηρός·* 8
*ἐπιτήδειος δὲ εἰς τοῦτο ὁ ἐξ ὑδατωδεστέρου τε καὶ ἥκιστα δριμέος
μέλιτος· ὁ γὰρ πικρὸς ἐναργῶς ἀποκεχώρηκε τῶν ἐμπλαστικῶν.* Ἐμ- 9
πλαστικὴ δέ ἐστι καὶ ἡ κόλλα ἣν εἰς τὰ βιβλία σκευάζουσι, κόμμι,

mais aussi aqueuse; d'autres contiennent aussi beaucoup d'air dans leur intérieur, mais toutes sont visqueuses, et c'est pour cette raison qu'elles sont emplastiques : en effet, les médicaments emplastiques sont de deux natures différentes; les uns sont exactement terreux et secs, les autres sont nécessairement visqueux aussi, mais ils sont formés d'un mélange d'eau et de terre, et la plupart aussi d'air, comme l'huile douce préparée
sans sel. Le blanc d'œuf est en quelque sorte formé des mêmes éléments, 5
mais il est plus terreux que l'huile. La partie caséeuse du lait, ainsi que 6
le fromage mou et frais, sont également emplastiques. La graisse de 7
porc, ainsi que toutes les autres graisses dépourvues d'âcreté, bouchent aussi les pores, et elles le font d'autant plus, qu'elles sont plus sèches et
plus terreuses. La cire douce lavée est encore du même genre; mais, 8
pour qu'elle se prête à cet usage, il faut prendre celle qui appartient plutôt à du miel aqueux et complétement dépourvu d'âcreté; car la cire amère s'éloigne manifestement [par ses propriétés] des substances em-
plastiques. Les médicaments suivants sont également doués de propriétés 9
emplastiques : la colle qu'on fait pour les livres, la gomme, la graine

1. *ἀέρα* Gal. — 1-2. *γλίσχρα μέντοι ταῦτα πάντα* Gal. — 2. *διπλῆ* ACV. — 5. *τοὔλαιον*] *τοῦ λέοντος τὸ στέαρ* C. — 8. *νεαλής* Gal. — 9. *ἡ* om. ACV. — 11. *γλυκύς* om. Gal. — 12. *τοῦτο ἐξ* Codd.

μυάγρου τὸ σπέρμα· σίραιον πάνυ· πυρὸς, σήσαμον καὶ τὸ ἀπὸ αὐτοῦ ἔλαιον καὶ τὸ ἀφέψημα τῆς πόας, πάτος ὁ ἀπὸ παλαίσΊρας, σαρκοκόλλα, τραγάκανθα. Τὰ μὲν οὖν ἐμπλασΊικὰ φάρμακα τοιαῦτά τινά ἐσΊι, μεταξὺ τῶν τε ἀποκρουομένων καὶ ῥυπΊόντων ὑπάρχοντα.

μα'. Περὶ τῶν καθαιρόντων φαρμάκων.

1 Καθάπερ δὲ ἐπὶ τῶν χυμῶν εἴπομεν, ὡς σχεδὸν αὐτῶν οὐδεὶς ἄμικτός ἐσΊιν ἀλλοτρίας ποιότητος, οὕτω χρὴ νομίζειν κἂν τοῖς
2 φαρμάκοις ἀναμεμίχθαι πολλῶν ἑτερογενῶν οὐσίας. Δέδεικται δὲ καὶ τὰς ὁλκὰς οἰκειότητι τῶν ἐν ταῖς οὐσίαις ποιοτήτων συντελεῖσθαι· διὸ καὶ τὰ καθαίροντα φάρμακα τοῖς μὲν ἑλκομένοις χυμοῖς ὑπάρχειν ἀναγκαῖον οἰκεῖα, δρασΊικώτερα δέ πως εἶναι, καθάπερ καὶ ἡ μαγνῆτις λίθος τοῦ σιδήρου· σιδηρίζει μὲν γὰρ καὶ αὐτὴ καὶ δεινῶς αὐτῷ προσέοικε τὴν ἰδέαν, ἀλλὰ ἰσχυροτέρα πώς ἐσΊιν, ὡς

de neslie paniculée; le vin doux cuit à un degré très-prononcé; le froment, le sésame, ainsi que l'huile qu'on en tire, et la décoction de cette herbe, la crasse des palestres, la sarcocolle, la gomme adragant. Voilà quels sont les médicaments emplastiques, lesquels tiennent le milieu entre les répercussifs et les détersifs.

41. DES MÉDICAMENTS PURGATIFS.

1 Nous avons déjà remarqué (chap. IX), à propos des saveurs, que presque aucune d'elles n'est exempte du mélange de qualités étrangères : il faut admettre que les médicaments sont également mélangés à la subs-
2 tance d'un grand nombre de matières étrangères. Nous avons montré, en outre, que l'attraction s'opère par suite de l'affinité des qualités propres aux substances; il est donc nécessaire aussi que les médicaments purgatifs aient de l'affinité avec les humeurs qu'ils attirent, mais qu'ils soient en quelque sorte plus forts qu'elles, comme le magnète est plus fort que le fer : en effet, cette pierre a de l'analogie avec le fer et présente des ressemblances frappantes avec lui sous le rapport de la forme, mais elle est en quelque sorte plus active, et, pour cette raison, elle attire

2. ὁ om. AC. — Ch. 41; l. 5. χυλῶν ποιότ. om. V. — Ib. νοῆσαι Gal. — ἔμπροσθεν εἴπομεν Gal. — 6. ἐσΊιν ἀλλ. 7. δέ om. C.

ἕλκειν μᾶλλον ἢ ἕλκεσθαι. Καὶ μὲν δὴ καὶ τὸ κνῆκος οὐκ ἀπελπι- 3
σΊέον εἶναι φλεγματῶδες, ὡς καὶ τῇ χρόᾳ διαδείκνυσιν, ἀλλὰ ὑπὸ
θερμότητος ἰσχυρότερον φλέγματος, ὡς ἕλκειν μᾶλλον ἢ ἕλκεσθαι.
Κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ Κνίδιος κόκκος, ἀλλὰ ἐάν ποτε 4
νικηθῇ πρὸς τοῦ σώματος ἡμῶν· συμβαίνει δὲ κνήκῳ μὲν συνεχῶς
τοῦτο, τῷ κόκκῳ δὲ οὐ πάνυ τι διὰ τὴν ἰσχύν· ἀντὶ τοῦ καθαίρειν
τροφὴ γίνεται, καθάπερ ἐλλέβορος ὀρτύγων ἀεί. Διὰ τοῦτο ἔνια τῶν 5
καθαρτικῶν φαρμάκων, ὅταν ἀποτύχῃ καθαίροντα, τὰ μὲν πρὸς τῷ
μηδὲν βλάπΊειν τὸ σῶμα καὶ τροφὴ γίνεται τοῦ ζώου, τὰ δὲ εἰς τὸ
φθαρτικόν τε καὶ δηλητήριον ἐκτρέπεται.

μβ'. Περὶ ὑπερκαθάρσεως.

Αἱ δὲ ὑπερκαθάρσεις συμβαίνουσιν, ἐπειδὰν ἱκανῶς κατισχύσαν 1
τὸ καθαρτικὸν φάρμακον ἐν τοῖς σΊόμασι τῶν εἰς τὴν γασΊέρα καθη-

plus fortement qu'elle n'est attirée. Il ne faut pas se refuser non plus à 3
admettre que le carthame est phlegmatique, comme, d'ailleurs, sa couleur nous le montre; mais, par l'effet de sa chaleur, il est plus fort que
le phlegme, et, pour cette raison, il tire plus qu'il n'est attiré. Il en est 4
de même pour les baies de Gnide; mais, si parfois l'un de ces médicaments est subjugué par notre économie (ce qui arrive habituellement au carthame, mais presque jamais aux baies de Gnide à cause de leur activité), il se change en aliment au lieu de purger, comme cela se fait
toujours pour l'ellébore chez les cailles. Pour cette raison, au cas où les 5
médicaments purgatifs échouent, quelques-uns non-seulement ne font aucun tort au corps, mais se changent en nourriture pour l'économie, tandis que d'autres se convertissent en substances pernicieuses et destructives.

42. DE LA SUPERPURGATION.

La superpurgation a lieu quand le médicament purgatif, étant doué 1
d'une très-grande vigueur, produit, dans les orifices des vaisseaux qui

1-3. Καὶ μὲν δὴ..... ἕλκεσθαι om. V. — 1. τὸν κνίκον Gal. — 2. φλεγματώδη Gal. — 5. νικηθείη ὑπό Gal.; ψιμυθῇ πρός C. — 6. τι om. ACV. — 7. ὁ ἐλλέβορος Gal. — Ib. ταῦτα C. — Ch. 42; l. 11. γίνονται Gal.

κόντων ἀγγείων δῆξίν τε ἅμα καὶ ἀνασΊόμωσιν ἐργάσηται πλέονα,
καὶ συνεχῶς ἐρεθίζον καὶ σπαράτΊον τὰ σώματα καταλύσῃ τὴν ἐν
2 τοῖς ἀγγείοις δύναμιν. Οὔσης δὲ κατὰ ἀρχὰς μὲν ἔτι καὶ τῆς ἀνα-
σΊομώσεως καὶ τῆς ἀῤῥωσΊίας μετρίας, τὸ λεπΊότατόν τε καὶ ἧτΊον
οἰκεῖον ἐκκρίνεται· ἐπὶ πλέον δὲ προηκόντων ἀμφοτέρων, ἤδη καὶ
3 τὰ οἰκειότατα κενοῦται. Διὰ τοῦτο οὖν ἡ μὲν ξανθὴ χολὴ πρώτη,
τὸ δὲ φλέγμα δεύτερον, μέλαινα δὲ τρίτη, κἀπὶ τούτοις ὕσΊατον
ἁπάντων ἐν ταῖς ὑπερκαθάρσεσιν ἐκκρίνεται τὸ αἷμα, τοῦτο μὲν ὡς
οἰκειότατος τῇ φύσει χυμὸς, ἔμπροσθεν δὲ αὐτοῦ πρῶτος μὲν ὁ
4 λεπΊότατος, ὕσΊατος δὲ ὁ παχύτατος. Φλέγματος μὲν οὖν ἀγωγὸν
εἰ δοίης φάρμακον, ἡ ξανθὴ μὲν πρώτη κατὰ τὰς ὑπερκαθάρσεις,
5 δευτέρα δὲ ἡ μέλαινα, τελευταῖον δὲ κενοῦται τὸ αἷμα. Χολῆς δὲ
ξανθῆς ἀγωγὸν εἴπερ εἴη τὸ φάρμακον, ἕψεται μὲν τὸ φλέγμα,
6 τρίτη δὲ ἡ μέλαινα, καὶ τέταρτον τὸ αἷμα. Καὶ μὲν δὴ καὶ εἰ με-
λαίνης χολῆς εἴη καθαρτικὸν, ἐκείνην μὲν πρώτην ἐκκενώσει, μετὰ

se rendent au canal intestinal, une déhiscence et des picotements trop
forts, et que, continuant à irriter et à tirailler les parties, il détruit
2 la force des vaisseaux. Comme, au début, la déhiscence et la faiblesse
sont encore modérées, l'excrétion se borne d'abord à l'humeur la
plus ténue et qui a le moins d'affinité avec l'économie; mais, quand
cette faiblesse et cette déhiscence font des progrès, celles qui ont le plus
3 d'affinité avec le corps sont aussi évacuées. Pour cette raison donc,
en cas de superpurgation, la bile jaune passe la première, le phlegme
vient ensuite, la bile noire arrive la troisième, et, après elles, se fait
l'évacuation de la dernière de toutes les humeurs, de celle qui a le
plus d'affinité avec l'économie, c'est-à-dire du sang, qui est précédé
d'abord de l'humeur la plus ténue et en dernier lieu de la plus épaisse.
4 Si donc on administre un médicament qui chasse la pituite, et s'il y a
superpurgation, la bile jaune est évacuée la première, la noire la se-
5 conde, et le sang en dernier lieu. S'il s'agit d'un médicament qui chasse
la bile jaune, la pituite viendra après, la bile noire en troisième lieu, et
6 le sang en quatrième. Enfin, s'il s'agit d'un médicament qui purge la
bile noire, le médicament évacuera d'abord cette humeur-là, après elle

5-6. καὶ τὰ παχέα καὶ τὰ οἰκ. Gal. — 8. μέν om. C. — 13. ἀγαγόν A; om. CV. — Ib. φάρμακον ἀγωγόν V. — 14. κἂν εἰ AV; κἂν ὁ C.

αὐτὴν δὲ τὴν ξανθὴν, εἶτα οὕτω τὸ φλέγμα, καὶ πάντων ὕσΊατον ἀκολουθήσει τὸ αἷμα, καθάπερ ἐξ ἀψύχων ἤδη τῶν ἀγγείων ἐκρέον· ὅταν γὰρ τὰ μὲν ἀγγεῖα μηκέτι κατέχειν ἐν ἑαυτοῖς δύνηται τοὺς ἄλλους χυμοὺς διὰ τὴν ἀσθένειαν, ἀναπεπΊαμένα δὲ αὐτῶν ᾖ τὰ σΊόματα, μένῃ δὲ ἐρεθίζον τὸ φάρμακον, ἕλκειν δὲ μηκέτι ἔχῃ τὸν οἰκεῖον χυμὸν, ἀνάγκη πᾶσα, τοὺς ἄλλους ἐκκρίνεσθαι κατὰ τὴν εἰρημένην τάξιν.

μγ'. Περὶ τῆς καθαρτικῆς δυνάμεως.

Ἡ δὲ καθαρτικὴ δύναμις δύο σημαίνει, τὸ μέν τι κοινὸν ἐπὶ πᾶσι 1
τοῖς ὁπωσοῦν ἐκκαθαίρουσι τὰ τοῦ ζῴου περιτΊώματα, τὸ δέ τι κατὰ ἐξοχὴν ἐπὶ τοῖς διὰ ἐμέτων, ἢ γασΊρὸς ὑπαγωγῆς. ἜσΊι δὲ 2
ὁμογενὴς ταῖς τοιαύταις καθάρσεσιν ἥ τε διὰ ῥινῶν καὶ σΊόματος γινομένη διά τε τῶν ἐῤῥίνων καὶ ἀνακογχυλιασμῶν καὶ μασημάτων,

la bile jaune, ensuite le phlegme, qui sera suivi de la dernière de toutes, c'est-à-dire du sang, lequel s'écoulera déjà comme s'il s'échappait de vaisseaux inanimés : en effet, quand les vaisseaux, pour cause de faiblesse, ne peuvent plus retenir dans leur intérieur les autres humeurs, quand leurs bouches restent béantes, quand le médicament continue à irriter, mais qu'il ne trouve plus à attirer l'humeur avec laquelle il a de l'affinité, il est de toute nécessité que les autres humeurs soient évacuées dans l'ordre que nous venons de déterminer.

43. DE LA FACULTÉ ÉVACUANTE.

L'expression *faculté évacuante* a deux significations, dont l'une est 1
commune et s'applique à tous les médicaments qui évacuent d'une manière quelconque les superfluités de l'économie, tandis que l'autre est exclusivement applicable aux évacuations qui se font par les vomissements ou les selles. Au même genre que ces purgations appartient celle 2
qui se fait par le nez et par la bouche à l'aide des errhins, des gargarismes et des masticatoires, que nous désignons par le nom commun de

1. ταύτην V Gal. — 2. αἰτείων AC; αἰτίων V. — Ib. ἐκρέων Codd. — 3. μέν om. C. — Ib. κατασχεῖν C Gal. — Ib. ἐν om. ACV. — Ch. 43; l. 8. τοι V. — 9. δ' ἔτι V. — 11. ὑμογενής (sic) A. — 12. μασσημ. C.

ἅπερ ἑνὶ περιλαμβάνοντες ὀνόματι προσαγορεύουσιν ἀποφλεγματίζοντα, καὶ τὰς δυνάμεις δὲ αὐτῶν ἀποφλεγματικὰς ὀνομάζουσιν.
3 Ὁμογενῆ δὲ τούτοις ἐστὶ καὶ ὅσα ταῖς μήτραις προστιθέμενα καθαίρει· ἅπαντα γὰρ ὅσα κατέλεξα δύναμιν ἑλκτικὴν ἔχει, τὰ μὲν ἑνός τινος χυμοῦ, τὰ δὲ δυεῖν, ἢ καὶ πλειόνων, καὶ τοῦτο αὐτοῖς κοινὸν, ὡς ὅσα γε τῷ λεπτύνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς οὖρα κινεῖν πέφυκεν, ἢ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσιν ἀρήγει, ἐκκαθαίρει μέν πως καὶ αὐτὰ, καλεῖται δὲ οὐχ ὁμοίως τοῖς προειρημένοις, ἀλλὰ τὰ μὲν οὐρητικὰ καὶ βηχικὰ, τὰ δὲ ἐμμήνων ἀγωγὰ, διαλλάττοντα τῶν προειρημένων, ὅτι δύναμιν ἑλκτι-
4 κὴν οἰκείων χυμῶν οὐκ ἔχει, καθάπερ ἐκεῖνα. Δεῖται δὲ οὖν κἀν τούτοις ὁ λόγος ἑτέρου διορισμοῦ τοιούτου· τὰ μὲν ἐν πεσσοῖς, ἢ πυρίᾳ, ἢ τινι τοιουτοτρόπῳ, ταῖς μήτραις προστιθέμενα κατὰ διττὴν

médicaments apophlegmatisants, tandis que nous appelons *apophlegma-*
3 *tiques* les propriétés dont ils sont doués. Les médicaments qui purgent, lorsqu'on les applique contre l'utérus, sont encore du même genre; car tous les médicaments que je viens d'énumérer sont doués d'une faculté attractive, les uns pour une seule humeur, d'autres pour deux, ou pour plusieurs : c'est là ce qu'ils ont de commun; les médicaments, au contraire, qui, parce qu'ils atténuent les humeurs épaisses et visqueuses, sont de nature à pousser aux urines, ou à faciliter l'expulsion des crachats de la poitrine et du poumon, purgent bien aussi en quelque sorte, seulement ils ne sont pas désignés par le même nom que ceux dont nous avons parlé d'abord; mais on appelle les uns *diurétiques* et *béchiques* et les autres *emménagogues;* ils diffèrent des médicaments mentionnés d'abord en ce qu'ils n'ont pas comme eux une propriété qui leur fait atti-
4 rer les humeurs avec lesquelles ils ont de l'affinité. Cependant, sous ce rapport, je suis obligé de faire encore la distinction suivante dans mon discours : les médicaments qu'on applique contre l'utérus sous forme de pessaires, de fomentation, ou de quelque autre manière analogue, agissent en vertu de deux causes : les uns appellent uniquement les humeurs,

2. τούτων V. — 5. δυοῖν V Gal. — 8. ἀρήγειν Gal. — 9. καὶ βηχικά om. ACV. — 11. Δεῖται γοῦν V. — 12. ἐν om. C. — 13. τοιούτῳ τρόπῳ Codd., Gal.

αἰτίαν ἐνεργεῖ, τὰ μὲν τῷ θερμαίνειν μόνῳ προκαλούμενα, τὰ δὲ ταῖς ὀνομαζομέναις ἑλκτικαῖς τε καὶ καθαρτικαῖς δυνάμεσιν, ἃς ἐπεδείξαμεν οἰκειότητι τῶν ἑλκομένων τὰς κενώσεις ἐργάζεσθαι· ὅσα δὲ πίνεται τῷ λεπτύνειν μὲν τὸ αἷμα, τοὺς πόρους δὲ ἐκφράττειν τε καὶ ἀναστομοῦν, οὐ μὴν ἑλκτικῇ γέ τινι δυνάμει τὰς κενώσεις ποιεῖται. Τὰ μὲν δὴ πρότερα τοῖς καθαίρουσίν ἐστιν ὁμογενῆ, τὰ 5
δὲ δεύτερα τοῖς γάλα καὶ σπέρμα γεννῶσιν, ὑπὲρ ὧν ὀλίγον ὕστερον εἰρήσεται, διελθόντων ἡμῶν πρότερον περὶ τῶν βηχικῶν.

μδ'. Περὶ τῶν βηχικῶν δυνάμεων.

Διττῶς ὠνόμασται βηχικὰ φάρμακα, τὰ μὲν τῷ ποιεῖν βῆχα, 1
τὰ δὲ τῷ παύειν· δύναμις δὲ αὐτῶν ἐναντιωτάτη· τὰ μὲν γὰρ τῆς λεπτυντικῆς φύσεώς ἐστι, τὰ δὲ τῆς παχυντικῆς. Ἡ μὲν οὖν λεπτυν- 2

parce qu'ils échauffent, tandis que d'autres agissent à l'aide de ce qu'on appelle forces attractives, ou purgatives, forces qui, ainsi que nous l'avons montré, opèrent l'évacuation par leur affinité avec les matières qu'ils attirent; les médicaments, au contraire, qu'on prend en boisson, ne produisent pas l'évacuation par quelque force attractive, mais en atténuant le sang, en désobstruant et en ouvrant les pores. Les premiers 5
sont donc du même genre que les médicaments purgatifs [proprement dits], tandis que les seconds sont de l'espèce de ceux qui produisent du lait ou du sperme, médicaments dont nous parlerons un peu plus bas (chap. LXIII et LXVI), après avoir traité d'abord des béchiques.

44. DES MÉDICAMENTS BÉCHIQUES.

Il y a deux espèces de médicaments qu'on appelle béchiques : les uns 1
parce qu'ils produisent de la toux; les autres parce qu'ils la font cesser; les propriétés de ces médicaments sont complétement opposées entre elles, car la nature des premiers est atténuante, et celle des autres incrassante. Or les propriétés atténuantes se rencontrent dans les substances 2

1. μόνων V; μόνον Gal. — 2-3. δείξαμεν C. — 7. ὀλίγον ὕστερον om. ACV. — 8. εἰρήκαμεν ACV. — Ib. διελθόντων ἡμῶν om. ACV. — Ib. περὶ τῶν βηχικῶν om. ACV. — Ch. 44; l. 9. βῆχας Gal. — 10. παύειν μόνον Gal. — Ib. δυνάμεις AC Gal. — Ib. ἐναντιώταται Gal.

Matth. 344.
τικὴ δύναμις ἐν θερμαῖς καὶ λεπΊομερέσιν οὐσίαις, ἡ παχυντικὴ δὲ ἐν ψυχραῖς καὶ παχυμερέσιν ἐγγίνεται· τούτων δὲ ἔμπροσθεν ἡ ὕλη κατηρίθμηται.

με'. Περὶ τῶν ὑγρασίαν ἑλκόντων διὰ σΊόματος καὶ ῥινῶν καὶ ὀφθαλμῶν. Ἐκ τῶν Ζωπύρου.

1 Ὑγρασίαν δὲ ἐπισπᾶται διὰ σΊόματος μασηθέντα καὶ διηΊηθέντα πύρεθρον, Ποντικὴ ῥίζα, πολίου, λαπάθου, καππάρεως, ἀλικακκάβου, χαμαιλέοντος, ἀφέψημα πιόνων σύκων, δᾳδὸς, μέλι γλυκὺ, μήκων, ἀψίνθιον, ὀρίγανον, ῥαφανὶς, σΊαφὶς ἄνευ γιγάρτων· ἡ ἑτέρα δὲ ὁμοίως· κάχρυ, νᾶπυ, λευκὸς ἐλλέβορος, ἐλατήριον, θύμον, ἅλες, ὀμφάκιον, ἄννησον, πέπερι, μίσυ, χαλκὸς κεκαυμένος, κόκκος Κνίδιος, χάλκανθος, χαμελαία, δαφνίδες, κεδρέα, θεῖον, ἐλελίσφακον, κιννάμωμον, ἀκάνθου καρπὸς, βαλσάμου, ἀνεμώνη, πάνακες,

chaudes et subtiles, et les propriétés incrassantes dans les substances froides et grossières : nous avons fait plus haut (chap. XXXIII et XXXIV) l'énumération de ces substances.

45. MÉDICAMENTS QUI ATTIRENT L'HUMIDITÉ PAR LA BOUCHE, LE NEZ ET LES YEUX. — TIRÉ DE ZOPYRE.

1 Les médicaments suivants, mâchés et tamisés, attirent de l'humidité par la bouche : la pariétaire d'Espagne, le rhapontic, la racine de *polium*, celle de la patience, du câprier, du coqueret, du *chamæléon*, une décoction de figues grasses, ou de bois résineux, du miel doux, le pavot, l'absinthe, l'origan, le raifort, le raisin sec sans pepins, et l'autre également, l'armarinte, la moutarde, l'ellébore blanc, le suc de concombre sauvage, le *thym*, le sel, le verjus, l'anis, le poivre, le sulfate de cuivre déliquescent, le cuivre brûlé, les baies de Gnide, le vitriol bleu, l'*olivier nain*, les baies de laurier, la résine de *cèdre*, le soufre, la sauge, la cannelle, le fruit de la branche-ursine, celui du baumier, l'ané-

2. ἐγγίνεται] οὐσίαις A. — 2-3. τούτων..... κατηρίθμ. om. Gal. — Ch. 45; l. 4. μασσηθ. CM. — 10. κεδρία M; item p. 554, l. 4. — 11. βάλσαμον M.

Matth. 344-345.
κάρδαμον, ἀμμωνιακὸν, σανδαράκη, τρὺξ ξηρὰ κεκαυμένη. — Διὰ δὲ
τῶν ῥινῶν ἄγει ἐλατήριον, πέπερι, σεύτλων ὁ χυλὸς, κυκλαμίνου 2
τοῦ φλοιοῦ τῆς | ῥίζης, μέλι γλυκὺ, θλάσπι, κόκκος Κνίδιος, ἀνα- 345
γαλλὶς, μύρον ἴρινον, ἀνεμώνη, βατράχιον, κεδρέα, χύλισμα καρύων
πικρῶν, ἐλλέβορος λευκὸς, στρούθιον, ὀμφάκιον, πράσιον, φύλλα
κισσοῦ τὰ ἁπαλά. Ἔνια δὲ τούτων καὶ πταρμὸν εἴωθε κινεῖν. — Ἀπὸ 3-4
δὲ τῶν ὀφθαλμῶν ὑγρασίαν ἄγει μέλι, οἴσυπος, παλαιὸν ἔλαιον,
ἀναγαλλὶς, τό τε λεγόμενον ἁλῶν λίπος ὃ τινες ἁλὸς ἄχνην καλοῦσι,
δάφνινον χρίσμα, νάρδος, κασία, κιννάμωμον, κόστος, ὀπὸς μή-
κωνος, σαγαπηνοῦ ὀπὸς, φύλλου χυλὸς, δαύκου, σελίνου, ῥοιῶν,
τῶν ἀμυγδάλων, πρασίου, ἐλλεβόρου λευκοῦ, τῆς Ποντικῆς ῥίζης,
ἀνεμώνης, πηγάνου, καὶ μᾶλλον ἀγρίου, καστόριον, λίθος αἱματίτης,
χάλκανθος, ἄνθος χαλκοῦ, στέαρ χήνειον, χαλκὸς κεκαυμένος, χολὴ,
σμύρνα, χαλκῖτις Αἰγυπτία, θεῖον ἄπυρον, στυπτηρία σχιστὴ, ση-

mone, l'opopanax, le cresson d'Alep, la gomme ammoniaque, le réalgar,
les cendres de lie de vin desséchée. — Les médicaments suivants ex- 2
pulsent par le nez : le suc de concombre sauvage, le poivre, le suc de la bette, celui de l'écorce de la racine du pain de cochon, le miel doux, le tabouret, les baies de Gnide, le mouron, l'huile aromatisée d'iris, l'anémone, la renoncule, la résine de *cèdre,* une émulsion de noix amères, l'ellébore blanc, la saponaire, le verjus, la marrube, les feuilles tendres
de lierre. Quelques-uns de ces médicaments produisent ordinairement 3
aussi des éternuments. — Les médicaments suivants expulsent l'humi- 4
dité des yeux : le miel, le suint de laine, l'huile vieillie, le mouron, le médicament qu'on appelle graisse de sel et quelques-uns écume de sel, l'huile de baies de laurier, l'épi de nard, la fausse cannelle, la cannelle, le costus, le suc de pavot, la gomme sagapène, le suc de mercuriale vivace, celui de daucus, de céleri, de grenades, d'amandes, de marrube, d'ellébore blanc, de rhapontic, d'anémone, de rue, et surtout celui de la rue sauvage, le castoréum, la pierre hématite, le vitriol bleu, les fleurs de cuivre, la graisse d'oie, le cuivre brûlé, la bile, la myrrhe, le cuivre pyriteux d'Égypte, le soufre brut, l'alun plumacé, les cendres d'os

1. Διά] Ici C a en titre Περὶ τῶν διὰ ῥινῶν. — 7. οἴσυπος conj.; ὕσυπος ACV; ὕσσωπος M. — 8. ἁλοσάχνην MV. — 11. πρασίου conj.; πρασίων M; πρασείων C; πράσειον AV. — 12. ἀνεμώνη AV *Syn.*

Matth. 345-346.
πιας ὄσʼ̓ρακον κεκαυμένον, μίσυ, οὖρον, φλοιὸς λιβάνου, σκίλλη, τὸ λεγόμενον ὀθόννα καθεψηθεῖσα, ἀμμωνιακὸν, νυκτικόρακος ἐγκέφαλος, ἰχὼρ ἥπατος τραγείου, δάκρυον ἰτέας, ὀμφάκιον, λεπὶς σʼ̓ομώματος. — Τῶν δὲ ὠτικῶν προκλητικὰς δυνάμεις ἔχειν δοκεῖ μέλι, πέπερι, γλυκὺς, λιβανωτὶς ἡ κάρπιμος, μετώπιον, καρύων ἔλαιον, οὖρον βοὸς, χολὴ ταύρου, λινόζωσʼ̓ις, σεύτλου χυλὸς, καππάρεως τῶν ῥιζῶν, ἀγρίου πηγάνου, κόκκου Κνιδίου, τῆς ἐρινεοῦ ὁ ὀπὸς,
346 βδέλλιον, | κασία, χαλβάνη, λευκὸς ἐλλέβορος, ἕρπυλλος, ὀμφάκιον.

μϛʹ. Περὶ τῶν ἐκφρακτικῶν καὶ ῥυπʼ̓ικῶν καὶ λεπʼ̓υντικῶν.
Ἐκ τῶν Γαληνοῦ.

1 Τὸ δὲ ἐναντίον τῷ ἐμπλασʼ̓ικῷ λέγοιτο μὲν ἂν ἐκκαθαρτικὸν, ἢ ἐκφρακτικὸν τῶν πόρων, ὥσπερ γε αὐτὸ τὸ ἐμπλασʼ̓ικὸν οὐκ ἐμ-

de sèche, le sulfate de cuivre déliquescent, l'urine, l'écorce d'encens, la scille, le médicament qu'on appelle othonna fortement cuit, la gomme ammoniaque, le cerveau de hibou, le sérum de foie de bouc, le suc gommeux du saule, le verjus, la battiture d'acier. — Les médicaments suivants semblent avoir la propriété d'attirer les humeurs des oreilles : le miel, le poivre, le vin d'un goût sucré, l'espèce d'armarinte qui porte des fruits, le métopium, l'huile de noix, l'urine de bœuf, la bile de taureau, la mercuriale, le suc de bette, celui des racines du câprier, de la rue sauvage, des baies de Gnide, le suc qui exsude du figuier sauvage, le bdellium, la fausse cannelle, le galbanum, l'ellébore blanc, le serpolet, le verjus.

46. DES MÉDICAMENTS DÉSOBSTRUANTS, DÉTERSIFS ET ATTÉNUANTS. —
TIRÉ DE GALIEN.

1 A un médicament qui est le contraire des emplastiques, on pourra donner le nom de dépuratif ou de désobstruant pour les pores, de même qu'on donne non-seulement le nom d'emplastiques, mais aussi celui

1, σκίλλη Syn.; σκίλλης Codd. — 2. ὀθόννα conj. Matth.; ὀθόνη Codd. — 4. Τῶν δέ] Ici C a en titre Περὶ τῶν ἐξ ὤτων. — Ch. 46; l. 10. τό om. ACV. — 10-p. 556, 1. ἐμφρ. μόνον ἀλλὰ καὶ ἐμπλ. ACV; A 1ª m. om. μόνον.

πλαστικὸν μόνον, ἀλλὰ καὶ ἐμφρακτικόν· εἴη δὲ ἄν, ὥσπερ τοῖς ἔργοις ἐναντίον, οὕτω καὶ τῇ φύσει τοῦ σώματος, οὔτε γλίσχρον, οὔτε ἄδηκτον, ἀλλὰ νιτρῶδές τε καὶ λεπτομερές. Ἐν τῷ μᾶλλον δὲ 2
καὶ ἧττον ἀλλήλων διαφέρει τῷ γένει τῆς οὐσίας οὐ διαφέροντα τά τε ἐμπλαστικὰ τῶν ῥύπον ἐπιτρεφόντων, τά τε τῶν πόρων ἀνακαθαρτικὰ τῶν ῥυπτικῶν· ὅσα μὲν γὰρ τὸν ἐπιπολῆς ἀφαιρεῖ ῥύπον, εἴτε οὖν ἑλκῶν, εἴτε καὶ τοῦ δέρματος αὐτοῦ, ῥυπτικὰ προσαγορεύεται, τὰ δὲ καὶ τοὺς πόρους ἐκκαθαίροντα λεπτομερέστερά τε τούτων ἐστὶ καὶ τοῖς ἐμπλαστικοῖς ἐναντία, καὶ διὰ τοῦτο ἐκφρακτικά τε καὶ καθαρτικὰ τῶν πόρων ὀνομάζεται· ἔστι δὲ ταῦτα νιτρώδη καὶ
πικρά. Κατὰ μὲν δὴ τοῦ δέρματος ἔξωθεν ἐπιτιθέμενα τὴν νιτρώδη 3
ποιότητα μόνον ἀκριβῆ κεκτῆσθαι δεῖται πρὸς τὸ δύνασθαι δρᾷν ἅπερ εἴρηται· εἴσω δὲ τοῦ σώματος λαμβανόμενα, κἂν εἰ στύψεώς τι μετέχει, δύναιτο ἂν εἶναι καὶ οὕτως ἔτι καθαρτικά τε καὶ διαρ-

d'obstruants, aux emplastiques eux-mêmes : ces médicaments désobstruants seront donc le contraire des emplastiques, aussi bien sous le rapport de leur action que sous celui de la nature de leur substance, et ils ne seront ni visqueux, ni dépourvus de propriétés irritantes, mais
nitreux et subtils. Les médicaments emplastiques et ceux qui produisent 2
de la crasse, ainsi que les médicaments qui nettoient les pores et ceux qui détergent, ne présentent entre eux qu'une différence graduelle sans différer, eu égard au genre de leur substance : en effet, on appelle détersifs les médicaments qui enlèvent la crasse de la surface soit des plaies, soit de la peau elle-même, tandis que ceux qui nettoient les pores sont plus subtils que les premiers, étant le contraire des emplastiques : pour cette raison on les nomme désobstruants et dépuratifs pour les pores et
ils sont nitreux et amers. Pour que ces médicaments produisent l'effet 3
dont nous venons de parler, quand on les applique à l'extérieur sur la peau, ils ont uniquement besoin d'être doués de propriétés exactement nitreuses; mais, quand on les prend à l'intérieur, ils peuvent encore rester des dépuratifs et des détersifs pour les conduits amples, comme

3-4. ἐν γὰρ δὴ τῷ μᾶλλόν τε καί Gal. — 7. ἤτε οὖν AV; μέν C. — Ib. ἤ τε C. — 11. Κατὰ μέντοι τοῦ C; καὶ κατὰ μὲν τοῦ Gal. — 12. δεῖ A 2ª m. CV; δέ A. — 14. δύναται εἶναι C. — 14-p. 557, 1. τε καὶ διαῤῥ. om. A.

ῥυπτικὰ τῶν μειζόνων πόρων, οἷοί περ κἀν τοῖς σπλάγχνοις εἰσίν· ἔξωθεν μὲν γὰρ ἡ μικρότης τῶν πόρων ὑπὸ τῆς στύψεως τυφλοῦσθαι φθάνουσα πρὶν ἐκκαθαρθῆναι καλῶς, οὔτε παραδέχεται τοὐντεῦθεν ἔτι τὴν ῥυπτικὴν οὐσίαν εἰς τὸ βάθος, οὔτε ἐκκαθαίρεται· τὰ δὲ κατὰ τὰ σπλάγχνα μεγίστους ἔχοντα πόρους ἐν ἑαυτοῖς εἰς ῥώμην τῶν ἀγγείων ὠφελεῖται πλέον ἢ εἰς τὴν τῶν στομάτων μικρότητα
4 βλάπτεται. Καὶ διὰ τοῦτο ἔνδοθεν μὲν ἀψίνθιον διακαθαίρειν πέφυκεν, ἔξωθεν δὲ οὔ, σύνθετον ὑπάρχον ἐκ στρυφνῆς καὶ πικρᾶς
5 δυνάμεως. Ὅσα οὖν ἂν εὑρίσκῃς νιτρώδη καὶ πικρὰ, ταῦτα ἐκκαθαίρειν ἴσθι δυνάμενα τοὺς πόρους πάντας, ῥύπον δὲ ἑλκῶν, ἢ καὶ τοῦ δέρματος οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ μετριώτερα ταῖς δυνάμεσιν ἀφαιρεῖν πέφυκεν, οἷά πέρ ἐστι τὰ λεπτομερῆ γλυκέα, καθάπερ τὸ μέλι· ὅσα μὲν γὰρ ἐκφράττει καὶ ῥύπτει, ὅσα δὲ ῥύπτει

le sont ceux des viscères, même quand ils sont pourvus d'une certaine astringence : en effet, à l'extérieur, les pores, à cause de leur étroitesse, s'oblitèrent par l'effet de l'astringence avant d'avoir été convenablement nettoyés; ils n'admettent plus dorénavant, dans leur profondeur, les substances détersives et ne sont pas nettoyés : les viscères, au contraire, qui contiennent de larges conduits, profitent plus, sous le rapport de la vigueur des vaisseaux, qu'ils ne sont endommagés eu égard à la pe-
4 titesse de leurs embouchures. Pour cette raison, l'absinthe, qui est un composé de propriétés fortement astringentes et de propriétés amères, est capable de nettoyer, comme médicament intérieur, mais pas comme
5 médicament extérieur. Tous les médicaments, sachez-le bien, où vous découvrirez des propriétés nitreuses et amères, peuvent nettoyer tous les pores; mais, quand il s'agit d'enlever la crasse des plaies, ou de la peau, on peut recourir non-seulement à ces médicaments-là, mais aussi à ceux qui sont doués de propriétés plus modérées, comme les médicaments subtils d'un goût sucré, tels que le miel : en effet, tout médicament qui désobstrue est nécessairement détersif aussi; mais tout détersif n'est

1. ἀγγείοις Gal. — 2. ἀπό C. — 3. οὐδέ ACV. — 4. ἔτι om. C. — Ib. οὐδέ C. — Ib. καθαίρ. ACV. — 6. σωμάτων Codd., Gal. — 7. μέν om. ACV. — 9. οὖν ἀνευρίσκεται ACV. — 13. ῥύπτει τοσάδε ACV.

οὐ πάντως ἐκφράττει. Ἐκφράττει μὲν οὖν καὶ διακαθαίρει τοὺς πό- 6
ρους ταυτί.

μζ'. Ὅσα ἐστὶν ἐκφρακτικὰ καὶ διακαθαρτικά.

Ἀναγύρου τὰ φύλλα ξηρὰ καὶ ὁ τῆς ῥίζης αὐτοῦ φλοιὸς, ἀγα- 1
ρικὸν, ἀκαλήφης τὸ σπέρμα, ἀμάραντον, ἀμύγδαλα πικρὰ καὶ τὸ δένδρον αὐτὸ, ἀμπελόπρασον, ἀδίαντον, ἄρου αἱ ῥίζαι, ἀκάνθου, ἤτοι μελαμφύλλου, ἢ παιδέρωτος ῥίζα, γλήχων, δρακόντιον, δαῦκος ὁ καὶ σταφυλῖνος, καὶ μᾶλλον ὁ ἄγριος· γεντιανῆς ἡ ῥίζα πάνυ· ἑλενίου ἡ ῥίζα, ἐρυσίμου σπέρμα, ἐρέβινθοι, ἐρέβινθος ἄγριος· εὐπατόριος ἡ πόα ἄνευ θερμότητος ἐπιφανοῦς· θύμος, ἰσχάδων αἱ λιπαραὶ, ἰσόπυρον, καλαμίνθη· καρδάμου τὸ σπέρμα καὶ τὰ φύλλα ἰσχυρῶς· κασία, κοκκυμηλέας κόμμι, κέστρον, κροκοδειλίου ῥίζα, κυκλάμινος, λευκακάνθου ἡ ῥίζα, λιβανωτίδες αἱ τρεῖς, μελάνθιον,

pas nécessairement désobstruant. Les médicaments suivants sont ceux 6
qui désobstruent et nettoient les pores.

47. MÉDICAMENTS DÉSOBSTRUANTS ET DÉPURATIFS.

Les feuilles desséchées de bois puant et l'écorce de la racine de cette 1
plante, l'agaric, la graine d'ortie, le bouton d'or, les amandes amères et l'amandier lui-même, le *poireau des vignes*, le capillaire, les racines de gouet, la racine de branche-ursine, *feuille-noire* ou *péderos*, le pouliot, la serpentaire, le *daucus*, qu'on appelle aussi carotte, et surtout la carotte sauvage; la racine de gentiane, fortement; la racine d'aunée, la graine d'*erysimum*, les pois chiches, le pois chiche sauvage; l'herbe dite eupatoire sans chaleur manifeste; le *thym*, les figues sèches grasses, la fumeterre vrillée, la *calaminthe;* les feuilles et la graine du cresson d'Alep, fortement; la fausse cannelle, la gomme de prunier, la bétoine, la racine du chardon à épines vertes, le pain de cochon, la racine de centaurée de Dalmatie, les trois espèces d'*armarinte*, la nielle, la graine de liseron

1. Ἐκφράττει om. Codd. — 2-3. πόρους ex em.; ῥύπους Codd. — Ch. 47; l. 5. ἄρου ἡ ῥίζα C. — 7. ἡ om. AC. — 9. θύμα AC 1ª m. V. — 10. ῥυπαρώτεραι Gal. — 12. λευκάκανθος AC. — Ib. αἱ τρεῖς] ἅπασαι Gal.

μηδίου τὸ σπέρμα, μήκων κερατῖτις, μυῤῥίδος ἡ ῥίζα, ὀνωνίδος ὁ φλοιὸς, ὀξυακάνθου ὁ καρπὸς, περικλυμένου ὁ καρπὸς καὶ τὰ φύλλα, πήγανον, πευκεδάνου ὀπὸς καὶ ῥίζα, πτέρεως ῥίζα καὶ θηλυπτέρεως, σικυὸς πέπων, σπονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα, κύπρου τὰ φύλλα καὶ οἱ ἀκρέμονες, στοιχὰς, τεύκριον, χαμαίδρυς, χαμαίπιτυς, χαμαικίσσου τὸ ἄνθος, ὅσα τε ἄλλα, καθάπερ εἴρηται, κρατοῦσαν ἐν ἑαυτοῖς ἔχει τὴν πικρὰν ποιότητα· καὶ γὰρ τὸ νίτρον αὐτὸ καὶ τὸ ἀφρόνιτρον ὅ τε ἀφρὸς τοῦ νίτρου καὶ ἁλὸς ἄχνη καὶ ἅλες ὅ τε ἐξ Αἰθιοπίας λίθος καὶ τὸ σέριφον καὶ τὸ ἀβρότονον ὅσα τε ἄλλα τοιαῦτα σὺν ἐδέσμασί τε καὶ πόμασι λαμβανόμενα, τῆς αὐτῆς ἐστι
2 δυνάμεως. Εὐθὺς δὲ τούτοις ὑπάρχει πᾶσι καὶ λεπτυντικοῖς εἶναι παχέων τε καὶ γλίσχρων χυμῶν, ὥσπερ τοῖς ἐμπλαστικοῖς ἅπασι παχεῖς καὶ γλίσχρους ἐργάζεσθαι τοὺς κατὰ τὸ σῶμα χυμοὺς, ὥστε οὐδὲ τῶν ἐκ θώρακός τε καὶ πνεύμονος ἤτοι φλεγμάτων γλίσχρων,

à feuille d'althée, le pavot cornu, la racine du cerfeuil anisé, l'écorce de bugrane, le fruit du buisson ardent, le fruit et les feuilles de chèvrefeuille, la rue, le suc et la racine de fenouil de porc, la racine de fougère mâle et celle de fougère impériale, le concombre mûr, le fruit et la racine de la berce, les feuilles et les sommités d'alcanna, la lavande à toupet, le pouliot jaune, la germandrée lucide, l'ivette, la fleur du muflier faux-asaret, et toutes les autres substances, dans lesquelles prédominent, comme nous l'avons dit, les propriétés amères : en effet, la soude brute elle-même, l'*aphronitron* et l'écume de soude, ainsi que l'écume de sel, le sel lui-même, la pierre d'Éthiopie, l'armoise maritime, l'aurone et tous les autres ingrédients analogues qu'on prend avec les
2 aliments solides ou les boissons, ont les mêmes propriétés. Toutes ces substances ont nécessairement aussi la propriété d'atténuer les humeurs épaisses et visqueuses, comme les médicaments emplastiques ont celle de rendre épaisses et visqueuses les humeurs du corps; on ne pourra donc pas trouver d'autres médicaments qui surpassent les premiers, quand il s'agit d'exercer une action incisive et atténuante sur la pituite

1. μηδείου ACV. — 2. περικλ. ὁ καρπός om. V. — 4-5. κύπρου....... ἀκρέμονες ante πτέρεως (l. 3) V. — 7. καὶ γὰρ καί Gal. — Ib. αὐτὸ καθ' ἑαυτό Gal. — 13-14. ὡς τούσδε ACV. — 14. φλεγματωδῶν ἢ γλ. Gal.

ἢ πύου τμητικώτερά τε καὶ λεπτυντικώτερα καὶ πρὸς τὴν ἀναγωγὴν
ἐπιτηδειότερα δύναιο ἂν εὑρεῖν ἕτερα πρὸ τούτων φάρμακα. Τοῖς 3
δὲ αὐτοῖς τούτοις καὶ τὰς κατὰ ἧπαρ ἐμφράξεις ἐκκαθαίρειν ὑπάρχει,
καὶ τὰς κατὰ σπλῆνα τὰς μετρίας· αἱ δὲ ἰσχυρότεραι σφοδροτέρων
φαρμάκων προσδέονται, καππάρεως φλοιοῦ καὶ μυρίκης ῥιζῶν, σκο-
λοπενδρίου, σκίλλης καὶ τῆς ἀσπληνου πόας.

μη'. Ὅσα ῥύπτει.

Ῥύπτει δὲ καὶ ταῦτα μὲν, ὅσα τούς τε πόρους ἐκφράττει καὶ τέμνει 1
τοὺς παχεῖς χυμοὺς, καὶ τὰ νῦν δὲ λεχθησόμενα· αἰγεία κόπρος καυ-
θεῖσα καὶ ἄκαυστος, τῶν ὀστρακοδέρμων πάντων τὰ ὄστρακα, ση-
πίας ὄστρακα, ἐχίνων ἀμφοτέρων καυθέντων ἡ τέφρα, ὀρὸς γάλακτος,
μέλι· τὸ δὲ ἑψηθὲν ἔλαττον· ἄλυσσον, ἀμπέλου ἀγρίας οἱ βότρυες·
οἱ δὲ τῆς ἡμέρου ἔλασσον· ἀμπέλου λευκῆς, τῆς καὶ βρυωνίας ἡ ῥίζα·
τῆς δὲ μελαίνης ἀσθενεστέρα· ἀμύγδαλα ἐδώδιμα καὶ αὐτὸ τὸ δένδρον·

visqueuse ou le pus qui viennent de la poitrine et du poumon, ou qui
soient plus propres à faciliter leur expulsion. Ces mêmes médicaments 3
ont encore la propriété de dissiper les obstructions modérées du foie et
de la rate, car les obstructions plus prononcées de ces viscères exigent
des médicaments plus violents, comme l'écorce du câprier, les racines
de tamarisc, la scolopendre, la scille, et l'herbe appelée daurade.

48. MÉDICAMENTS DÉTERSIFS.

Les médicaments dont nous venons de parler, qui désobstruent les 1
pores et qui agissent comme incisifs sur les humeurs épaisses, appartiennent aux détersifs, et, de plus, ceux que nous allons énumérer maintenant : la fiente de chèvre, soit brûlée, soit non, les coquilles de tous les testacés, les os de sèche, la cendre des deux espèces de hérisson, le petit lait, le miel, mais le miel cuit à un moindre degré; l'*alyssum*, les raisins de la *vigne sauvage*, et ceux de la vigne cultivée, à un moindre degré, la racine de *vigne blanche*, qu'on appelle aussi bryone, mais celle de la *vigne noire* est plus faible; les amandes bonnes à manger et l'a-

2-3. τούτων..... ἐμ., om. A 1ª m. — 6. τε καὶ σκίλλης Gal.; ῥίζης ACV.

ἀναγαλλίδες ἱκανῶς ἀμφότεραι· ἀνδροσαίμου· ὑπερικοῦ δὲ εἶδος· τῆς καὶ διονυσιάδος τὰ φύλλα, ἀνεμῶναι, ἀνθύλλιοι ἀμφότεραι, ἀπαρίνη, ἀργεμώνη, ἀρισΊολόχεια μακρὰ, ἄρκτιον τὸ τῷ φλόμῳ ὅμοιον, ἀρνογλώσσου τὰ φύλλα, καὶ μᾶλλον τὰ ξηρὰ, ἄρον, ἀσπάραγος μυακάνθινος, ἀσΊαφὶς ἀγρία, ἀσφοδέλου ἡ ῥίζα, ἀτραφάξυος ὁ καρπὸς, ἀψινθίου χυλὸς, βολϐὸς ἐπιπλατΊόμενος, δαμασώνιον, διψάκου τῆς ἀκάνθης ἡ ῥίζα, ἔϐενος, ἐλλέϐορος ἑκάτερος, ἐλξίνη ἡ καὶ περδίκιον, ἰτέας ὀπός· καλάμου φραγμίτου ἡ ῥίζα σὺν τοῖς φύλλοις ἱκανῶς ἄνευ δριμύτητος, καὶ τὰ φύλλα αὐτοῦ μετρίως, καὶ ὁ φλοιὸς αὐτοῦ καυθεὶς μετρίως· κενταύριον τὸ μικρὸν καὶ ὁ χυλὸς αὐτοῦ, κίκεως ὁ καρπός· τὰ δὲ φύλλα ἔλατΊον· κράμϐη ἡ ἀγρία μᾶλλον τῆς ἡμέρου· κρῆθμον· κριθαὶ μετρίως· κρίνου τὰ φύλλα καὶ ἡ ῥίζα λειούμενα μετρίως· κυάμου ἡ σὰρξ μετρίως· λαμψάνη καταπλασσομένη μετρίως· λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, λευκοΐου πᾶς ὁ θάμνος

mandier lui-même; les deux espèces de mouron, fortement; les feuilles de l'espèce d'*androsæmum* qu'on appelle aussi *dionysiade* et qui est une espèce de mille-pertuis, les diverses espèces d'anémone, les deux espèces d'*anthyllios*, le gratteron, l'adonide d'automne, l'aristoloche *longue*, l'espèce d'*arctium* qui ressemble à la molène, les feuilles de plantain, surtout quand elles sont desséchées, le gouet, l'asperge proprement dite, la staphisaigre, la racine d'asphodèle, le fruit de l'arroche, le suc d'absinthe; l'ognon de vaccet, appliqué sous forme de cataplasme; le plantain d'eau, la racine de chardon à foulon, le bois d'ébène, les deux espèces d'ellébore, la pariétaire de Judée, le suc gommeux du saule; la racine du roseau à balai combinée avec les feuilles, fortement sans qu'elles soient âcres, mais les feuilles [seules], modérément, et les cendres de la gaîne de cette plante, modérément aussi; la petite centaurée, ainsi que le suc de cette plante, la graine de ricin, et les feuilles, à un moindre degré; le chou sauvage, plus que le chou cultivé; le fenouil de mer; l'orge, modérément; les feuilles et la racine de lis triturées, modérément; la partie intérieure de la fève, modérément; la moutarde blanchâtre, employée sous forme de cataplasme, modérément; le lichen qui

2. ἀνθυλλίδες Gal. — 3. τό om. AC. — 8. ὀπός] ὁ καρπός Aët. — Ib. καλάμου] πηγάνου C. — Ib. ἡ om. AC. — Ib. σὺν βολϐοῖς Gal. — 12. κριθή A. — 13. κυάμου..... μετρίως om. V. — 14. λιχήν C; ἀρχήν AV.

1. συλληφθέν' Gal. — 3. καί ante θερμ. om. ACV. — 4. καί om. V. — Ib. ἧς οὖν ἰούσης ACV. — 8. στρυφνήν AC; στρυφήν V. — Ib. δέ om. ACV. — 10. τοσοῦτο CV; τοσούτῳ Gal. — Ib. γενόμενον Gal.

τριβὲς καὶ ὀμφάκινον ὀνομαζόμενον εἰς ὅσον σΊύψεως μετείληφεν,
3 εἰς τοσοῦτον καὶ ψύξεως. Τὸ δὲ παλαιὸν τὸ μὲν ἐκ τοῦ γλυκέος πα-
λαιουμένου γινόμενον θερμότερον καὶ διαφορητικώτερόν ἐσΊι, τὸ
δὲ ἐξ ὠμοτριβοῦς, ἄχρι μὲν ἂν ἀποσώζῃ τι τῆς σΊύψεως, μικτῆς
ὑπάρχει δυνάμεως· ἐπειδὰν δὲ ἀποβάλῃ τελέως αὐτὴν, ὁμοιοῦται τῷ
4 ἄλλῳ. Τὸ γλυκὺ δὲ, εἰ φαίνοιτο λεπΊομερές· τοιοῦτο δέ ἐσΊι τό τε
καθαρὸν καὶ διαυγὲς, κἀπειδὰν ὀλίγον ἀλειφθὲν ἐπὶ πλεῖσΊον ἐκ-
τείνηται τοῦ σώματος, ἑαυτῷ μένον συνεχὲς, ἀναπίνηταί τε πρὸς
τοῦ χρωτός· ἡγεῖσθαι τοῦτο κάλλισΊόν τε καὶ ἐλαίου μάλισΊα κε-
5 κτημένον ἀρετὴν, οἷόν πέρ ἐσΊι τὸ Σαβῖνον. Τὸ δὲ πεπλυμένον
6 ἔλαιον ἀδηκτότατον. Τὰ δὲ ἄλλα τῶν ἐλαίων διαφέρει τὰς αὐτὰς
διαφορὰς ἅς περ καὶ οἱ καρποὶ, ἐξ ὧν ἐκθλιβομένων γίνεται· τὸ
μὲν γὰρ κίκινον λεπΊομερέσΊερόν τε καὶ διαφορητικώτερόν ἐσΊιν,

a des propriétés refroidissantes proportionnées à son degré d'astrin-
3 gence. L'huile vieille, si elle provient d'une huile douce qu'on a laissée
vieillir, est plus chaude et plus favorable à la perspiration [que l'huile
fraîche]; quant à celle qui provient de l'huile d'olives vertes, elle a,
aussi longtemps qu'elle conserve une partie de son astringence, des pro-
priétés mixtes; mais, quand elle a entièrement perdu cette qualité, elle
4 devient semblable à l'autre. Lorsque l'huile douce est subtile (or, une
huile est subtile, quand elle est pure et transparente, lorsque, étant em-
ployée en onction, une petite quantité suffit pour s'étendre sur une
grande partie de la surface du corps, en continuant à former un tout
continu, et lorsqu'elle est absorbée par la peau), il faut admettre que c'est
là la meilleure, et qui possède au plus haut degré les vertus propres de
5 l'huile; telle est, par exemple, l'huile du pays des Sabins. L'huile lavée
est complétement à l'abri de l'inconvénient de causer des picotements.
6 Les autres espèces d'huile présentent entre elles les mêmes différences
que les fruits dont on les exprime : en effet, l'huile de ricin est plus sub-
tile et plus favorable à la perspiration [que l'huile ordinaire], et elle res-

1. καί om. ACV. — 4. μὲν ἀποσώζει Gal. — 5. ἀποβάλλῃ Gal. — 7. διαυγὲς ὁρῶντι Gal. — 8. ἑαυτῷ μόνον C; ἑαυτῷ μὲν ὂν V; καὶ ἑαυτῷ μένῃ Gal. — Ib. τε om. V. — 9. χρώματος V. — Ib. τε ἐλ. C; τε καὶ τὴν ἐλ. Gal. — 11-12. διαφ. τοσαύτας διαφ. V. — 12. ὁ καρπός ACV.

ὅμοιον μάλισ7α τῷ ἐκ τῆς ἐλαίας ἐλαίῳ τῷ παλαιῷ· τὸ δὲ ῥαφά-
νινον ὅμοιον μὲν τὰ ἄλλα, θερμότερον δὲ, καὶ μᾶλλον ἔτι τούτου
τὸ σινάπινον· ὅμοιον δὲ αὐτῷ τὸ ἐκ τοῦ μελανθίου· ἔμπαλιν δὲ
τούτοις τὸ μύρτινόν τε καὶ σησάμινον καὶ βαλάνινον, τὸ μὲν τῷ
σ7ύφειν, τὰ δὲ ὅτι παχυμερῆ. Μικτῆς δέ ἐσ7ι δυνάμεως τό τε σχί- 7
νινον καὶ τὸ τερμίνθινον καὶ τὸ μασ7ίχινον· οὐ γὰρ μαλάτ7ει μό-
νον, ἀλλὰ καὶ σ7ύφει. Τὸ δὲ ἀμυγδάλινον ἐπικρατοῦσαν μὲν ἔχει 8
τὴν πικρότητα, μετέχει δέ τινος καὶ σ7ύψεως, οὐ μὴν τό γε καρύϊ-
νον, ἀλλὰ ἁπλῆς μάλισ7α δυνάμεώς ἐσ7ι διαφορητικῆς. Θερμότερον 9
δὲ αὐτοῦ καὶ διαφορητικώτερον ὑπάρχει τὸ δάφνινον, καὶ τούτου
μᾶλλον ἔτι τὸ κέδρινον, ἐγγὺς δὲ αὐτοῦ τὸ ἀπὸ τῆς ὑγρᾶς πίτ7ης
τὸ δᾴδινον, ἧτ7ον μὲν τοῦ δαφνίνου θερμὸν, ξηραίνει δὲ μᾶλλον.

semble surtout à la vieille huile d'olives; l'huile de radis ressemble, sous les autres rapports, à l'huile de ricin, mais elle est plus chaude, et l'huile de moutarde l'est encore plus que l'huile de radis; l'huile de nielle ressemble à l'huile de moutarde; l'huile de baies de myrte, l'huile de sésame et l'huile de ben ont des propriétés opposées à celle des huiles précédentes : la dernière, parce qu'elle est astringente, et les deux autres,
parce qu'elles sont composées de particules épaisses. Les huiles de len- 7
tisque, de baies de térébenthinier et de mastix ont des propriétés mixtes : en effet, elles ne ramollissent pas seulement, mais elles resserrent aussi.
Dans l'huile d'amandes, c'est l'amertume qui prédomine; cependant cette 8
huile possède aussi un certain degré d'astringence; il n'en est pas de même de l'huile de noix qui est douée surtout de propriétés simples, fa-
vorables bien entendu à la perspiration. L'huile de laurier est plus chaude 9
et plus favorable à la perspiration que les précédentes, et l'huile de *cèdre* l'est encore plus qu'elle; l'huile qu'on tire du goudron et qu'on appelle *huile de torche*, se rapproche de la dernière, et elle est moins chaude, mais

1-2. τὸ δὲ..... μᾶλλον om. C. — 2. τἄλλα τῷδε Gal. — Ib. μᾶλλόν ἐσ7ι τούτου V; ἔτι τούτου μᾶλλ. Gal. — 4. μύρτινόν ex em.; μύρσινόν ACV Gal. — Ib. καὶ βαλάνειον C; om. Gal. — 6. καὶ τὸ τερμίνθ. om. V. — 7. μέν om. C. — 8-9. μέντοι ἐκαρύϊνον AC; μέντοι καὶ ἐκκαρ. V. — 9. ἁπλῆ AC. — 11. μᾶλλόν ἐσ7ι V. — 11-12. ἐγγὺς..... δᾴδινον om. A 1ª m. — 11. αὐτῷ Gal. — 11-12. πίτ7ης ὑπάρχει τό V. — 12. δᾴδ. δὲ ἧτ7. ACV. — Ib. μέν om. ACV.

10 Τὸ δὲ ὑοσκυάμινον μικτῆς ἐσ7ι δυνάμεως μαλακτικῆς τε ἅμα καὶ
11 ἐμψυκτικῆς. Τὸ δὲ κνήκινον ὑπάγει γασ7έρα, τούτου δὲ ἔτι μᾶλλον
12 τὸ ἐκ τοῦ Κνιδίου κόκκου. Ἔσ7ι δὲ καὶ τὸ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον
13 οὐχ ἁπλῆς κράσεως, ἀλλὰ ῥυπ7ικόν τε ἅμα καὶ σ7υπ7ικόν. Αὐχμη-
ρότατον δὲ, ὡς ἐν ἐλαίοις, τοῦτο, καὶ μετὰ τοῦτο τὸ Ἰσ7ρικὸν,
ἐφεξῆς δὲ αὐτῷ τὸ Σπανὸν, λιπαρώτατον δὲ τὸ Λιβυκόν ἐσ7ι καὶ
τὸ Κιλίκιον· ἅμα δὲ λιπαρόν τε καὶ λεπ7ομερὲς τὸ Σαβῖνον· ἐν τῷ
μέσῳ δὲ τῶν εἰρημένων πάντων τό τε κατὰ τὰς Κυκλάδας νήσους
14 ἐσ7ὶ καὶ τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν. Κρίνεται δὲ τὸ μὲν λιπαρὸν
ἔλαιον τῇ γλισχρότητι, τὸ δὲ λεπ7ομερὲς τῷ τε διαυγεῖ καὶ καθαρῷ
καὶ τῷ πλεῖσ7ον ἀλείφεσθαι τοῦ σώματος ὑπὸ ἐλαχίσ7ου καὶ τῷ
15 πρὸς τοῦ χρωτὸς ἀναπίνεσθαι ῥαδίως. Ἐκ δὲ τῶν εἰρημένων ἔνεσ7ί
σοι καὶ περὶ τῶν ἄλλων ἐλαίων, ὅσα τοῖς μύροις ὁμωνύμως λέγε-
ται, γινώσκειν ἤδη, λέγω δὲ ῥοδίνου, καὶ κρινίνου, καὶ ὅσα τοιαῦτα

10 dessèche plus fortement que l'huile de laurier. L'huile de jusquiame a
11 des propriétés mixtes, à la fois ramollissantes et refroidissantes. L'huile
de carthame relâche le ventre, et celle qu'on tire des baies de Gnide, le
12 fait plus fortement encore qu'elle. L'huile d'olives sauvages n'a pas un
13 tempérament simple, mais elle est à la fois détersive et astringente. Cette
huile est aussi sèche qu'une huile peut l'être; après elle, vient l'huile d'Istrie, puis celle d'Espagne; mais l'huile de Libye et de Cilicie sont les plus grasses; l'huile du pays des Sabins est à la fois grasse et subtile; celle des îles Cyclades, de la Grèce et de l'Asie, tient le milieu entre toutes les
14 espèces dont nous venons de parler. On évalue les propriétés grasses de l'huile à l'aide de sa viscosité, et sa subtilité par sa transparence, par sa pureté, par la possibilité d'oindre une grande partie du corps avec une très-petite quantité d'huile, et par sa facilité a être absorbée par la peau.
15 D'après ce que nous venons de dire, vous pourrez porter aussi un jugement sur les autres espèces d'huile, qui sont désignées par les mêmes noms que les parfums, par exemple, sur l'huile de roses, l'huile de lis et sur toutes

2. κνήμινον C; κίκινον Gal. — 4-5. Αὐχμηρότερον Gal. — 6. αὐτοῖς Gal. — Ib. σπάνιον C. — 11. καὶ τὸ πλεῖσ7ον ACV. — 13. ὅσαι ACV; ὁπόσα Gal. — 14. ῥοδίνου τε καὶ μηλίνου καὶ κρινίνου Gal.

καρπῶν, ἢ βλαστῶν, ἢ ἀνθῶν, ἢ φύλλων ἐναποβρεχομένων ἐλαίῳ
γίνεται· κατὰ τὴν φύσιν γὰρ ἑκάστου τῶν ἐμβληθέντων ἀλλοιω-
θήσεται τὸ ἔλαιον· ἐξ ὧν οὖν ὑπὲρ ἑκάστου τῶν ἐμβαλλομένων ἐν
τῷδε τῷ λόγῳ παντὶ καθόλου μανθάνεις, ἐκ τούτων ἂν εἴη σοι καὶ
περὶ τοῦ κατὰ ἕκαστον αὐτῶν ἐλαίου γινώσκειν. — Ἐλατίνη με- 16
τρίως ἐστὶν ἐμψυκτική τε καὶ στυπτική. — Ἐλαφόβοσκος θερμῆς 17
καὶ λεπτομεροῦς ἐστι δυνάμεως καὶ διὰ τοῦτο καὶ ξηραντικῆς κατὰ
τὴν δευτέραν που μάλιστα τῶν ἀποστάσεων. — Ἑλενίου τῆς πόας 18
ἡ ῥίζα οὐκ εὐθὺς θερμαίνει κατὰ τὴν πρώτην προσβολήν, καὶ διὰ
τοῦτο λεκτέον αὐτὴν οὐ θερμὴν καὶ ξηρὰν ἀκριβῶς, ὥσπερ τὸ πέ-
περι, σὺν ὑγρότητι δὲ περιττωματικῇ. — Ἐλελίσφακος θερμαν- 19
τικῆς ἐναργῶς ἐστι δυνάμεως ὑποστυφούσης ἀτρέμα. — Ἐλλέβορος 20
ἑκάτερος ῥυπτικῆς τε ἅμα καὶ θερμῆς εἰσι δυνάμεως, καὶ κείσθωσαν
ἐν τῇ τρίτῃ τάξει τῶν θερμαινόντων τε καὶ ξηραινόντων. Ἔστι δὲ 21
τῇ γεύσει μὲν θερμότερος ὁ μέλας, ὑπόπικρος δὲ ὁ λευκός. —

les autres huiles semblables qu'on obtient par la macération de fruits, de
jeunes pousses, de fleurs ou de feuilles dans l'huile; en effet, l'huile su-
bira des changements analogues à la nature de chacun des ingrédients
qu'on y ajoute : vous pourrez donc porter un jugement sur les huiles
faites avec chacune de ces substances, en le tirant de ce que l'ensemble
de ce livre vous apprendra de général sur chacun des ingrédients ajoutés.
— La linaire est modérément refroidissante et astringente. — Les pro- 16-17
priétés que possède le panais sont chaudes et subtiles, et, pour cette rai-
son, desséchantes au second degré à peu près. — La racine de l'herbe 18
appelée aunée n'échauffe pas tout de suite dès qu'on l'applique, et, pour
cette raison, il faut proclamer qu'elle n'est pas purement chaude et sèche,
comme le poivre, mais avec mélange d'une humeur excrémentitielle. —
La sauge a des propriétés manifestement échauffantes et doucement as- 19
tringentes. — Les deux espèces d'ellébore ont des propriétés à la fois dé- 20
tersives et chaudes; qu'on les range donc dans la troisième classe des
échauffants et des desséchants. Le noir est plus chaud au goût; mais le 21

1. ἐν ἐλαίῳ Gal. — 2. κατὰ φύσ. ἑκ. Gal. — 3. τούτων V. — 3-4. ἐν τῷδε (τῷδες A) τῶν ἐν λ. ACV. — 5. αὐτῶν] τῶν C. — 8. που μάλ. τῆς ἀποστάσεως C. — 12. κράσεως Gal. — 13. θερμαντικῆς Gal.

22 *Ἐλξίνη, ἔνιοι δὲ περδίκιον· ταύτης ἡ δύναμις ῥυπτική τε καὶ ἀτρέμα*
23 *σΊυπΊικὴ μετὰ ὑγρότητος ὑποψύχρου. — Ἔλυμος, ἣ καὶ μελίνη,*
24 *ἐπιπλαττομένη ξηραίνει καὶ ψύχει. — Ἐπίθυμον τῆς θύμου δυνά-*
μεώς ἐσΊιν ἰσχυροτέρας τὰ πάντα, ξηραινούσης καὶ θερμαινούσης
25 *κατὰ τὴν τρίτην ἀπόσΊασιν. — Ἐπιμηδίου ἡ δύναμις ψυκτικὴ με-*
τρίως ἐσΊὶ μετὰ ὑγρότητος ὑδατώδους· οὐδεμίαν γοῦν ἐπίσημον
26 *ἔχει ποιότητα. — Ἐπιμήλιον· σΊρυφνὸν τοῦτο τὸ φυτόν ἐσΊι, καὶ*
27 *ὡς ἂν εἴποι τις, ἀγρία μηλέα. Καὶ ὁ καρπὸς δὲ αὐτοῦ σΊρυφνὸς*
28 *καὶ κακοσΊόμαχος. — Ἐρέϐινθοι ἐπισπασΊικῆς εἰσι δυνάμεως, δια-*
φορητικῆς, τμητικῆς· εἰσὶ γὰρ θερμοὶ μὲν καὶ μετρίως ὑγροὶ,
29 *μετέχουσι δέ τι καὶ πικρότητος. Ἐρέϐινθος ἄγριος ἰσχυρότερος εἰς*
ἅπαντα τοῦ ἡμέρου, τουτέσΊι θερμότερος καὶ ξηραντικώτερος, ὅσον

22 blanc est légèrement amer. — La pariétaire de Judée, que quelques-uns
appellent *perdicion;* les propriétés de cette plante sont détersives et dou-
23 cement astringentes avec mélange d'un liquide un peu froid. — Le grand
millet, qu'on appelle aussi *méline,* dessèche et refroidit, si on l'applique
24 sous forme de cataplasme. — L'agourre a, sous tous les rapports, des pro-
priétés plus actives que le *thym,* puisqu'elles sont desséchantes et échauf-
25 fantes au troisième degré. — Les propriétés de l'épimédium sont dou-
cement refroidissantes avec mélange d'un liquide aqueux : cette plante
26 ne possède donc aucune qualité saillante. — Le néflier de Germanie :
cette plante est très-âpre, et c'est, pour ainsi dire, un pommier sauvage.
27 Le fruit de cet arbre est aussi très-âpre, et il est nuisible à l'orifice de
28 l'estomac. — Les pois chiches possèdent des propriétés attractives, favo-
rables à la perspiration et incisives : en effet, ils sont chauds et modé-
rément humides; ils sont aussi doués d'un certain degré d'amertume.
29 Le pois chiche sauvage est, sous tous les rapports, plus actif que le pois
chiche cultivé, c'est-à-dire que le premier surpasse autant le second en
vertus échauffantes et desséchantes, qu'il le surpasse également en âcreté

2. *καθ' ὑγρότητος* V. — 2-3. *Ἔλυμος..... ψύχει* om. V. — 3-4. *δυνάμεως θύμου* V. — 4. *ἰσχυρότερόν ἐσΊιν* Gal. — 5. *Ἐπιμηδείου* ACV. — 7. *τό* om. AC. — 9. *Ἐρέϐινθοι*] *τὸ δ' ἕτερον γένος τῶν ἐρεϐίνθων· καλοῦνται μὲν ὀροϐίαι* Gal. — 9-10. *εἰσὶ..... τμητικῆς* om. A. — 10. *τμητικῆς ῥυπΊικῆς* Gal. — Ib. *ὑγρόν* A; *ξηροί* Gal. — 10-11. *κατέχουσι* C.

περ καὶ δριμύτερος καὶ πικρότερος. — Ἐρείκη διαφορητικῆς ἐστι 30
δυνάμεως ἀδήκτου· τῷ δὲ ἄνθει μάλιστα καὶ τοῖς φύλλοις αὐτῆς
χρηστέον. — Ἕρπυλλον θερμαντικῆς ἐστι δυνάμεως· ἔστι δὲ καὶ 31
ἱκανῶς δριμὺ τῇ γεύσει. — Ἐρυσίμου τὸ σπέρμα, καθάπερ τῇ γεύσει 32
παραπλήσιον φαίνεται καρδάμῳ, οὕτω καὶ τῇ δυνάμει πυρῶδές τε
καὶ θερμαντικὸν ὑπάρχον. — Ἐρυθροδάνου ἡ ῥίζα στρυφνὴ καὶ 33
πικρά ἐστιν, ὥστε ὅσα περ εἴρηται ποιεῖν εἰς ταὐτὸν ἀλλήλαις αἱ
τοιαῦται συνελθοῦσαι δυνάμεις, ἅπαντα σαφῶς ἐν τῇδε τῇ ῥίζῃ
θεάσῃ. — Εὐπατόριος ἡ πόα λεπτομεροῦς καὶ τμητικῆς καὶ ῥυπτι- 34
κῆς ἐστι δυνάμεως ἄνευ θερμότητος ἐπιφανοῦς, μετέχει δὲ καὶ στύ-
ψεως βραχείας. — Εὐφόρβιον καυστικῆς ἐστι καὶ λεπτομεροῦς 35
δυνάμεως. — Ἐφήμερον, οὐ τὸ δηλητήριον, ὃ καὶ Κολχικὸν ὀνο- 36
μάζουσιν, ἀλλὰ τὸ ἕτερον, ὃ δὴ καὶ Ἶρις ἀγρία καλεῖται, ῥίζαν ἔχει
στύφουσαν καὶ εὐώδη, ἐξ ὧν δῆλον, ὡς μικτῆς ἐστι δυνάμεως ἀπο-

et en amertume. — La bruyère a des propriétés favorables à la perspi- 30
ration, sans qu'elle cause des picotements; c'est surtout de la fleur et
des feuilles de cette plante qu'on doit se servir. — Le serpolet a des pro- 31
priétés échauffantes; il est, en outre, assez âcre au goût. — Comme la 32
graine d'*erysimum* montre, au goût, de la ressemblance avec le cresson
d'Alep, elle possède aussi des propriétés brûlantes et échauffantes. —
La racine de garance est très-âpre et elle est amère; on pourra donc ob- 33
server manifestement, dans cette racine, tout ce que nous avons dit être
la suite de l'action de ces deux propriétés quand elles se rencontrent en-
semble sur le même objet. — L'herbe appelée eupatoire possède des 34
propriétés subtiles, incisives et détersives sans chaleur manifeste; elle est,
en outre, douée d'un léger degré d'astringence. — L'euphorbe a des 35
propriétés caustiques et subtiles. — L'*ephemerum*, non pas l'espèce vé- 36
néneuse qu'on appelle aussi colchique, mais l'autre, qu'on nomme aussi
iris sauvage (muguet multiflore), a une racine astringente et odorifé-
rante, d'où il résulte qu'elle a des propriétés mixtes répercussives et fa-

2. ἀδήκτου om. Gal. — Ib. αὐτοῖς V. — 5-6. πυρωδέστερον καί V. — 7. ὑπόπικρος Aët. — 9. Εὐπατόριον Gal. — 9-10. καὶ ῥυπτικῆς om. A Paul. — 11. καί om. ACV. — 14. δυνάμεώς τε καὶ κράσεως Gal.

37 κρουστικῆς τε καὶ διαφορητικῆς. — Ἐχίνου τῆς πόας ὁ καρπὸς
στρυφνὸς καὶ διὰ τοῦτο ἀποκρουστικός τε καὶ ξηραντικός.
1 § 6. — Ζιγγιβέρεως ἡ ῥίζα θερμαίνει μὲν ἰσχυρῶς, ἀλλὰ οὐ κατὰ
τὴν πρώτην προσβολὴν ὡς τὸ πέπερι· ταύτῃ τοι καὶ λεπτομερέστε-
2 ρον ἧττόν ἐστι πεπέρεως. Φαίνεται γοῦν δυσκατεργάστου τινὸς ἔτι
καὶ παχυμερεστέρας οὐσίας μετέχον, καὶ ταύτης ὑγρᾶς καὶ ὑδατώδους
3 μᾶλλον. Διὰ τοῦτό γέ τοι καὶ τιτρᾶται ῥᾳδίως, ὅτι μέτεστιν αὐτῷ
4 περιττωματικῆς ὑγρότητος. Οὐδὲν γοῦν τοῦτο πάσχει τῶν ἤτοι
ξηρῶν ἀκριβῶς, ἢ ὑγρῶν μὲν, ἀλλὰ κατειργασμένην ἐχόντων ὑγρό-
5 τητα. Ταὐτὸ δὲ τοῦτο καὶ τὸ μακρὸν πέπερι πέπονθε, καὶ διὰ
τοῦτο παραμένει μέχρι πλείονος ἡ ἀπὸ ζιγγιβέρεώς τε καὶ μακροῦ
πεπέρεως θερμότης ἤπερ ἡ ἀπὸ λευκοῦ τε καὶ μέλανος, ὅθεν καὶ
ἡ χρεία διάφορος ἑκατέρου τῶν φαρμάκων· ὅταν μὲν γὰρ τὸ πᾶν
σῶμα θερμῆναι βουλώμεθα διὰ ταχέων, ὅσα ταχέως μὲν ἐκθερμαί-

37 vorables à la perspiration. — Le fruit de l'herbe appelée *échinos* est très-
âpre, et, pour cette raison, répercussif et desséchant.
1 § 6. — La racine de gingembre échauffe fortement, il est vrai, mais
non du premier coup comme le poivre; pour cette raison donc elle est
2 moins subtile que le poivre. On voit, par conséquent, que cette racine
contient une substance encore mal élaborée et composée de particules
épaisses, et que cette substance est plutôt humide et aqueuse que toute
3 autre chose. C'est pour la même raison qu'il s'y forme facilement des
trous, parce que, bien entendu, cette racine contient un liquide excré-
4 mentitiel. Or aucune substance qui soit ou parfaitement sèche, ou qui
soit humide, mais qui contienne un liquide bien élaboré, n'est sujette à
5 cet accident. La même chose a lieu pour le poivre long, et c'est là le
motif pour lequel la chaleur produite par le gingembre et le poivre long
persistent pendant plus longtemps que celle causée par le poivre blanc
ou le poivre noir; pour cette cause, l'emploi de chacun de ces médica-
ments diffère aussi : en effet, lorsqu'on veut échauffer rapidement tout
le corps, on aura recours aux substances qui s'échauffent vite et qui sont

1-2. Ἐχ. ἡ μὲν πόα στρυφνή τ' ἐστί Paul. — 2. διὰ ταῦτα C. — 4. πρώτην om. C. — 5. ἀκατεργάστου Gal. — 7. τοῦτο καί τοι καί C. — 9. ξηρῶν καὶ ἀκρ. V. — 10. μακροπ. Gal.; it. l. 11-12. — 11-12. τε..... πεπ. om. V. — 13. ἀδιάφ. C. — 14. ἐκθερμ. Gal. — 14-p. 636, l. 1. ἐκθερμαίνει Gal.

νεται πλησιάσαντα τῷ τοῦ ζώου θερμῷ, ταχέως δὲ πάντη φέρεται,
δοτέον· ἐπειδὰν δέ τι μόριον ἐψυγμένον ἐκθερμῆναι βουληθῶμεν,
ἔμπαλιν πρακτέον, ὅσα βραδέως θερμαινόμενα μέχρι πλείστου πα-
ραμένει, ταῦτα προσφέροντας. — Ζῦθος δριμύτερός ἐστι τῶν κρι- 6
θῶν οὐ μικρῷ καὶ κακόχυμος, ὡς ἂν ἐκ σηπεδόνος γεγονὼς, ἔστι δὲ
καὶ φυσώδης, καὶ τὸ μέν τι δριμὺ καὶ θερμαῖνον ἔχων, τὸ πλεῖ-
στον δὲ ψυχρὸν ὑδατῶδες ὀξύ. — Ζύμη λεπτομερής ἐστι καὶ με- 7
τρίως θερμή· διὰ τοῦτο τοίνυν ἀλύπως τε καὶ ἀδήκτως ἐπισπᾶταί
τε ἅμα τὰ ἐκ τοῦ βάθους καὶ διαφορεῖ. Μέμικται δὲ ἐξ ἐναντίων 8
δυνάμεων· καὶ γὰρ καὶ ὀξύτητος μετέχει καὶ σηπεδονώδους θερ-
μότητος, καὶ προσέτι τῆς ἀπὸ τῶν ἁλῶν καὶ τῆς ἐκ τοῦ ἀλεύρου
τῆς κατὰ φύσιν.

§ 7. — *Ἡδύοσμος, ἔνιοι δὲ μίνθην εὐώδη προσαγορεύουσιν· ἔστι* 1
γὰρ ἑτέρα τις οὐκ εὐώδης μίνθη, ἣν δὴ καὶ καλαμίνθην καλοῦσι, δρι-
μεῖαι δέ εἰσι γευομένοις ἀμφότεραι καὶ θερμαὶ τὴν δύναμιν ἐκ τῆς

diffusibles, quand elles s'approchent de la chaleur [naturelle] de l'indi-
vidu; si, au contraire, on veut réchauffer une partie refroidie, on suivra
la méthode opposée, et on administrera les substances qui s'échauffent
lentement, mais qui persistent pendant très-longtemps. — La bière est 6
beaucoup plus chaude que l'orge, et elle contient des humeurs mauvaises,
puisqu'elle est un produit de la putréfaction; elle est flatulente aussi, et,
tandis qu'elle contient d'un côté des particules âcres et échauffantes, la
plus grande partie de sa substance est froide, aqueuse et aigre. — Le fer- 7
ment est subtil et modérément chaud : pour cette raison donc, il attire
les matières de la profondeur et les dissipe, sans causer des picotements
ou d'autres désagréments. C'est un mélange de propriétés opposées : en 8
effet, il est doué d'aigreur et d'une chaleur produite par la putréfaction,
et, en outre, il contient la chaleur naturelle qui lui vient du sel et de
la farine.

§ 7. — L'*hédyosme*, que quelques-uns appellent menthe odoriférante, 1
car il existe une autre espèce de menthe non odoriférante, et qu'on ap-
pelle aussi *calaminthe* : toutes les deux ont un goût âcre et des proprié-

1. *πλησιάζοντα* Gal. — 5-6. *δὲ φυσ.* ACV. — 10. *μετέχει ψυχρᾶς καί* Gal. — 11-12. *ἀπὸ τοῦ ἀλεύρου κατά* Gal. — 13. *εὐώδη* om. Gal. — 14. *δή* om. Gal.

2 τρίτης που τάξεως. Ἀσθενεστέρα δέ ἐστιν ἡ εὐώδης μίνθη τῆς κα-
λαμίνθης· καθόλου γὰρ εἰπεῖν, ὥσπερ ἀγρία τίς ἐστιν, ἡ δὲ ἥμε-
3 ρος. Ἔχει δέ τι καὶ πικρὸν ἐν ἑαυτῇ καὶ στρυφνὸν ἡ μίνθη. —
4 Ἡδύσαρον ἢ πελεκῖνος· τοῦτο τὸ σπέρμα πικρὸν καὶ ὑπόστυφον
φαίνεται, ὅθεν εὐστόμαχόν τέ ἐστι πινόμενον· ἐκκαθαίρει τε γὰρ
5 τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις. Ταὐτὸ δὲ καὶ οἱ κλῶνες τοῦ
6 θάμνου δρῶσιν. — Ἡμεροκαλλοῦς ἡ ῥίζα παραπλησία τῇ τοῦ κρί-
νου κατά τε τὴν ἰδέαν οὖσα καὶ τὴν δύναμιν διαφορητικῆς ἀτρέμα
7 δυνάμεώς ἐστι μετὰ τοῦ καὶ ἀποκρουστικὸν ἔχειν τι. — Ἡμιο-
8 νῖτις στύψεως ἅμα σὺν πικρότητι μετέχει. — Ἠριγέρων δύναμιν
9 ψυκτικήν τε ἅμα καὶ μετρίως διαφορητικὴν ἔχει. — Ἠρύγγιον
θερμότητι μὲν ἢ βραχύ τι τῶν συμμέτρων, ἢ οὐδὲν ὑπερέχει, ξη-
ρότητος δὲ λεπτομεροῦς οὐκ ὀλίγης μετέχει.

2 tés chaudes au troisième degré. La menthe odoriférante est plus faible
que la *calaminthe,* car, pour le dire en général, l'une est, pour ainsi dire,
3 une menthe sauvage, et l'autre, une menthe cultivée. La menthe con-
4 tient aussi quelque chose d'amer et d'âpre. — La fève lupine ou sécuri-
gère : cette graine se montre à la fois amère et légèrement astringente;
elle est donc favorable à l'orifice de l'estomac, si on l'administre sous
5 forme de boisson, car elle enlève les obstructions des viscères. Les ra-
6 meaux de cet arbrisseau produisent le même effet. — La racine du lis
bulbifère ressemble à celle du lis ordinaire, tant sous le rapport de la
forme que sous celui de ses propriétés : en effet, cette racine est douée
de propriétés doucement favorables à la perspiration, tandis qu'elle a en
7 même temps quelque chose de répercussif. — La scolopendre à flèches
8 est douée à la fois d'astringence et d'amertume. — Le seneçon possède
à la fois des propriétés refroidissantes et modérément favorables à la
9 perspiration. — Sous le rapport de la chaleur, le panicaut ne dépasse
que peu, ou point du tout, la moyenne; mais il est doué d'une séche-
resse subtile assez notable.

1. τάξεως τῶν θερμαινόντων Gal. — Ib. Ἀσθενεστέρα μὴν ἡ Gal. — 1-2. καλαμίνθης ἐστὶ καὶ ἧττον θερμαντική Gal. — 2. ἡ μὲν ὥσπερ Gal. — 3. αὐτῇ ACV. — Ib. ἡ om. AC Gal. — Ib. μίνθη om. Gal. — 4. ἀποστῦφον V; ὑπόστρυφνον Gal. — 5. ἐκκαθαιρεῖται γὰρ A; ἐκκαθαίρει τε Gal.

§ 8. — Θαλιήκτρου δύναμις ξηραντικὴ χωρὶς δήξεώς ἐσῖιν. — 1
Θαψία δριμείας ἐσῖὶ καὶ ἰσχυρῶς ξηραντικῆς δυνάμεως σὺν ὑγρότητι· 2
ἕλκει τοιγαροῦν ἐκ βάθους βιαίως καὶ αὐτὴ διαφορεῖ τὸ ἑλχθέν· χρόνῳ
δὲ ἐργάζεται πλείονι ταῦτα διὰ τὸ περιτῖωματικῆς ὑγρότητος ἐμ-
πεπλῆσθαι δαψιλοῦς. — Θέρμος ὁ μὲν ἐδώδιμος τῶν ἐμπλασῖικῶν 3
ἐσῖι φαρμάκων· ὁ δὲ τὴν σύμφυτον ἔχων πικρότητα ῥυπῖικός τε
καὶ διαφορητικὸς ὑπάρχει καὶ ἀδήκτως ξηραίνει. Θέρμος ἄγριος 4
πικρότερός τε καὶ ἰσχυρότερος εἰς ἅπαντα τοῦ ἡμέρου, τῆς αὐτῆς
ὑπάρχων αὐτῷ κατὰ γένος δυνάμεως. — Θλάσπεως τὸ σπέρμα 5
δριμὺ τὴν δύναμίν ἐσῖιν. — Θρίδαξ ὑγρὸν καὶ ψυχρόν ἐσῖι λάχα- 6
νον, οὐ μὴν ἐσχάτως γε, ἀλλὰ κατὰ τὴν τῶν κρηναίων ὑδάτων, ὡς
ἂν εἴποι τις, μάλισῖα ψυχρότητα. — Θύμος τέμνει σαφῶς, θερ- 7
μαίνει τε καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν.

§ 9. — Ἰδαία ῥίζα καὶ γευομένη μέν ἐσῖι σφόδρα σῖρυφνὴ καὶ 1

§ 8. — Le pigamon a des propriétés desséchantes, sans qu'il cause des 1
picotements. — La thapsie est douée de propriétés âcres et fortement 2
desséchantes accompagnées d'humidité : elle attire donc violemment de la
profondeur du corps et dissipe elle-même les matières qu'elle a attirées;
mais il lui faut beaucoup de temps pour produire cet effet, parce qu'elle
est saturée d'une grande quantité de liquide excrémentitiel. — Le lupin 3
propre à l'alimentation appartient aux médicaments qui bouchent les
pores; mais celui qui conserve encore son amertume naturelle est dé-
tersif et favorable à la perspiration, et il dessèche sans causer des picote-
ments. Le lupin sauvage est plus amer et plus actif, sous tous les rap- 4
ports, que le lupin cultivé, quoique ses propriétés soient du même genre.
— La graine de tabouret a des propriétés âcres. — La laitue est une herbe 5-6
potagère humide et froide ; cependant elle ne l'est pas au suprême degré,
mais ses qualités froides vont, pour ainsi dire, jusqu'au même point, à
peu près, que celles de l'eau de source. — Le *thym* est manifestement 7
incisif, et il échauffe et dessèche au troisième degré.

§ 9. — Le streptope à feuilles embrassantes a un goût très-âpre, et, 1

1. Θαλιήτρου AV; Θαλίητρον C Paul. — 2. θερμαντικῆς Gal., Aët. — 3. ἕλκεται τοιγαροῦν V; ἕλκεται γὰρ οὖν Gal. — 4. πλέονι AV. — 6. ἐσῖι om. V. — 9. αὐτῶν ACV. — 11. τε A. — Ib. κρ.] εἰρημένων C. — 14. Ἰδιαία C; Ἰδαίας V. — Ib. καὶ γευομένη] κηπευομένη ACV.

2 τοῖς ἔργοις δὲ πειρωμένῳ. — Ἰξὸς ἐκ πλείστης μὲν ἀερώδους τε καὶ
ὑδατώδους οὐσίας θερμῆς, ἐλαχίστης δὲ γεώδους σύγκειται· τὸ γοῦν
3 δριμὺ πλέον ἐστὶν ἐν αὐτῷ τοῦ πικροῦ. Καὶ τοίνυν καὶ ἕλκει σφοδρῶς
ἐκ τοῦ βάθους ὑγρότητας, οὐ τὰς λεπτὰς μόνον, ἀλλὰ καὶ τὰς παχυ-
4 τέρας, καὶ ταύτας διαχεῖ τε καὶ διαφορεῖ. — Ἴου τὰ φύλλα τὴν
5 ὑδατώδη καὶ ὑπόψυχρον οὐσίαν ἐπικρατοῦσαν κέκτηται. — Ἵππουρις
στυπτικὴν μετὰ πικρότητος ἔχει ποιότητα, καὶ διὰ τοῦτο ξηραντι-
6 κὴν ἰσχυρῶς τε ἅμα καὶ ἀδήκτως. — Ἰσάτις ἡ μὲν ἥμερος ξηραντι-
κῆς ἰσχυρῶς ἐστι δυνάμεως οὐδέπω δακνούσης· ἔστι γὰρ πικρά τε
ἅμα καὶ στυπτική· ἡ δὲ ἀγρία ἔχει τι δριμὺ σαφὲς ἤδη κατὰ τὴν
γεῦσιν καὶ τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο τῆς ἡμέρου ξηραντικωτέρα.
7 — Ἰσόπυρον ἢ Φασήλιον σπέρμα πικρὸν καὶ ὑπόστυφον· ῥύπτει
τοιγαροῦν καὶ τέμνει τοὺς παχεῖς χυμοὺς μετὰ τοῦ συνάγειν καὶ

2 lorsqu'on en fait l'essai, l'effet qu'il produit est analogue à ce goût. — La
glu est composée d'une très-grande quantité de substance aérienne et de
substance aqueuse chaude, et d'une très-petite quantité de substance ter-
3 reuse; l'âcreté y prédomine donc sur l'amertume. Par conséquent, elle
attire fortement les humeurs de la profondeur du corps, non-seulement
les humeurs ténues, mais aussi celles qui sont plus épaisses, et elle les li-
4 quéfie et les dissipe. — Dans les feuilles de violette, c'est une substance
5 aqueuse et légèrement froide qui a le dessus. — La prêle possède des
qualités astringentes accompagnées d'amertume, et, pour cette raison,
ses propriétés dessèchent à la fois fortement et sans causer des picote-
6 ments. — La guède cultivée possède des propriétés fortement dessé-
chantes qui, cependant, ne vont pas jusqu'à causer des picotements; en
effet, elle est à la fois amère et astringente; la guède sauvage a déjà
quelque chose de manifestement âcre, tant sous le rapport du goût que
sous celui de l'effet qu'elle produit, et, pour cette raison, elle est plus
7 desséchante que la guède cultivée. — La fumeterre vrillée, ou *phasélium*,
est une graine amère et légèrement astringente : elle produit donc un
effet détersif et incisif sur les humeurs épaisses, tandis qu'elle resserre

5. Ἰουδία φυλλα A. — 9. καὶ οὐδέπω CV; καὶ οὐδέ που A. — 10. ἀγρία ἰσάτις Gal. — Ib. κατά τε τήν Gal. — 11. καὶ κατὰ τήν Gal. — 12. φασίολον Gal. — Ib. ὑπόστρυφνον Gal., Paul. — 12-13. ῥύπτει γὰρ οὖν ACV. — 13. τούς] καί V.

σφίγγειν τὰ σώματα. — Ἰτέας τῶν φύλλων ἡ δύναμίς ἐστιν ἀδήκτως 8
ξηραντική, ἔχει δέ τινα καὶ στύψιν. Ἔνιοι δὲ καὶ χυλὸν ἐξ αὐτῶν 9
ποιοῦντες ἄδηκτόν τε καὶ ξηραῖνον ἴσχουσι φάρμακον εἰς πολλὰ χρήσιμον· οὐδὲν γάρ ἐστι πολυχρηστότερον ἀδήκτου καὶ ξηραίνοντος φαρμάκου στύφοντος ὀλίγον. Καὶ ὁ φλοιὸς δὲ τοῦ δένδρου πα- 10
ραπλήσιος ὑπάρχει τῇ τε τῶν ἀνθῶν καὶ τῶν φύλλων δυνάμει, πλὴν ὅσον ξηρότερός ἐστι τὴν κρᾶσιν, ὥσπερ ἀμέλει πάντες οἱ φλοιοί. Ἀλλὰ τοῦτόν γε καίουσιν ἔνιοι καὶ χρῶνται τῇ τέφρᾳ πρὸς ὅσα περ 11
ἂν ἰσχυρῶς δέωνται ξηρᾶναι. Ἔνιοι δὲ κατὰ τὸν καιρὸν τῆς ἀνθή- 12
σεως ἐντέμνοντες τὸν φλοιὸν ὀπὸν ἀθροίζουσι ῥυπτικόν τε ἅμα καὶ λεπτομερῆ.

§ 10. — *Καλαμίνθη λεπτομερὴς τὴν οὐσίαν ἐστὶ καὶ θερμὴ καὶ* 1
ξηρὰ τὴν κρᾶσιν ἐκ τῆς τρίτης που τάξεως· δριμεῖά τε γάρ ἐστι τῇ γεύσει καὶ βραχύ τι παντελῶς ὑπόπικρον ἔχει, λεπτύνει τε καὶ τέμνει

et contracte en même temps les parties. — Les feuilles de saule sont 8
douées de propriétés desséchantes, sans qu'elles causent des picotements; elles ont, en outre, un certain degré d'astringence. Quelques-uns pré- 9
parent avec cette feuille un suc, et obtiennent, de cette façon, un médicament qui dessèche sans causer des picotements, et qui peut être utile dans beaucoup de cas : en effet, rien n'est d'un usage plus multiplié qu'un médicament qui dessèche sans produire des picotements, et qui est en même temps légèrement astringent. L'écorce de cet arbre possède 10
des propriétés analogues à celles des fleurs et des feuilles, excepté qu'elle a un tempérament plus sec, comme c'est, du reste, le cas pour toutes les écorces. Mais certains médecins brûlent cette écorce, et se servent des 11
cendres toutes les fois qu'ils ont besoin de dessécher fortement. Quel- 12
ques-uns font, au temps de la floraison, une incision dans l'écorce, et recueillent ainsi un suc à la fois détersif et subtil.

§ 10. — La *calaminthe* possède une substance subtile et un tempéra- 1
ment chaud et sec au troisième degré; en effet, elle est âcre au goût, elle a quelque chose de légèrement amer à un degré très-peu prononcé, elle exerce une action atténuante, incisive et favorable à la perspiration. —

4. *καί* om. ACV. — 7. *ὅσα* AC Gal. — 8. *τοῦτό* V. — 9. *ξηραίνειν* Gal. — 10. *τέμνοντες* ACV. — 11-p. 641, l. 1. *τέμν. ἰσχυρῶς* Gal., Aët.

2 καὶ διαφορεῖ. — Κάλαμος ἀρωματικὸς καὶ σΊύψεως βραχείας καὶ
δριμύτητος ἐλαχίσΊης μετέχει, τὸ δὲ ϖλεῖσΊον αὐτοῦ γεώδους οὐσίας
ἐσΊὶ καὶ ἀερώδους, εὐκράτων ἐν τῇ κατὰ θερμότητα καὶ ψυχρότητα
3 συζυγίᾳ. Κείσθω τοίνυν δευτέρας τάξεως τῶν θερμαινόντων τε καὶ
ξηραινόντων, καὶ σφοδρότερόν γε ξηραινόντων ἢ θερμαινόντων.
4 Ἔχει δέ τι καὶ λεπΊομερὲς, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα ἀρώματα,
ἀλλὰ ἐκείνων μὲν τοῖς ϖλείσΊοις ϖάμπολυ τὸ λεπΊομερὲς ὑπάρχει,
5 τῷ καλάμῳ δὲ οὐ ϖολύ. — Καλάμου φραγμίτου ἡ ῥίζα ῥυπΊι-
κῆς μετέχει δυνάμεως οὐκ ὀλίγης, ἥκισΊα δριμείας, τὰ δὲ χλωρὰ
φύλλα μετρίως ἐμψύχει, μετέχοντα καὶ αὐτὰ τῆς ῥυπΊικῆς δυνά-
6 μεως. Ὁ φλοιὸς δὲ αὐτοῦ καυθεὶς λεπΊομεροῦς ἱκανῶς καὶ διαφορη-
τικῆς γίνεται δυνάμεως, ἔχων τι καὶ ῥυπΊικὸν, ὥσΊε θερμαίνειν
καὶ ξηραίνειν κατὰ τὴν τρίτην ϖοὺ τάξιν, καὶ ϖλέον γε ξηραίνειν
7 ἢ θερμαίνειν. Φυλάσσεσθαι δὲ αὐτοῦ ϖροσήκει τὴν ἀνθήλην·

2 Le roseau odorant est doué d'une légère astringence et d'une âcreté
très-peu prononcée; il est composé en majeure partie d'une substance
terreuse et d'une substance aérienne, qui ont, toutes les deux, un tem-
pérament moyen, quant à l'une des combinaisons de qualités opposées,
3 celle qui se rapporte au chaud et au froid. Qu'on range donc cette plante
dans la seconde classe des échauffants et des desséchants, en ayant bien
soin de la classer parmi les substances qui dessèchent plus fortement
4 qu'elles n'échauffent. Le roseau odorant a aussi quelque chose de subtil
comme tous les autres aromates; mais, tandis que la plupart des autres
possèdent cette qualité à un degré très-prononcé, le roseau n'en est que
5 faiblement pourvu. — La racine du roseau à balai possède des proprié-
tés détersives assez considérables et très-peu âcres; les feuilles vertes
de cette plante, qui sont également douées de propriétés détersives, re-
6 froidissent modérément. Si on brûle la gaîne de ce roseau, elle acquiert
des facultés fortement subtiles et favorables à la perspiration, sans être
dépourvue de qualités astringentes : elle échauffe et dessèche donc au
troisième degré, et elle dessèche, bien entendu, plus fortement qu'elle
7 n'échauffe. Il faut prendre garde à la panicule de cette plante, car, si elle

6. τἆλλα V. — 7. τό om. ACV. — 12. ῥυπτικήν ACV. — 13. ξηραίνειν post γε om. A. — 14. θερμαίνει A. — Ib. ΦυλάτΊεσθαι V Gal.

*ἐμπίπ7ουσα γὰρ τοῖς ὠσὶν ἐμπλάσσεται δυσαπολύτως καὶ κακοῖ τὴν
ἀκοὴν, ὥσ7ε καὶ κωφώσεις ἐργάζεσθαι πολλάκις.* — Καγκάνου *ἡ* 8
*ῥίζα δυνάμεως μέν ἐσ7ιν ἀδήκτου καὶ μετρίως ξηραντικῆς, οὐσίας
δὲ παχυμεροῦς ἐμπλασ7ικῆς.* — Καννάϐεως *ὁ καρπὸς ἄφυσός τε* 9
καὶ ξηραντικός ἐσ7ιν. — Κάπνιος *δριμείας ἅμα καὶ πικρᾶς μετέχει* 10
ποιότητος, οὐκ ἀπήλλακται δὲ παντάπασιν οὐδὲ τῆς σ7ρυφνῆς. —
Καππάρεως *ὁ μὲν τῆς ῥίζης φλοιὸς ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν* 11
*ποιότητα, δευτέραν δὲ τὴν δριμεῖαν, ἐφεξῆς δὲ ταύτῃ τὴν σ7ρυφνὴν,
ᾧ καὶ δῆλον ὡς ἐκ διαφερουσῶν τε καὶ κατά τι μαχομένων σύγκει-
ται δυνάμεων· ῥύπ7ειν μὲν γὰρ δύναται καὶ διακαθαίρειν καὶ τέμνειν
τῇ συνούσῃ πικρότητι, θερμαίνειν δὲ καὶ τέμνειν καὶ διαφορεῖν τῇ
δριμύτητι, συνάγειν δὲ καὶ πιλεῖν καὶ σφίγγειν τῇ σ7ρυφνότητι.*
Τῷ *δὲ φλοιῷ τῆς ῥίζης ὁ καρπὸς ἀνάλογον ἔχει δύναμιν, πλὴν* 12

tombe dans les oreilles, elle s'y fixe de manière à ne pouvoir en être dé-
tachée que difficilement, et elle fait un si grand tort à l'ouïe, qu'elle donne
même lieu souvent à des surdités. — La racine de *cancanum* a des proprié- 8
tés modérément desséchantes, sans pour cela causer de picotements, et
une substance composée de particules épaisses, et propre à boucher les
pores. — La graine de chanvre est desséchante et non flatulente. — La 9-10
fumeterre est douée à la fois de propriétés âcres et amères, et elle n'est pas
dépourvue complétement non plus de propriétés âpres. — Dans l'écorce 11
de la racine du câprier, ce sont les qualités amères qui prédominent,
l'âcreté occupe le second rang, et ensuite vient l'âpreté; il résulte de là
que cette écorce est composée de qualités différentes et qui se combattent
jusqu'à un certain point : en effet, par suite de l'amertume dont elle est
pourvue, elle peut déterger, nettoyer et exercer une action incisive; en
vertu de son âcreté, elle est capable de produire un effet échauffant, in-
cisif et favorable à la perspiration, et, à l'aide de son âpreté, elle peut
contracter, fouler et resserrer. Le fruit du câprier a des propriétés ana- 12
logues à celles de l'écorce de la racine, excepté qu'il est plus faible sous

1. *τοῖς σώμασιν* V. — Ib. *ἀναπολύτως* Gal. — 2. *κωφῶς εἰσεργάζεσθαι* AC; *κώφωσιν εἰσεργάζεσθαι* A 2ª m. — 9. *διαφόρων* Gal. — Ib. *κατά τι* om. Gal. — 10. *καθαίρειν* V. — Ib. *καὶ τέμνειν καὶ διαφορεῖν* ACV. — 11. *διαφορεῖν*] *διαφορεῖν καὶ λεπ7ύνειν* Aët. — 13. *ὁ* om. C.

13 ὅσον ἀσθενέσ7ερός ἐσ7ιν εἰς ἅπαντα. Καὶ μὲν δὴ καὶ τὰ φύλλα καὶ
14 ὁ καυλὸς αὐτῶν ὁμοίας ἐσ7ὶ δυνάμεως. Ἡ δὲ ἐν τοῖς θερμοῖς πάνυ
χωρίοις γεννωμένη κάππαρις, ὥσπερ καὶ ἡ ἐν Ἀραβίᾳ, πολὺ τῆς
παρὰ ἡμῖν ἐσ7ὶ δριμυτέρα, ὥσ7ε καὶ τῆς καυσ7ικῆς ἐπιπλέον
15 μετέχειν δυνάμεως. — Καρδάμου τὸ σπέρμα καυσ7ικῆς μετέχει δυ-
16 νάμεως, ὥσπερ τὸ νᾶπυ. Καὶ ἡ πόα δὲ ξηρὰ γενομένη παραπλησίας
ἐσ7ὶ δυνάμεως τῷ σπέρματι· ὑγρὰ δὲ ἔτι καὶ χλωρὰ διὰ τὴν ἐπι-
μιξίαν τῆς ὑδατώδους ὑγρότητος ἀπολείπεται πάμπολυ, ὥσ7ε καὶ
17 μετὰ ἄρτου δυνατὸν αὐτῇ χρῆσθαι καθάπερ ὄψῳ. — Καρδάμωμον·
ἐσ7ὶ μὲν ἀμέλει καὶ τοῦτο θερμῆς ἱκανῶς δυνάμεως, οὐ μὴν οὕτως
ἰσχυρᾶς ὡς τὸ κάρδαμον· ἑλκοῦν μὲν ἱκανόν ἐσ7ι καὶ αὐ7ὸ, ἔχει δέ
18 τι καὶ πικρότητος ἐμφερόμενον ἑαυτῷ. — Καρῶ θερμαίνει καὶ
ξηραίνει κατὰ τὴν τρίτην που τάξιν, δριμεῖαν μετρίως ἔχουσα τὴν
19 ποιότητα. — Κασία θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν,

13 tous les rapports. Les feuilles et la tige de cette plante ont également des
14 propriétés semblables. Le câprier, qui croît dans des pays très-chauds,
comme celui d'Arabie, est beaucoup plus chaud que celui qui vient de
chez nous, de telle façon qu'il possède des vertus caustiques plus pro-
15 noncées. — La graine de cresson d'Alep est douée de propriétés caus-
16 tiques de même que la moutarde. Cette herbe possède, après la dessicca-
tion, des propriétés semblables à celles de sa graine; mais, quand elle est
encore humide et verte, elle lui est de beaucoup inférieure, à cause du
mélange d'un liquide aqueux : voilà pourquoi il est possible de la man-
17 ger comme mets accessoire avec du pain. — Le cardamome : en général
ce médicament est aussi doué de propriétés chaudes assez notables, mais
ces propriétés sont moins prononcées que celles du cresson d'Alep; le
cardamome est encore assez fort pour produire des plaies, mais il con-
18 tient un certain degré d'amertume superficielle. — Le carvi échauffe et
dessèche au troisième degré à peu près, et il possède des propriétés mo-
19 dérément âcres. — La fausse cannelle échauffe et dessèche au troisième

1-2. καί ante ὁ om. AC. — 4-5. μετέχει Gal. — 6. ξηρὰ μὲν γεν. Gal. — 7. δέ τι C; δ' ἐσ7ί V. — 11. ἰσχυρῶς C Gal. — Ib. οὐ μὴν ἑλκ. ἱκ. ἐ αὐτὸ καθ' αὑτὸ καταπλασσόμενον Gal. — 11-12. δ' ἔτι A. — 12. ἐμφ. ἐν αὐτῷ ACV; ἐν ἑαυτῷ Aët. — Ib. Καρῶ ex em.; Κάρω ACV; Κάρου (Καρώου Aët.) τὸ σπέρμα Gal., Aët., Paul. — 14. που τάξιν Gal.

ἐστὶ δὲ καὶ λεπτομερὴς ἱκανῶς· ἐν δὲ τῇ γεύσει πλεῖστον μὲν ἐν
αὐτῇ τὸ δριμὺ, βραχὺ δέ τι καὶ τὸ στῦφον· διὸ τέμνει τε ἅμα καὶ
διαφορεῖ καὶ ῥώμην ἐντίθησι τοῖς ὀργάνοις. — Καρύα τὸ δένδρον 20
ἔχει μέν τι κἀν τοῖς φύλλοις κἀν τοῖς βλαστοῖς στυπτικὸν, ἐνεργὲς
δὲ καὶ πλεῖστον ἐν τῷ τοῦ καρύου λέμματι προσφάτῳ καὶ ξηρῷ.
Τοῦ καρύου δὲ αὐτοῦ τὸ μὲν ἐδώδιμον ἐλαιῶδές τέ ἐστι καὶ λεπτο- 21
μερὲς, καὶ μᾶλλον δυνάμενον, ὅσῳ περ ἂν ἀποκείμενον χρονίζῃ.
Τηνικαῦτα δὲ καὶ διαφορητικὸν ἱκανῶς γίνεται, πρόσφατον δὲ ὑπάρ- 22
χον ἔχει τι καὶ στυφούσης ποιότητος. Τὸ δὲ ἀτελὲς ἔτι καὶ μηδέπω 23
ξηρὸν ὅμοιον τοῖς ἄλλοις καρποῖς ἐστιν, ὅσοι χλωροὶ πλήρεις εἰσὶν
ὑγρότητος ἡμιπέπτου. Τὸ μέντοι λέπος αὐτοῦ τὸ ξηρὸν καυθὲν λε- 24
πτομερές τε γίνεται καὶ ξηραντικὸν καὶ ἄδηκτον φάρμακον. Τὸ δὲ 25
λεπτοκάρυον, τὸ Ποντικὸν καλούμενον, πλέον μετέχει τῆς γεώδους
οὐσίας ψυχρᾶς, ὥστε καὶ αὐστηρότερον γευομένῳ τό τε φυτὸν αὐτὸ

degré, et elle est très-subtile; au goût, elle présente une très-forte pro-
portion d'âcreté, et aussi un faible degré d'astringence; pour cette raison
elle est à la fois incisive et favorable à la perspiration, et donne de la
force aux organes. — Le noyer contient, aussi bien dans ses feuilles que 20
dans ses jeunes pousses, quelque chose d'astringent, mais cette propriété
est surtout active et abondante dans l'écorce de la noix, qu'elle soit
fraîche ou sèche. Quant à la noix elle-même, la partie bonne à manger 21
est huileuse et subtile, et elle est d'autant plus active, qu'elle a été con-
servée pendant plus longtemps. Dans ce cas, elle devient aussi assez fa- 22
vorable à la perspiration; au contraire, quand elle est encore fraîche,
elle a, jusqu'à un certain degré, des propriétés astringentes. Mais, quand 23
la noix n'est pas encore bien développée et sèche, elle ressemble aux
autres fruits qui sont remplis, lorsqu'ils sont verts, d'un liquide incom-
plétement élaboré. Cependant, si on brûle l'écorce de la noix à l'état sec, 24
elle devient un médicament subtil qui dessèche sans causer de picote-
ments. La noisette, qu'on appelle noix du Pont, contient une plus forte 25
proportion de substance terreuse et froide que la noix ordinaire; elle se
montre donc aussi plus âpre au goût, ce qui a lieu aussi bien pour toute

2. δ' ἔτι A. — Ib. τε καὶ ἅμα καὶ C. Gal. — Ib. χρ. τοιοῦτο γίνεται Gal. — — 4. ἐναργές Gal., Aët. — 7. δυν. om. 9. τῆς στυφ. Gal. — 11. αὐτό AC.

καὶ ὁ καρπὸς καὶ ὁ φλοιὸς φαίνεται· τὰ δὲ ἄλλα παραπλήσιον
26 ὑπάρχει τῷ βασιλικῷ καλουμένῳ. — Καρπήσιον ὅμοιον μὲν ὑπάρ-
χει τῷ καλουμένῳ φοῦ κατὰ τὴν γεῦσιν καὶ τὴν δύναμιν· ἐπιπλέον
δέ ἐσʼι λεπʼομερὲς, οὐ μὴν εἰς τοσοῦτό γε λεπʼομερές ἐσʼιν, ὡς
27 ἀντὶ κινναμώμου χρῆσθαι, καθάπερ Κόϊντος. Ἄμεινον δέ ἐσʼι τὸ
Γογγρικὸν τοῦ Λαερτικοῦ, καὶ πλείσʼων αὐτῶν εὐπορήσαις ἂν ἐν
28-29 Σίδῃ. — Καυκαλὶς θερμαίνει καὶ ξηραίνει. — Κέγχρος ψύχει μὲν
κατὰ τὴν πρώτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν τρίτην ἐκλελυμένην·
30 ἔσʼι δέ πως καὶ λεπʼομερὴς ἐπὶ ὀλίγον. — Κέδροι ἀμφότεραι θερ-
μῆς καὶ ξηρᾶς κράσεώς εἰσιν ἐκ τῆς τρίτης που τάξεως· ἡ μέντοι
κεδρέα καὶ τῆς τετάρτης ἂν ἤδη δόξειεν ἐφάπʼεσθαι, ἱκανῶς θερμή
31 τε ἅμα καὶ λεπʼομερὴς ὑπάρχουσα. Τὸ δὲ λιπαρώτατον ἐξ αὐτῆς
τὸ ἀκριϐῶς ἐλαιῶδες λεπʼομερέσʼερον μέν ἐσʼι τῆς ὅλης κεδρέας,

la plante que pour le fruit et l'écorce; du reste, elle ressemble à la noix
26 appelée royale (c'est-à-dire la noix ordinaire). — Le *carpesium* ressemble
à ce qu'on appelle valériane, aussi bien sous le rapport du goût que sous
celui des propriétés, cependant il est plus subtil, mais il ne l'est pas à
un tel degré, qu'on puisse l'employer à la place de la cannelle, comme
27 le faisait Quintus. Le *carpésium* gongrique vaut mieux que le laërtique,
et on peut se procurer ces médicaments dans la plus grande abondance
28-29 à Sidé. — La petite boucage échauffe et dessèche. — Le petit millet
refroidit au premier degré et dessèche au troisième affaibli; il est, en
30 quelque sorte aussi, légèrement subtil. — Les deux espèces de *cèdre* ont
un tempérament chaud et sec au troisième degré à peu près, mais la ré-
sine de *cèdre* semble même déjà atteindre au quatrième degré, puisqu'elle
31 est à la fois fortement chaude et subtile. La partie la plus grasse de cette
résine, qui a complétement la consistance de l'huile, est plus subtile que
cette résine prise dans son entier; mais elle est moins âcre, quoiqu'elle

2. *τῷ μεγάλῳ καρύῳ τῷ καλουμένῳ πρός τινων βασιλικῷ* Gal. — 5. *Ἄμεινον* om. V. — 6. Γαγγρικόν A; Ποντικὸν *καρπήσιον* Gal.; Γογυρικόν Aët. — Ib. *πάντων* ACV. — 6-7. *ἄνευ Σίδῃ* V; *ἂν ἐν Συρίᾳ* Gal. — 8. *ἤτοι κατὰ τὴν τρίτην ἐκλελυμένην ἢ τὴν δευτέραν ἐπιτεταμένην* Gal. — 9. *καί* om. V. — 10-11. *τὸ δ' ἐξ αὐτῶν ἔλαιον ὃ καλοῦσι κεδραίαν* Paul. — 11. *ἂν* om. ACV. — Ib. *ἤδη* om. Paul. — 12. *λιπαρώτερον* ACV. — 13. *τό*] *καί* Gal. — Ib. *ἀκριϐῶς ἐλαιωδέσʼατον* Gal. — Ib. *γίνεται* Gal., Aët.

ἧτlον δὲ δριμὺ, καίτοι τὸ θερμαῖνον οὐχ ἧτlον ἔχει. Αἱ δὲ κεδρίδες 32
μετριωτέραν ἔχουσι τὴν δύναμιν, ὡς καὶ ἐσθίεσθαι δύνασθαι. —
Κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα δριμεῖά τε ἅμα καὶ σlύφουσα 33
φαίνεται τῇ γεύσει μετά τινος βραχείας γλυκύτητος· θερμαίνει
γοῦν, μετέχουσα παχυμεροῦς καὶ γεώδους ψυχρότητος, διαφορεῖ τε
καὶ τόνον ἐντίθησι τοῖς μορίοις. Τὰ δὲ αὐτὰ τῇ ῥίζῃ καὶ ὁ χυλὸς 34
αὐτῆς ἐργάζεται, καί τινες ἀντὶ λυκίου χρῶνται τῷ φαρμάκῳ. Ὅσοι 35
δὲ τὸ ῥῆόν φασιν εἶναι τὸ μέγα κενταύρειον ἄμεινόν μοι δοκοῦσι
γινώσκειν. — Κενταυρείου τοῦ μικροῦ οἱ κλῶνες καὶ μᾶλλόν γε τὰ 36
φύλλα καὶ τὰ ἄνθη χρησιμώτατα, κρατεῖ δὲ ἐν αὐτοῖς ἡ πικρὰ
ποιότης, ὀλίγον τι καὶ σlύψεως μετέχουσα, καὶ διὰ τὴν τοιαύτην
κρᾶσιν ἰσχυρῶς ξηραντικόν ἐσlι τὸ φάρμακον ἄνευ δήξεως. Καὶ ὁ 37
χυλὸς δὲ αὐτοῦ παραπλησίας ἐσlὶ δυνάμεως ξηραντικῆς τε καὶ ῥυ-
πlικῆς. — Κεράσου τοῦ δένδρου ὁ καρπὸς ὁ μὲν γλυκὺς μᾶλλον 38

ne soit pas moins échauffante que cette résine. Les baies de *cèdre* ont des 32
propriétés plus modérées, à tel point qu'on peut même les manger. —
La racine de grande centaurée se montre à la fois âcre et astringente au 33
goût, et ces propriétés sont accompagnées d'un certain léger goût sucré;
elle échauffe donc, tout en étant douée d'un froid terreux et épais; elle
favorise aussi la perspiration et donne du ton aux parties. Le suc de cette 34
racine produit le même effet que la racine elle-même, et quelques-uns
emploient ce médicament à la place du suc de petit nerprun. Ceux qui 35
prétendent que le rhapontic est la grande centaurée, ne me semblent pas
avoir entièrement tort. — Les rameaux de petite centaurée, et plus en- 36
core les feuilles et les fleurs de cette plante, sont très-utiles : ce sont des
qualités amères, accompagnées d'un certain léger degré d'astringence, qui
prédominent dans ces substances, et il résulte de ce mélange-là qu'elles
forment un médicament fortement desséchant, et qui ne cause pas de
picotements. Le suc de cette plante possède des propriétés semblables, 37
c'est-à-dire des propriétés desséchantes et détersives. — Si le fruit du 38
cerisier est doux, il a surtout la propriété de traverser les intestins, mais

1. δριμὺ καὶ δηκτικόν Aët. — Ib. καίτοι] καί ACV. — 2. ὥσlε A Gal. — Ib. καί om. A. — 3. τε ἅμα] καὶ θερμή Paul. — Ib. καὶ σl. om. Paul. — 5. ψυχρότ.] σlύψεως Paul. — 11. καί om. A. — 13-14. τε καὶ ῥυπlικῆς om. A 1[a] m. — 14. πέπειρος καὶ γλυκύς Aët.; γλυκύτερος Gal.

ὑπέρχεται κατὰ τὸ ἔντερον, ἧττον δέ ἐστιν εὐστόμαχος, ὁ δὲ αὐ-
στηρὸς τοὔμπαλιν, ὁ δὲ ὀξὺς Φλεγματώδεσι καὶ περιττωματικοῖς
στομάχοις ἁρμόττει· ξηραίνει τε γὰρ μᾶλλον τῶν αὐστηρῶν καί τι
39 καὶ τμητικὸν ἔχει. — Κερατωνία ξηραντικῆς ἐστι καὶ στυπτικῆς
δυνάμεως, ὥσπερ καὶ ὁ καρπὸς αὐτῆς τὰ κεράτια, μετέχων δηλονότι
40 καὶ γλυκύτητός τινος. — Κέστρον, ὃ καὶ ψυχότροφον, Ῥωμαϊστὶ
δὲ βεττονικὴ, δύναμιν ἔχει τμητικήν· πικρὰ γοῦν ἐστι καὶ ὑπό-
41 δριμυς. — Κηκὶς ἡ μὲν ὀμφακῖτις στρυφνὸν ἱκανῶς ἐστι φάρμα-
κον, οὐσίας γεώδους ψυχρᾶς τὸ πλεῖστον μετέχουσα, διὰ ἣν ξηραίνει
καὶ ἀποκρούεται καὶ συνάγει καὶ σφίγγει καὶ τονοῖ τὰ ἄῤῥωστα
42 μόρια. Καὶ κείσθω τῆς τρίτης μὲν ἐν τῷ ξηραίνειν, τῆς δευτέρας δὲ
43 ἐν τῷ ψύχειν τάξεως. Ἡ δὲ ἑτέρα κηκὶς ἡ ξανθὴ καὶ χαύνη καὶ με-
γάλη ξηραίνει μὲν καὶ αὐτὴ, ἀλλὰ εἰς τοσοῦτον ἧττον, εἰς ὅσον
44 καὶ τῆς στρυφνῆς ποιότητος ἧττον μετείληφεν. Καυθεῖσαι δὲ αἱ

il est moins favorable à l'orifice de l'estomac que les autres espèces; pour
les cerises âpres, c'est le contraire qui a lieu; les cerises aigres con-
viennent à l'orifice de l'estomac, quand cette partie est surchargée de pi-
tuite ou d'humeurs excrémentitielles, car elles dessèchent plus fortement
39 que les cerises âpres, et ont quelque chose d'incisif.— Le caroubier, ainsi
que ses fruits, les caroubes, a des propriétés desséchantes et astringentes,
40 cependant il est doué aussi d'un certain goût sucré. — Le *cestrum*, qu'on
appelle aussi *psychotrophum*, et que les Romains nomment bétoine, a
41 des propriétés incisives, car il est amer et légèrement âcre. — La noix
de galle verte est un médicament fortement âpre, et la plus grande partie
de la substance qu'il contient est terreuse et froide; cette circonstance fait
que ce médicament dessèche, répercute, contracte, resserre, et qu'il ren-
42 force les parties affaiblies. Qu'on le range donc dans la troisième classe
43 des desséchants, et dans la seconde des refroidissants. L'autre espèce
de noix de galle, qui est jaune, spongieuse et grande, dessèche aussi;
mais son pouvoir desséchant est inférieur à celui de la galle verte, au
44 même degré qu'elle est inférieure à celle-ci en propriétés âpres. Si on

1. ὑπάγει Gal. — Ib. τὰ κατά Gal. — 1-2. δὲ καὶ ἄωρος αὐστηρότερος Aët. — 4. ψυκτικῆς Paul. — 6. ψυχοτρόφον V; ψυχρότροφον AC. — 7. πικροτέρα γάρ ἐστι Gal. — 10. ἀποκρούεται τὰ ῥεύματα Gal. — Ib. καὶ τονοῖ τά] τὰ χαλαρὰ καί Gal. — 13. αὔτη A. — 14. αἱ om. ACV.

κηκῖδες ἰσχαίμου δυνάμεως γίνονται, θερμότητός τε καὶ δριμύτητος
μεταλαμβάνουσι λεπΊομερέσΊεραί τε καὶ ξηραντικώτεραι γίνονται.
— Κηρὸς μέσης ἐσΊὶ κράσεως κατὰ ἀμφοτέρας τὰς συζυγίας, ἔχει 45
δέ τι καὶ παχυμερὲς καὶ ἐμπλασΊικὸν, ὅθεν καὶ ὕλη τῶν ἄλλων ἐσΊὶ
φαρμάκων τῶν θερμαινόντων τε καὶ ξηραινόντων καὶ ψυχόντων·
αὐτὸς δὲ κατὰ ἑαυτὸν ἐκ τῶν πεπΊικῶν ἂν εἴη τῶν ἀσθενῶν τῶν
ἔξωθεν ἐπιτιθεμένων· ἔχει γάρ τι βραχὺ διαφορητικῆς τε καὶ θερ-
μῆς δυνάμεως, ἧς πλείσΊης τὸ μέλι μετείληφεν. — Κίκεως ὁ καρ- 46
πὸς ῥυπΊικήν τε καὶ διαφορητικὴν ἔχει δύναμιν· οὕτω δὲ καὶ τὸ
φύλλον, ἀλλὰ ἀσθενέσΊερον. — Κιννάμωμον ἄκρως ἐσΊὶ λεπΊομε- 47
ρὲς, οὐ μὴν ἄκρως γε θερμὸν, ἀλλὰ ἐκ τῆς τρίτης που τάξεως·
οὐδὲν δὲ οὕτω ξηραίνει τῶν ἐξ ἴσου θερμαινόντων αὐτῷ διὰ τὸ λε-
πΊομερὲς τῆς οὐσίας. Ἡ μέντοι κινναμωμὶς οἷόν περ ἀσθενές ἐσΊι 48

brûle les noix de galle, elles se changent en médicament capable d'arrê-
ter le sang, elles prennent de la chaleur et de l'âcreté, et deviennent
plus subtiles et plus desséchantes qu'auparavant. — La cire a un tem- 45
pérament moyen sous le rapport des deux combinaisons de propriétés
opposées; cependant elle contient aussi quelques particules épaisses et
capables de boucher les pores; elle sert donc de récipient aux autres mé-
dicaments, que ces médicaments soient échauffants, desséchants ou re-
froidissants; mais, si on considère la cire en elle-même, elle appartient
aux substances maturatives faibles qu'on applique à l'extérieur, car elle
contient, à un léger degré, des propriétés chaudes et favorables à la pers-
piration, propriétés dont le miel est très-abondamment pourvu. — La 46
graine de ricin a des propriétés détersives et favorables à la perspiration;
il en est de même de la feuille de cette plante, mais elle est plus faible. —
La cannelle est subtile au suprême degré; cependant elle n'est pas chaude 47
au suprême degré, mais elle appartient, sous ce rapport, au troisième
rang à peu près; toutefois, aucune des substances qui échauffent au même
degré qu'elle, ne dessèche aussi fortement, ce qui tient à la subtilité de
sa substance. La petite cannelle est, pour ainsi dire, une espèce faible de 48

1. δριμ. ἐκ τῆς καύσεως Gal. — 4. τι παχυμ. ACV. — 4-5. ἐσΊὶ φαρμ. τῶν om. A 1ª m. — 5. ξηρ. καί om. Gal. — 6. τῶν ἠρέμα ῥυπΊικῶν Paul. — Ib. τῶν ἀσθ. om. Paul. — 6-7. τῶν ἔξ. ἐπιτ. om. Paul. — 10. ἀλλὰ πάντῃ Gal.; om. ACV. — 11. τῆς om. ACV. — 12. διὰ τό om. A. — 13. τί ἐσΊι Gal.

49 κιννάμωμον· ἔνιοι δὲ αὐτὴν ψευδοκιννάμωμον ὀνομάζουσιν. — Κιρ-
50 καίας ἡ ῥίζα εὐώδης τέ ἐστι καὶ θερμαντική. — Κίσθος ἢ κίσθαρος
51 στυπτικὸς θάμνος. Τὰ μὲν φύλλα καὶ οἱ μικροὶ βλαστοὶ λειωθέντες εἰς τοσοῦτον ξηραίνουσι καὶ στύφουσιν ὡς κολλᾷν τραύματα· τὰ δὲ ἄνθη δραστικώτερα· ξηραίνει γάρ που κατὰ τὴν δευτέραν ἀπό-
52 στασιν πληρουμένην. Ἔστι δὲ ψυχρὸς εἰς τοσοῦτον ὁ θάμνος, ὡς
53 καὶ χλιαρᾶς μετέχειν δυνάμεως. Ἡ δὲ ὑποκιστὶς, ἢ ὑποσχιστὶς, πολύ
54 τι καὶ τῶν φύλλων ἐστὶ στυπτικωτέρα. — Κίσθος ἢ λάδανον· ἐν τοῖς θερμοτέροις χωρίοις οὗτος ὁ κίσθος γεννώμενος κατὰ ἄμφω τοῦ παρὰ ἡμῖν διήλλαξε, τῷ τε τὴν ψύξιν ἀποθέσθαι καὶ τῷ προσ-
55 λαβεῖν θερμότητα. Τὸ δὲ καλούμενον λάδανον ἐξ αὐτοῦ γίνεται, φάρμακον θερμὸν μὲν κατὰ τὴν πρώτην ἀπόστασιν ἤδη που συμ-
56 πληρουμένην, μετέχον δὲ καὶ στύψεώς τινος βραχείας. Ἔστι δὲ καὶ

49 cannelle; quelques-uns appellent cette substance *fausse cannelle*. — La
50 racine de cynanque (*C. monsp.*) est odoriférante et échauffante. — Le
51 cistus ou *cistharus* est un arbrisseau astringent. Ses feuilles et ses petites pousses, employées à l'état de trituration, dessèchent et resserrent à un tel degré, qu'ils agglutinent les plaies; les fleurs sont plus efficaces en-
52 core, car elles dessèchent au second degré accompli à peu près. C'est un arbrisseau froid, mais il ne l'est qu'à un tel degré que cela ne l'em-
53 pêche pas de contenir des propriétés tièdes. L'hypociste, ou *hyposchiste*,
54 est encore beaucoup plus astringente que les feuilles. — Le cistus ou ladanum : si cette espèce de cistus est venue dans des pays très-chauds, elle diffère de celui qui croît dans nos contrées, sous deux rapports : en ce qu'il perd ses propriétés refroidissantes et en ce qu'il prend de la cha-
55 leur. La substance appelée ladanum est un produit de la première plante; c'est un médicament chaud au premier degré accompli à peu près, le-
56 quel possède en même temps un certain léger degré d'astringence. Sa

2. κίθαρος ACV. — 3. μέντοι Gal. — Ib. μακροί C. — 4. τραῦμα C. — Ib. τά om. AV. — 5. δέ om. V. — 7. ὑποκυστὶς ACV. — Ib. ἡ ὑποσχιστής V; ὀνομαζομένη Gal. — 8. δή τι καί Gal. — 10. στύψιν A 1ª m. C. — 11. ἰδίαν τινά (om. Gal.) καὶ διαφορητικὴν θερμότητα Gal., Aët. — 12. ἄριστον φάρμ. Paul. — Ib. περί που τῆς δευτέρας ἀποστάσεως Paul. — 12-13. συμπλ., ὡς καὶ τῆς δευτέρας ἅπτεσθαι Gal., Aët.; om. Paul.

λεπτομερὲς τὴν οὐσίαν, καὶ διὰ ταῦτα πάντα μαλακτικόν τέ ἐστι
μετρίως καὶ διαφορητικὸν, καὶ δηλονότι καὶ συμπεπτικόν. — Κισσὸς 57
ἐξ ἐναντίων σύγκειται δυνάμεων· ἔχει μὲν γάρ τι καὶ στυπτικῆς
οὐσίας, ἣν δὴ γεώδη ψυχρὰν ἐδείκνυμεν, ἔχει δὲ καὶ δριμείας, ἣν
θερμὴν εἶναι καὶ ἡ γεῦσις μαρτυρεῖ, καὶ τρίτης δὲ ἐπὶ ταύταις
ὑδατώδους οὐσίας μετέχει χλιαρᾶς ὅ γε χλωρός. — Κλινοπόδιον 58
τῆς τρίτης ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων. —
Κόμαρος στρυφνὸν τὸ δένδρον ἅμα τῷ καρπῷ· μιμαίκυλον δὲ ὀνο- 59
μάζουσιν αὐτόν. — Κόμμι ξηραντικῆς ἐστι καὶ ἐμπλαστικῆς δυνά- 60
μεως καὶ τραχυτήτων ἰατικῆς. — Κονία ῥυπτικωτάτη καὶ ξηραντι- 61
κωτάτη πασῶν ἐστιν ἥ τε ἐκ τῆς συκίνης τέφρας καὶ τῆς τῶν
τιθυμάλλων, καὶ σχεδὸν ἤδη τῆς καλουμένης σηπτικῆς δυνάμεως.
— Κόνυζα καὶ ἡ μείζων καὶ ἡ μικροτέρα δριμείας καὶ πικρᾶς τυγχά- 62
νουσαι κράσεως τῆς τρίτης εἰσὶ τάξεως ἐν τῷ θερμαίνειν καὶ ξη-
ραίνειν. Ἔστι δὲ τρίτον εἶδος κονύζης ἐν ὑγροτέροις χωρίοις φυό- 63

substance est, en outre, subtile, et, pour toutes ces raisons, il est mo-
dérément ramollissant, favorable à la perspiration et maturatif bien en-
tendu. — Le lierre est un composé de propriétés opposées : en effet, il 57
contient, jusqu'à un certain point, des éléments astringents, qui, ainsi
que nous l'avons montré (p. 479, l. 8), sont froids et terreux; il con-
tient aussi des éléments âcres, lesquels sont chauds, comme le goût le
témoigne; enfin, il contient, de plus, en troisième lieu, une substance
aqueuse, tiède, du moins quand il est vert. — Le clinopode appartient 58
à la troisième classe des échauffants et des desséchants. — Le fraisier en 59
arbre est très-âpre, ainsi que son fruit; on l'appelle arbouse. — La gomme 60
a des propriétés desséchantes et capables de boucher les pores et de
guérir les aspérités. — Lessive : l'espèce la plus détersive et la plus dessé- 61
chante est celle qu'on tire de la cendre du bois du figuier ou des tithy-
malles; elle est presque déjà douée de la propriété qu'on appelle putré-
factive. — La *conyze*, aussi bien la grande que la petite, appartient au 62
troisième rang des échauffants et des desséchants, parce qu'elle a un tem-
pérament âcre et amer. Il y a une troisième espèce de conyze qui croît 63

1. πάντα om. Gal. — Ib. τέ om. V. Aët. — 4. ἐδείκν. ὑπάρχειν Gal. — 9-10. δυν. καὶ ἐμπλ. C. — 10. Κονία ἡ στακτή A. — 11. συκίνης..... τῆς om. V. — 13. μικρά Gal. — 13-14. τυγχάνουσα A. — 15. δὲ καὶ τρ. Gal., Aët.

64 μενον, ἀμφοῖν δυσωδέστερον καὶ ἀσθενέστερον. — Κορίαννον, ἢ
κόριον, ἐξ ἐναντίων σύγκειται δυνάμεων, πολὺ μὲν ἔχουσα πικρᾶς
οὐσίας, ἥ τις ἐδείκνυτο λεπτομερὴς ὑπάρχειν θερμὴ γεώδης, οὐκ
ὀλίγον δὲ καὶ ὑδατώδους ὑγρότητος χλιαρᾶς κατὰ δύναμιν· ἔχει δέ
65 τι καὶ στύψεως ὀλίγον. — Κόστος βραχείας μὲν πάνυ τῆς πικρᾶς,
πλείστης δὲ τῆς δριμείας καὶ θερμῆς μετέχει ποιότητος, ὡς ἤδη
66 καὶ ἑλκοῦν· ἐνυπάρχει δὲ αὐτῷ καὶ φυσώδης ὑγρότης. — Κοτυλη-
δὼν ὑγρᾶς ὑποψύχρου δυνάμεώς ἐστι καί τινος ἀμυδρῶς στυφούσης,
καὶ σὺν αὐτῇ βραχείας πικρᾶς, ὅθεν ἐμψύχει καὶ ἀποκρούεται καὶ
67 ῥύπτει καὶ διαφορεῖ. — Κρανίας τοῦ δένδρου καὶ ὁ καρπὸς μὲν
στρυφνὸς ἱκανῶς ἐστι, καὶ τὰ φύλλα δὲ καὶ οἱ βλαστοὶ στρυφνοὶ
68 καὶ ξηραίνουσιν ἰσχυρῶς. — Κράμβη ξηραντικῆς ἐστι δυνάμεως,
οὐ μὴν ἤδη γέ πω δριμείας ἐναργῶς, οἱ δὲ καυλοὶ τῆς κράμβης

dans les pays plus ou moins humides, et qui a une mauvaise odeur plus
64 prononcée et des propriétés plus faibles. — La coriandre, ou *corium*, est
un composé de propriétés opposées, puisqu'elle contient une forte propor-
tion de substance amère, qui, ainsi que nous l'avons montré (p. 479, l. 10),
est subtile, terreuse et chaude, et qu'elle contient aussi une assez grande
quantité de liquide aqueux doué de propriétés tièdes; elle possède, en
65 outre, un certain degré d'astringence. — Le costus contient une quan-
tité tout à fait minime de qualités amères et une très-forte proportion de
qualités âcres et chaudes, jusqu'au point de causer déjà des plaies; il y
66 existe aussi un liquide flatulent. — Le cotylédon a des propriétés hu-
mides, légèrement froides, jusqu'à un certain point des propriétés fai-
blement astringentes, et, en outre, des propriétés amères peu pronon-
cées : par conséquent, il refroidit, répercute, déterge et favorise la
67 perspiration. — Le fruit de l'arbre appelé cornouiller est extrêmement
âpre; ses feuilles et ses jeunes pousses sont âpres aussi et dessèchent
68 fortement. — Le chou a des propriétés desséchantes; cependant ces
propriétés ne vont pas jusqu'à être manifestement âcres; mais, si on
brûle les tiges du chou, elles fournissent des cendres fortement dessé-

3. ὑπάρχει A C V. — Ib. θερμὴ] καὶ Gal. — 4. ὀλίγης Gal. — 7. αὐτῷ τις τῇ κράσει φυσώδης Gal. — 8. καὶ ψυχρᾶς Aët. — Ib. ὑποστυφούσης Gal. — 11-12. στρ. γενόμενοί εἰσι καί Gal. — 12. Κράμβη ἐδώδιμος Gal. — Ib. ξηραντικῆς] μικτῆς Aët. — 13. ἱκανῶς Gal.

καυθέντες ἰσχυρῶς ξηραίνουσαν ποιοῦσι τέφραν, ὡς ἤδη τι καὶ τῆς
καυστικῆς μετέχειν δυνάμεως. Κράμβη ἀγρία ξηροτέρα καὶ θερμο- 69
τέρα τῆς ἡμέρου τὴν κρᾶσίν ἐστιν, ὅθεν οὐδὲ εἴσω τοῦ σώματος
ἀλύπως λαμβάνεται, καὶ διαφορεῖ δὲ καὶ ἀποῤῥύπτει τῆς ἡμέρου
σφοδρότερον. Κράμβη θαλασσία πρὸς τῷ τὴν γαστέρα λαπάττειν 70
ὑφάλμυρός τε καὶ ὑπόπικρός ἐστιν. — Κραταιογόνου τῆς πόας ὁ 71
καρπὸς δριμύς ἐστι καὶ σφοδρός. — Κρῆθμον ἁλμυρόν πως ἐστιν 72
ἅμα βραχείᾳ πικρότητι· διὸ καὶ ἡ δύναμις αὐτοῦ ῥυπτική τε ἅμα
καὶ ξηραντική. — Κριθαὶ τῆς πρώτης εἰσὶ τάξεως ἐν τῷ ξηραίνειν 73
καὶ ψύχειν, ἔχουσι δέ τι καὶ ῥυπτικὸν ὀλίγον. Τὰ δὲ ἄλφιτα πολὺ 74
τῶν κριθῶν εἰσι ξηραντικώτερα. — Κρίνου τὸ μὲν ἄνθος τῇ κράσει 75
μικτόν ἐστιν ἐκ λεπτομεροῦς τέ τινος οὐσίας γεώδους, ἐξ ἧς περ
ἔχει καὶ τὴν ἐν τῇ γεύσει πικρότητα, καί τινος ὑδατώδους εὐκρά-
του, ὅθεν καὶ τοὔλαιον τὸ ἐξ αὐτοῦ καὶ τὸ μύρον ἀδήκτου διαφορη-
τικῆς τε καὶ μαλακτικῆς ἐστι δυνάμεως· καὶ αἱ ῥίζαι δὲ καὶ τὰ φύλλα

chantes, à tel point qu'elles possèdent déjà un certain degré de proprié-
tés caustiques. Le chou sauvage a un tempérament plus sec et plus chaud 69
que le chou cultivé; par conséquent, on ne saurait le prendre sans in-
convénient à l'intérieur du corps, et il déterge et favorise la perspira-
tion plus fortement que le chou cultivé. Outre que le chou marin relâche 70
le ventre, il est légèrement salé et légèrement amer. — Le fruit de 71
l'herbe appelée crucianelle est âcre et violent. — Le fenouil de mer est, 72
en quelque sorte, salé, propriété à laquelle il s'ajoute une légère amer-
tume : pour cette raison, il a des vertus à la fois détersives et dessé-
chantes. — L'orge appartient à la première classe des desséchants et 73
des refroidissants; elle a, en outre, quelque chose de légèrement déter-
sif. L'alphiton est beaucoup plus desséchant que l'orge. — La fleur du 74-75
lis a un tempérament composé d'une substance subtile et terreuse, à
laquelle elle doit sa saveur amère, et d'une substance aqueuse tempé-
rée : voilà pourquoi l'huile et le parfum qu'on en fait ont des propriétés
ramollissantes et favorables à la perspiration, sans qu'ils causent de
picotements; si on triture les racines et les feuilles de lis toutes seules,

2. μετέχει V. — 2-3. θερμοτέρα πολλῷ Aët. — 3. οὐδέν C. — 5. σφοδρότερα A. — 7. σφοδρῶς χρωμένοις Gal.; ψυχρός Paul. — Ib. πώς ἐστιν om. C. — 11. τῇ om. Gal. — 15. καὶ μαλακτικῆς om. V.

κατὰ ἑαυτὰ λειούμενα ξηραίνει καὶ ῥύπτει καὶ διαφορεῖ μετρίως. —
76 Κροκοδειλίου τὸ σπέρμα δριμὺ τυγχάνον θερμῆς ἂν εἴη δυνάμεως
77 καὶ διαφορητικῆς καὶ ξηραντικῆς. Καὶ ὁ χυλὸς δὲ τοῦ καυλοῦ καὶ
78 τοῦ σπέρματος τῆς αὐτῆς ἐστι δυνάμεως. — Κρόκος ἔχει μέν τι καὶ
στῦφον ὀλίγον ὅ περ ἐδείχθη γεῶδες ψυχρὸν, ἐπικρατεῖ δὲ ἐν αὐτῷ
θερμαίνουσα ποιότης, ὥστε τὴν οὐσίαν αὐτοῦ ὅλην τῆς δευτέρας
μὲν εἶναι τῶν θερμαινόντων τάξεως, τῆς πρώτης δὲ τῶν ξηραινόν-
79 των, καὶ διὰ τοῦτο καὶ πεπτικὸν ἔχει τι. — Κρόμμυον ἐκ τῆς
τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων, ἡ δὲ οὐσία παχυμερής
80 ἐστιν. — Κύαμος τῆς μέσης κράσεώς ἐστιν ἐγγυτάτω κατὰ ἑκάτερα
κατά τε τὸ ξηραίνειν καὶ ψύχειν, μετέχει δέ τινος ἐπὶ ὀλίγον καὶ
ῥυπτικῆς δυνάμεως ἡ σὰρξ αὐτοῦ, καθάπερ τὸ λέμμα τῆς στυπτικῆς.
81 — Κυκλάμινος ποικίλη τὴν δύναμίν ἐστιν· καὶ γὰρ καὶ ῥύπτει
82 καὶ τέμνει καὶ ἀναστομοῖ καὶ ἐπισπᾶται καὶ διαφορεῖ. Ἡ ῥίζα δὲ

elles dessèchent, détergent, et favorisent modérément la perspiration. —
76 Puisque la graine du chardon à épines vertes est âcre, elle aura des pro-
77 priétés chaudes, favorables à la perspiration et desséchantes. Le suc de
78 la tige et de la graine de cette plante a les mêmes propriétés. — Le safran
a d'abord quelque chose de légèrement astringent, ce qui est, comme
nous l'avons montré (p. 479, l. 8), une qualité terreuse et froide; mais,
ce qui prédomine en lui, ce sont les propriétés échauffantes : toute
sa substance appartient donc à la seconde classe des échauffants et à la
première des desséchants, et, pour cette raison, il a aussi quelque chose
79 de maturatif. — L'oignon appartient à la quatrième classe des échauf-
80 fants, et sa substance est composée de particules épaisses. — La fève se
rapproche de très-près du tempérament moyen sous les deux rapports,
sous celui des propriétés desséchantes et sous celui des propriétés refroi-
dissantes; sa chair contient, en outre, un certain degré de propriétés
légèrement détersives, comme son écorce contient des propriétés astrin-
81 gentes. — Le cyclame possède des propriétés variées : en effet, il est
82 détersif, incisif, apéritif, attractif et favorable à la perspiration. La racine

4. καί om. AC. — 9. τάξεως] δυνάμεως ACV; κράσεως Aët. — 10. ἐστιν αὐτοῦ μᾶλλον. Κύαμ. Gal. — 13. ποικίλος Gal. — 14. Ἡ δὲ ὅλη ῥίζα V Aët.

τοῦ χυλοῦ μέν ἐστιν ἀσθενεστέρα, σφοδροτέρα δέ ἐστι καὶ αὐτή. Ἡ 83
δὲ ἑτέρα κυκλάμινος, ἣν καὶ κισσάνθεμον ὀνομάζουσι, τὴν ῥίζαν
ἄχρηστον ἔχουσα, τὸν καρπὸν ἔχει δραστικὸν ἱκανῶς· ἡ πικρότης
δὲ αὐτοῦ δριμεῖά τε καὶ ὑπόγλισχρός ἐστιν. — Κυμίνου τὸ σπέρμα 84
τῆς τρίτης τάξεώς ἐστι τῶν θερμαινόντων, ἄφυσον ὑπάρχον. —
Κυνοσβάτου ὁ μὲν καρπὸς οὐκ ἀγεννῶς στυπτικός ἐστι, τὰ δὲ φύλλα 85
μετρίως. Φυλάττεσθαι δὲ δεῖ τὸ ἐν τῷ καρπῷ ἐριῶδες, ὡς κακωτι- 86
κὸν τῆς ἀρτηρίας. — Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοὶ καὶ 87
τὰ σφαιρία τὰ νέα καὶ μαλακὰ ξηραντικῆς ἐστι δυνάμεως, οὐδὲν
ἐπιφανὲς ἐχούσης δριμὺ καὶ θερμὸν, ὥσπερ οὖν καὶ ἡ γεῦσις μαρ-
τυρεῖ· φαίνεται γὰρ αὐτῇ βραχὺ μέν τι δριμὺ, πλεῖστον δὲ τὸ πι-
κρὸν, καὶ πολὺ πλέον ἔτι τὸ στρυφνὸν ἐν ὅλῳ τῷ φυτῷ. Τοσοῦτον 88
δέ ἐστιν ἐν αὐτῷ τὸ δριμὺ καὶ θερμὸν, ὅσον ποδηγεῖν μὲν τῇ στρυ-
φνότητι πρὸς τὸ βάθος, οὐδεμίαν δὲ αὐτὸ θερμότητα καὶ δῆξιν
ἐργάζεσθαι. — Κυπέρου αἱ ῥίζαι θερμαίνουσι καὶ ξηραίνουσι χωρὶς 89

de cette plante est plus faible que le suc; cependant elle est encore assez
active aussi. L'autre espèce de *cyclame*, qu'on appelle aussi *cissanthème* 83
et dont la racine ne sert à rien, a un fruit très-actif, mais son amertume
est âcre et légèrement visqueuse. — La graine de cumin appartient à la 84
troisième classe des échauffants, et elle dissipe les vents. — Le fruit de 85
l'églantier est vigoureusement astringent, et ses feuilles le sont modéré-
ment. Il faut prendre garde à la partie laineuse de ce fruit, parce qu'elle 86
fait du tort à la trachée-artère. — Les feuilles, les jeunes pousses et les 87
boules jeunes et tendres du cyprès ont des propriétés desséchantes
qui ne révèlent aucune âcreté ou chaleur manifestes, comme, d'ailleurs,
le goût nous l'enseigne; en effet, à l'aide de ce sens, on aperçoit une
âcreté légère, une amertume très-fortement prononcée, et une âpreté
beaucoup plus forte encore dans toute la plante. Son âcreté et sa cha- 88
leur sont justement assez fortes pour conduire son âpreté jusqu'au fond
du corps, mais non pour produire la moindre chaleur ou le moindre
picotement. — Les racines de souchet échauffent et dessèchent sans 89

1. σφοδρά Gal. — Ib. δέ τι ACV. — 3. ποιότης Gal. — 7. δεῖ om. Gal. — 7-8. ἀρτηρίας κακωτικόν Gal. — 11. ἐν αὐτῇ Gal. — Ib. τι τὸ δριμύ Gal. — 13. δέ om. C. — Ib. τὸ θερμόν Gal. — 13-14. τὴν στρυφνότητα Gal.

90 δήξεως, ἔχουσι δέ τι καὶ σΊυπΊικὸν καὶ τμητικόν. — Κύπρου τὰ
φύλλα καὶ οἱ ἀκρέμονες μικτῆς εἰσι δυνάμεως· ἔχει μὲν γάρ τι καὶ
διαφορητικὸν ἐξ ὑδατώδους οὐσίας θερμῆς συμμέτρως· ἔχει δέ τι
καὶ σΊυπΊικὸν ἐκ ψυχρᾶς γεώδους, ὥσΊε ἀλύπως καὶ ἀδήκτως ξη-
91 ραντικά τε καὶ τμητικά ἐσΊιν. — Κυτίσου τὰ φύλλα διαφορεῖ, ἔχει
92 δὲ μεμιγμένην καὶ ὑδατώδη τινὰ δύναμιν. — Κώνειον, ὅτι τῆς
93 ἄκρως ψυκτικῆς ἐσΊι δυνάμεως, ἅπαντες ἴσασιν. — Κώνου ὁ καρ-
πὸς ὅλος μὲν χλωρὸς ἔχει τι μετὰ ὑγρότητος πικρὸν καὶ δριμύ·
ὁ δὲ ἐδώδιμος ἀποβραχεὶς ἀδηκτότατος καὶ ἐμπλασΊικώτατος γίνε-
ται, καὶ θερμῆς καὶ ψυχρᾶς ποιότητος ἐν τῷ μέσῳ καθέσΊηκεν,
ἐξ ὑδατώδους καὶ γεώδους οὐσίας κεκραμένος, ἀερώδους δὲ ἥκισΊα
μετέχων.

causer de picotements; elles ont, en outre, quelque chose d'astringent
90 et d'incisif. — Les feuilles et les pointes d'alcanna ont des propriétés
mélangées : en effet, elles ont quelque chose de favorable à la perspira-
tion, ce qui provient d'une substance aqueuse modérément chaude, et
elles ont, en outre, quelque chose d'astringent qui tient à une substance
froide et terreuse : elles sont donc desséchantes et incisives, sans qu'elles
91 causent, soit des picotements, soit d'autres inconvénients. — Les feuilles
de la luzerne en arbre sont favorables à la perspiration, avec mélange
92 d'une certaine propriété aqueuse. — Tout le monde sait que la ciguë
93 a des propriétés refroidissantes au suprême degré. — Toute l'inflores-
cence du pin cultivé est douée, quand elle est verte, d'un peu d'amer-
tume et d'âcreté accompagnées d'humidité; mais, quand on soumet à la
macération sa partie bonne à manger, elle devient éminemment propre
à boucher les pores et complétement dépourvue de l'inconvénient de
causer des picotements; par ses qualités, elle tient le milieu entre le
chaud et le froid, et elle est composée d'une substance aqueuse et
d'une substance terreuse, sans contenir la moindre parcelle de substance
aérienne.

2. οἱ ἀκρ. καὶ τὰ ἄνθη Aët. — 4. τῆς ψυχώσεως Gal. — 5. τε καὶ τμητικά om. Gal. — 6. ὑδατώδει χλιαρᾷ Gal. — 7. ὁ om. ACV. — 9. ἐδ. ἐξ αὐτοῦ καρπός Gal. — Ib. ἐν ὕδατι βρεχθεὶς Gal. — 9-10. γίνεται· θερμῆς Gal.

§ 11. — Λαγώπους ξηραντικῆς ἐστι δυνάμεως. — Λαμψάνη 1-2
καταπλασσομένη ῥυπτικὸν ἔχει τι καὶ διαφορητικόν. — Λάπαθον 3
διαφορητικῆς μετρίως ἐστὶ δυνάμεως· τὸ δὲ ὀξυλάπαθον μετὰ τοῦ
διαφορεῖν καὶ ἀποκρουστικόν τι ἔχει, τὸ δὲ σπέρμα αὐτῶν σαφῶς
στυπτικόν ἐστιν. Τὸ δὲ ἱππολάπαθον μετὰ τοῦ διαφορεῖν καὶ ἀπο- 4
κρουστικῆς ἐστι δυνάμεως, ἀσθενεστέρας δέ. — Λειμωνίου ὁ καρπὸς 5
αὐστηρὸς ὑπάρχει. — Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν ῥυπτικῆς ἐστι καὶ 6
μετρίως ψυχούσης δυνάμεως, ξηραντικῆς μέντοι κατὰ ἄμφω. — Λεον- 7
τοπετάλου ἡ ῥίζα διαφορεῖ, ξηραίνει, θερμαίνει κατὰ τὴν τρίτην
τάξιν. — Λεπίδιον ἐκ τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων. 8
— Λευκὰς δριμείας ἐστὶ ποιότητος, θερμαίνει δὲ καὶ ξηραίνει κατὰ 9
τὴν τρίτην τάξιν. — Λευκακάνθου ἡ ῥίζα πικρά· διὸ τέμνει καὶ 10
ξηραίνει κατὰ τὴν τρίτην τάξιν, ἐν δὲ τῷ θερμαίνειν ἐκ τῆς πρώ-

§ 11. — Le trèfle des champs a des propriétés desséchantes. — La mou- 1-2
tarde blanchâtre a quelque chose de détersif et de favorable à la perspi-
ration, si on l'emploie sous forme de cataplasme. — La patience a des 3
propriétés modérément favorables à la perspiration; la patience sauvage
ne favorise pas seulement la perspiration, mais elle a aussi quelque chose
de répercussif; la graine de ces plantes est manifestement astringente.
La patience d'eau a, outre qu'elle favorise la perspiration, des propriétés 4
répercussives, mais plus faibles que celles de l'espèce précédente. — Le 5
fruit de la saladelle est âpre. — Le lichen qui croît sur les rochers est 6
doué de propriétés détersives et modérément refroidissantes, et il des-
sèche sous ces deux rapports. — La racine de saponaire d'Espagne favo- 7
rise la perspiration et dessèche et échauffe au troisième degré. — Le 8
cresson alénois appartient à la quatrième classe des échauffants. — Le 9
lamium strié possède des qualités âcres, et il échauffe et dessèche au
troisième degré. — La racine de centaurée de Dalmatie est amère : pour 10
cette raison, elle est incisive et dessèche au troisième degré; mais, sous
le rapport de son action échauffante, elle n'appartient qu'au premier.

1. Λαγόπους AC; Λαγώπουν Gal. — 2. καταπασσ. C. — Ib. τι om. C. — 5. ὑπολάπαθον V. — 6. δέ om. V. — Ib. Λειμωνείου A; Λειμωνίου ἢ κυνογλώσσου Aët. — 8-9. Λεοντοποδίου ἢ λεοντοπετ. Aët. — 11. ποιότ. ἐπικρατούσης Gal. — Ib. κράσεως δὲ θερμῆς καὶ ξηρᾶς Gal. — 12. που τάξιν Gal.

11 της ἐσΊὶ τάξεως. — Λευκοΐου καὶ σύμπας μὲν ὁ θάμνος ῥυπΊικῆς
ἐσΊι καὶ λεπΊομεροῦς δυνάμεως, ἐπὶ μᾶλλον δὲ αὐτῆς μετέχει τὰ
12 ἄνθη, καὶ τούτων τὰ ξηρότερα τῶν χλωρῶν μᾶλλον. ἜσΊι δὲ καὶ
13 πικρὸν, εἴπερ τι καὶ ἄλλο. Καὶ ὁ καρπὸς δὲ αὐτοῦ τῆς αὐτῆς ἐσΊι
δυνάμεως, καὶ αἱ ῥίζαι δὲ αὐτοῦ ὁμοίως, πλὴν ὅτι παχυμερέσΊεραί
14 τέ εἰσι καὶ γεωδέσΊεραι. — Λεύκη τὸ δένδρον μικτόν ἐσΊί πως τὴν
κρᾶσιν ἐξ ὑδατώδους τε χλιαρᾶς καὶ γεώδους λελεπΊυσμένης οὐσίας,
15 ὅθεν καὶ τῆς ῥυπΊικῆς μετέχει δυνάμεως. — Λιβανωτὸς θερμαντι-
κὸς μέν ἐσΊι κατὰ τὴν δευτέραν τάξιν, ξηραντικὸς δὲ κατὰ τὴν πρώ-
16 την· ἔχει δέ τι καὶ σΊῦφον ὀλίγον. Ὁ δὲ φλοιὸς αὐτοῦ τὴν σΊυπΊικὴν
δύναμιν ἐναργῶς κέκτηται· διὸ καὶ ξηραίνει γενναίως, ὡς ἐν τῇ
δευτέρᾳ τάξει συμπληρουμένῃ τυγχάνειν· ἔσΊι δὲ καὶ παχυμερέ-
17 σΊερος τοῦ λιβανωτοῦ καὶ ἥκισΊα δριμύτητος μετέχων. Ὁ δὲ αἴθαλος
αὐτοῦ ξηροτέρας καὶ θερμοτέρας ἢ κατὰ τὸν λιβανωτόν ἐσΊι δυνά-

11 — Tout l'arbrisseau de la giroflée a des propriétés détersives et subtiles ; mais les fleurs à un degré plus prononcé que le reste de la plante, et les fleurs plus ou moins desséchées participent plus fortement à ces pro-
12 priétés que les fleurs fraîches. Cette plante est amère autant qu'il est pos-
13 sible de l'être. Le fruit de la giroflée est doué des mêmes propriétés ; il en est encore de même de la racine, excepté que cette dernière partie est
14 plus terreuse et composée de particules plus grossières. — Le peuplier blanc a, en quelque sorte, un tempérament mixte composé d'une substance aqueuse tiède et d'une substance terreuse atténuée : par consé-
15 quent, il possède des propriétés détersives. — L'encens est échauffant au deuxième degré et desséchant au premier; il est doué, en outre,
16 d'une légère astringence. Son écorce possède des propriétés manifestement astringentes : elle dessèche donc très-activement, de façon à devoir être placée au deuxième rang accompli sous ce rapport; mais elle est composée de particules plus grossières que l'encens lui-même, et ne possède
17 pas la moindre âcreté. La suie d'encens a des propriétés plus sèches et plus chaudes que cet aromate lui-même, à tel point qu'elle atteint le troi-

4-5. αὐτῆς..... αὐτοῦ om. A 1ª m. — 5. ὅσον Gal. — 6. τέ εἰσι καὶ γεωδ. om. C. — 7. λεπΊομερῆς C. — 10. ὑπο- σΊῦφον Gal. — 13. αἴθαλος ex em.; λίθαλος AC; θαλός V; θαλλός Gal., Paul.

μεως, ὡς εἰς τὴν τρίτην ἀπόσΊασιν ἀφικνεῖσθαι· ἔχει δέ τι καὶ
ῥυπΊικόν. — Λιβανωτίδες αἱ τρεῖς μαλακτικῆς εἰσι καὶ διαφορητι- 18
κῆς δυνάμεως· ἔχουσι δέ τι καὶ ῥυπΊικῆς καὶ τμητικῆς δυνάμεως.
— Λιγνὺς ἅπασα μέν ἐσΊι ξηραντική· διὸ καὶ γεώδης ὑπάρχει τὴν 19
οὐσίαν, ἔχουσά τι καὶ τοῦ καύσαντος τὴν ὕλην πυρὸς λείψανον
ὀλίγον ὄν· ἡ δὲ ὅλη φύσις αὐτῆς γεώδης ἐσΊὶ λεπΊομερής. Αἱ κατὰ 20
εἶδος δὲ ἐν αὐτῇ διαφοραὶ παρὰ τὴν καυθεῖσαν ὕλην γίνονται, ἐκ
μὲν τῆς δριμυτέρας καὶ θερμοτέρας τοιαύτης καὶ τῆς λιγνύος ἀπο-
τελουμένης, ἐκ δὲ τῆς γλυκυτέρας καὶ ἀδηκτοτέρας ὁμοίας κἀνταῦθα
τῆς λιγνύος γινομένης. — ΛιγυσΊικοῦ ἡ ῥίζα καὶ τὸ σπέρμα τῶν 21
θερμαινόντων ἐσΊὶ καὶ ἀφύσων. — Λινόσπερμον θερμόν ἐσΊιν ἐν 22
τῇ πρώτῃ που τάξει, ὑγρότητος δὲ καὶ ξηρότητος ἐν τῷ μέσῳ πως
τέτακται. — Λύκιον διαφορεῖ μὲν ἱκανῶς· ξηραίνει δὲ κατὰ τὴν 23

sième degré quant à ces qualités; elle a aussi quelque chose de détersif.
— Les trois espèces d'*armarinte* sont douées de propriétés ramollissantes 18
et favorables à la perspiration; elles ont, en outre, jusqu'à un certain
point, une action détersive et incisive. — Toute espèce de suie est des- 19
séchante : elle a donc une substance terreuse, tandis qu'elle contient
encore en petite quantité un reste du feu qui a servi à brûler les maté-
riaux dont on l'a faite; mais toute sa nature est terreuse et subtile. Les 20
différences entre les diverses espèces de suie proviennent de la diffé-
rence des substances qu'on a brûlées pour l'obtenir : en effet, une sub-
stance plus ou moins âcre et chaude donnera une suie analogue, et une
substance plus douce et plus exempte de propriétés irritantes fournira
de même, dans ce cas, une suie dans le même genre. — La racine et 21
la graine de laser sermontain appartiennent aux substances desséchantes
et qui chassent les vents. — La graine de lin est chaude au premier 22
degré à peu près; mais, sous le rapport de l'humidité et de la séche-
resse, elle occupe, en quelque sorte, une place intermédiaire. — Le suc 23
de petit nerprun favorise fortement la perspiration; il dessèche au se-

1. ἀφικνεῖται C. — Ib. καί om. AC. — 3. καὶ τμ. δυν. om. C. — 5. κατακαύσαντος Gal. — 6. ὀλίγον ὄν ex em.; ὀλίγανον A; ὀλίγον CV; ἀλλὰ τοῦτο μὲν (πρός aj. Aët.) ὀλίγον Gal., Aët. — Ib. αὐτ. ξηραντικὴ γεώδ. λεπΊ. Aët. — 9. γλυκυτέρας] δριμυτέρας ACV. — Ib. καὶ ἀδηκτ. om. Gal. — 10. ΛιβυσΊικοῦ Gal., Aët. — 12. που Gal., Aët. — 13. οὐκ ὀλίγον Gal.

δευτέραν ἀπόστασιν, ἐν θερμότητι δὲ περὶ τὰ μέσα πως τέτακται.
24-25 Ἔχει δέ τι καὶ στῦφον· διὸ καὶ ῥύπτει καὶ συνάγει. — Λυσιμάχειος
ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν ποιότητα, ἣν κατὰ τύχην ηὗρε
Λυσίμαχος ὁ βασιλεὺς ποιοῦσαν πρὸς αἱμοῤῥαγίαν· τοῦ γὰρ ἵπ-
που τρωθέντος αὐτοῦ καὶ αἱμοῤῥαγοῦντος, παρακειμένην αὐτὴν καὶ
26 ἀγνοουμένην αὐτῷ ἐπέθηκεν ἐπὶ τὸ τραῦμα. Παυσαμένης δὲ τῆς
αἱμοῤῥαγίας, οἱ μετὰ ταῦτα πάντες πρός τε τὰς αἱμοῤῥαγίας αὐτῇ
27 χρῶνται, καὶ ὀνομάζουσιν ἀπὸ τοῦ εὑρόντος λυσιμάχειον. — Λυ-
χνίδος τῆς εἰς τοὺς στεφάνους τὸ σπέρμα θερμόν ἐστι κατὰ τὴν
δευτέραν που τάξιν, ἢ καὶ τρίτην ἤδη, καὶ ξηραῖνον κατὰ τὸν αὐτὸν
28 τρόπον. — Λωτὸς ὁ ἥμερος, ὃν ἔνιοι τρίφυλλον ὀνομάζουσι, ῥυ-
πτικῆς ἐστι μετρίως δυνάμεως, οὕτω δὲ καὶ ξηραντικῆς, ἐν δὲ τῇ
29 κατὰ θερμότητα καὶ ψύξιν συζυγίᾳ μέσος πώς ἐστιν. Ὁ δὲ ἄγριος
λωτὸς ἐν Λιβύῃ μὲν πλεῖστος γεννᾶται· τὸ σπέρμα δὲ αὐτοῦ τῆς

cond degré; mais, pour la chaleur, on devra le ranger dans la classe in-
24 termédiaire. Il a aussi quelque chose d'astringent; pour cette raison, il
25 déterge et contracte. — Dans la lysimachie, ce sont les qualités astrin-
gentes qui prédominent; l'efficacité de cette plante contre l'hémorragie
a été découverte fortuitement par le roi Lysimaque : en effet, son cheval
ayant été blessé et se trouvant en proie à l'hémorragie, il appliqua
sur la plaie cette plante qui lui était inconnue, mais qu'il trouva sous
26 sa main. L'hémorragie s'étant arrêtée, tout le monde se sert, depuis,
de cette plante contre l'accident en question, et la nomme lysima-
27 chie, du nom de celui qui l'a découverte. — La coquelourde, que
l'on emploie pour les couronnes, a une graine chaude au deuxième
degré à peu près, ou même déjà au troisième, et qui dessèche dans la
28 même proportion. — Le *lotus* cultivé, que quelques-uns appellent *trèfle*,
a des propriétés modérément détersives, et, par conséquent, aussi des
propriétés desséchantes; mais, dans la combinaison de qualités opposées
qui tiennent au chaud et au froid, il occupe en quelque sorte une place
29 intermédiaire. Le *lotus* sauvage croît le plus abondamment dans la
Libye; sa graine appartient à la seconde classe des échauffants; elle a

2. Λυσιμάχιος Gal., Aët.; Λυσιμάχιον Paul. — 3. εὗρε A. — 5. περικ. ACV. — 10. καὶ δὴ καὶ ξηρόν Gal. — 11-12. πεπτικῆς Gal.

δευτέρας τάξεώς ἐστι τῶν θερμαινόντων· ἔχει δέ τι καὶ ῥυπτικόν.
Τοῦ δὲ Αἰγυπτίου τὸ σπέρμα καὶ ἀρτοποιοῦνται. Λωτὸς τὸ δένδρον 30-31
στυπτικῆς μὲν ὀλίγης μετέχει ποιότητος· ἔστι δὲ καὶ λεπτομερὲς ξηραντικόν.

§ 12. — Μάκερ φλοιός ἐστι στρυφνὸς ἱκανῶς μετά τινος βραχείας 1
δριμύτητος· ἔοικεν οὖν ἐκ μικτῆς οὐσίας συνεστάναι, τῆς πλείστης μὲν γεώδους, ὀλίγης δέ τινος θερμαντικῆς τε καὶ λεπτομεροῦς, ὅθεν ἐν μὲν τῇ τρίτῃ τάξει τῶν ξηραινόντων ἐστὶν, ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ μηδέτερον ἐπιφανῶς ἐργαζόμενος. — Μαλαβάθρου τὸ φύλλον νάρδου στάχυϊ παραπλήσιόν ἐστι 2
τὴν δύναμιν. — Μαλάχη ἡ μὲν ἀγρία διαφορητικῆς ἠρέμα καὶ μα- 3
λακτικῆς ἐπὶ βραχὺ μετέχει δυνάμεως· ἀσθενεστέρα δὲ ἡ κηπευομένη· ὁ δὲ καρπὸς αὐτῶν εἰς τοσοῦτον ἰσχυρότερός ἐστιν, εἰς ὅσον
καὶ ξηρότερος. Ἡ δὲ ἀναδενδρομαλάχη, ἡ καὶ ἀλθαία, διαφορητικω- 4

aussi quelque chose de détersif. Avec la graine du lotus d'Égypte on 30
fait aussi du pain. L'arbre appelé *lotus* est doué de propriétés légère- 31
ment astringentes ; il est, en outre, subtil et desséchant.

§ 12. — Le macer est une écorce fortement âpre, qui possède en même 1
temps un léger degré d'âcreté : il semble donc que ce médicament est composé d'une substance mélangée : d'abord, pour la majeure partie, d'une substance terreuse, et puis, en petite quantité, d'une substance échauffante et subtile : il appartient donc au troisième rang des desséchants; mais, pour ce qui regarde la distinction entre le chaud et le froid,
il ne produit manifestement aucun des deux effets. — La feuille de fausse 2
cannelle ressemble, quant à ses propriétés, à l'épi de nard. — La *mauve* 3
sauvage a des propriétés qui favorisent doucement la perspiration et qui ramollissent légèrement; la mauve *cultivée* est plus faible ; l'action du fruit de ces plantes surpasse d'autant celle des plantes elles-mêmes,
qu'il leur est supérieur en sécheresse. La *mauve en arbre*, qu'on appelle 4
aussi *althée*, est plus favorable à la perspiration que les espèces dont

2. ἀρτοποιεῖται Gal. — 4. καὶ ξηρ. Gal. — 5. Μάκιρ AV; Μακίρ C. — 6. δριμ. ἀρωματιζούσης Gal. — 7. γεώδους ψυχρᾶς Gal. — Ib. θερμῆς Gal. — 9. διαφοραὶ AC; διάφοραι V. — Ib. μηδ' ἕτερον AC. — 11. ἀτρέμα Gal. — 13. αὐτῆς Gal. — 14. δενδρομαλάχη Gal. — 14-p. 661, 1. διαφορητικωτάτη Gal.

5 τέρα τῶν εἰρημένων ἐστίν. — Μανδραγόρας τῆς τρίτης τάξεώς ἐστι
τῶν ψυχόντων, οὐ μὴν ἀλλὰ καὶ θερμότητός τινος μετέχει, καὶ
κατά γε τὰ μῆλα καὶ ὑγρότητος, ὅθεν καὶ κωματώδη τὴν δύναμίν
6 ἐστιν. Τῆς ῥίζης δὲ ὁ φλοιὸς ἰσχυρότερος ὢν, οὐ ψύχει μόνον, ἀλλὰ
7 καὶ ξηραίνει· τὸ δὲ ἄλλο τὸ ἔνδοθεν ἀσθενὲς ὑπάρχει. — Μάραθρον
θερμαίνει μὲν κατὰ τὴν τρίτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν πρώ-
8 την. Τὸ δὲ ἄγριον, ὃ καλοῦσιν ἱππομάραθρον, οὗ ἡ ῥίζα καὶ τὸ
σπέρμα ξηραντικωτέρας ἐστὶ δυνάμεως τοῦ ἡμέρου· ἕτερον δὲ ἔστιν
ἱππομάραθρον, οὗ τὸ σπέρμα στρογγύλον τέ ἐστι καὶ δριμὺ, ὅμοιον
9 μὲν τῇ δυνάμει τῷ τοῦ ἱππομαράθρου, ἀσθενέστερον δέ. — Μαστίχη
ἡ μὲν λευκὴ καὶ Χία στύφει, μαλάσσει, κατὰ τὴν δευτέραν ἀπόστα-
σιν θερμαίνουσα καὶ ξηραίνουσα· ἡ δὲ μέλαινα ἡ Αἰγυπτία ξηραίνει
10 τε μᾶλλον αὐτῆς καὶ ἧττον στύφει. — Μελάνθιον θερμαίνει μὲν
καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν, ἔοικε δὲ καὶ λεπτομερὲς ὑπάρ-

5 nous venons de parler. — La mandragore appartient à la troisième
classe des refroidissants ; cependant, cela ne l'empêche pas de posséder
un certain degré de chaleur, et, au moins dans les pommes, aussi de
l'humidité : c'est pour cette raison qu'elles ont la propriété de produire le
6 coma. L'écorce de la racine, laquelle est la partie la plus active, ne re-
froidit pas seulement, mais dessèche aussi ; le reste de la racine, et qui
7 occupe l'intérieur, est faible. — Le fenouil échauffe au troisième degré
8 et il dessèche au premier. Le *fenouil sauvage,* qu'on appelle *fenouil de
cheval,* a une racine et une graine douées de propriétés plus dessé-
chantes que le fenouil cultivé ; il y a encore une autre espèce de fenouil
de cheval, dont la graine est ronde et âcre, et ressemble, pour ses pro-
priétés, à celle de l'autre *fenouil de cheval,* quoiqu'elle soit plus faible. —
9 Le mastix blanc de Chios est astringent et ramollissant, puisqu'il échauffe
et dessèche au second degré ; le mastix noir d'Égypte dessèche plus for-
10 tement que celui de Chios, mais il est moins astringent. — La nielle
échauffe et dessèche au troisième degré, et il semble qu'elle est subtile :

2. *καί* om. V. — 3. *κωματώδης* ACV. — 4. *ἰσχυρότατος* Gal. — 5. *ἄλλο ἔνδοθεν* A; *ἄλλο τὸ ἔνδον* Gal., Aët. — Ib. *Μάραθον* ACV. — 7. *διὰ τὸ μέγεθος ἱππομάραθρον* Gal. — 10. *τ. δυν. τοῦ ἱππομαράθου* AV; *τ. δυν. τοῦ ἱπποκράτους* (sic) C. — 11. *Χία συνήθως ὀνομαζομένη* Gal. — 12. *μέλ. καὶ Αἰγ.* C; *μέλ. ἡ Αἰγ. προσαγορευομένη* Gal., Aët. — 13. *καὶ διαφορεῖ καί* Paul.

χειν· καὶ τέμνει οὖν καὶ ῥύπτει, πικρότητα ἔχον. — Μελίλωτον 11
ἔχει μέν τι καὶ σΊυπτικὸν, ἀλλὰ καὶ διαφορεῖ καὶ συμπέτΊει· πλέον
γὰρ ἐν αὐτῷ τὸ τῆς Θερμῆς οὐσίας ἐσΊὶν ἤπερ τὸ τῆς ψυχρᾶς. —
Μέλι καὶ Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν· ἔσΊι δὲ 12
ἁπλῆς, ὡς ἔνι μάλισΊα, δυνάμεως, τῆς ῥυπΊικῆς. Ἑψηθὲν δὲ ἧτΊον 13
γίνεται δριμὺ καὶ ῥυπΊικόν. Εἰ δέ τι μέλι πικρόν ἐσΊι, πρόδηλον 14
ὅτι μικτῆς ὑπάρχει δυνάμεως, ὡς εἰ καὶ ἡμῶν τις ἀψίνθιον ἔμιξεν
αὐτῷ. Καὶ τὸ σάκχαρ δὲ καλούμενον, μέλιτος εἶδος ὂν, ἧτΊον μέν 15
ἐσΊι γλυκὺ τοῦ παρὰ ἡμῖν, παραπλήσιον δὲ αὐτῷ κατὰ τὰ ἄλλα·
κατὰ ὅσον δὲ οὔτε κακοσΊόμαχόν ἐσΊιν, οὔτε διψῶδες, ἀποκεχώ-
ρηκεν αὐτοῦ. — Μελισσόφυλλον πρασίῳ μὲν παραπλήσιόν ἐσΊι 16
τὴν δύναμιν, ἀπολείπεται δὲ αὐτοῦ πάμπολυ· διὸ περιτΊὸν τὸ χρῆ-
σθαι μελισσοφύλλῳ, παρόντος ἀφθόνως πρασίου πανταχοῦ. —
Μεσπίλου τοῦ δένδρου σΊρυφνός ἐσΊιν ἱκανῶς ὁ καρπός· ἔσΊι δὲ 17

elle est donc incisive et détersive, puisqu'elle est douée d'amertume. —
Le mélilot a quelque chose d'astringent; mais il favorise aussi la perspi- 11
ration et la maturation, car il contient une plus forte proportion de
substance chaude que de substance froide. — Le miel échauffe et des- 12
sèche au second degré; il a, autant que cela est possible, des propriétés
simples, nommément des propriétés détersives. Si on le fait bouillir, il 13
devient moins âcre et moins détersif. Si on a affaire à du miel amer, il 14
est clair que ce miel a des propriétés mixtes, comme si quelqu'un de
nous y avait mis de l'absinthe. La substance qu'on appelle sucre et qui 15
est une espèce de miel, a moins de goût sucré que le miel de nos con-
trées; du reste, il lui ressemble; seulement, il en diffère sous ce rap-
port qu'il ne fait pas de tort à l'orifice de l'estomac et qu'il ne cause
pas de soif. — La mélisse ressemble au marrube eu égard à ses pro- 16
priétés, mais elle lui est de beaucoup inférieure : il est donc superflu
d'employer la mélisse, puisque le marrube se trouve partout en abon-
dance. — Le fruit du néflier est d'une âpreté très-prononcée; les jeunes 17

1. Μελίλωτος Aët. — 2. συμπέπΊει A Gal. — 9. κ. τ. ἄ] καθ' ὅσον ἀποῤῥύπΊει καὶ ξηραίνει καὶ διαφορεῖ Gal. — 13. οὕτως ἀφθόνως Gal. — Ib. πανταχόθεν τῆς γῆς Gal. — 14. Μέσπιλα· οἱ δὲ τρίκοκκα Paul.

κἀν τοῖς βλασῖοῖς αὐτοῦ κἀν τοῖς φύλλοις ἡ σῖρυφνὴ ποιότης οὐκ
18 ὀλίγη. — Μηδίου ἡ μὲν ῥίζα αὐσῖηρά τέ ἐσῖι καὶ ῥευμάτων ἐφε-
κτική· τὸ δὲ σπέρμα λεπῖομεροῦς καὶ τμητικῆς ὑπάρχει δυνάμεως.
19 — Μήκωνος πάσης ἡ δύναμίς ἐσῖι ψυκτική, ἀλλὰ τῆς μὲν κη-
πευομένης ὑπνῶδες μετρίως τὸ σπέρμα, λευκὸν ὀφθῆναι· τῆς δὲ τὸ
ἄνθος ταχέως ἀποβαλλούσης ἰσχυρότερον ψύχει τὸ σπέρμα, ὥσῖε
20 αὐτῷ οὐκ ἂν χρήσαιτό τις ἀλύπως μόνῳ. Τῶν δὲ ἀγρίων ἡ μὲν οἷον
καθημένην ἔχουσα τὴν κωδύαν ἤδη φαρμακῶδες ἔχει τὸ σπέρμα
ψῦχον ἱκανῶς, μέλαν ὑπάρχον· ἡ δὲ ἑτέρα, ἐπιμηκεσῖέραν ἔχουσα
τὴν κωδύαν, φαρμακωδεσῖάτη πασῶν ἐσῖι, καὶ κατὰ τὸ σπέρμα καὶ
κατὰ τὰς κωδύας καὶ κατὰ τὰ φύλλα καὶ κατὰ τὸν ὀπόν· ἰσχυρῶς
21 γὰρ ψύχει, μέχρι νάρκης ἄγουσα καὶ νεκρώσεως. — Μήκων κερα-
22 τῖτις δύναμιν ἔχει ῥυπῖικὴν καὶ τμητικήν. — Μηλέας οὐ πάσης
ἐσῖὶ μία φύσις, ὥσπερ οὐδὲ τοῦ καρποῦ· τὰ μὲν γάρ ἐσῖι γλυκέα

pousses et les feuilles de cet arbre sont également douées de qualités
18 âpres assez notables. — La racine du liseron à feuilles d'althée est lé-
gèrement âpre, et tarit les fluxions; la graine de cette plante a des pro-
19 priétés subtiles et incisives. — Tout pavot a des propriétés refroidis-
santes; mais le pavot cultivé a une graine de couleur blanche, laquelle
est modérément somnifère; celle du pavot qui perd prématurément
ses fleurs refroidit plus fortement, raison pour laquelle on ne peut
20 l'employer toute seule sans inconvénient. Parmi les espèces sauvages de
pavot, celle dont la tête est pour ainsi dire sessile, a déjà une graine vé-
néneuse, qui refroidit abondamment et dont la couleur est noire;
l'autre espèce de pavot sauvage, qui a une tête plus allongée, est la plus
vénéneuse de toutes, et ce ne sont pas seulement la graine et la tête,
mais aussi les feuilles et le suc qui présentent cette propriété : en effet,
elles refroidissent vigoureusement, puisqu'elles vont jusqu'à produire
21 la torpeur et la mortification. — Le pavot cornu a des propriétés déter-
22 sives et incisives. — Tout pommier n'a pas la même nature, pas plus
que tout fruit de pommier: en effet, certaines pommes ont un goût su-

1. καὶ τοῖς φ. AC. — Ib. ποιότης καὶ οὐκ. V. — 4. σῖυπῖική V. — 8. ἐγκαθημένην Gal. — Ib. τὸ σπ. μέλαν ἔχει καὶ φαρμ. Paul. — 9. ἑτέρα om. Gal.

τῶν μήλων, τὰ δὲ αὐστηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δὲ ὀξέα, τὰ δὲ τελέως
ἔκλυτα καὶ ὑδατώδη. Καὶ δὴ καὶ κρατεῖ τὸ μὲν ὑδατῶδες ἐν τούτοις, 23
ὡς εἶναι τὴν κρᾶσιν αὐτῶν ὑγροτέραν τε καὶ ψυχροτέραν, τὸ δὲ
γεῶδες ψυχρὸν ἐν τοῖς στρυφνοῖς, ἐν δὲ τοῖς αὐστηροῖς τοῦτό τε
καὶ τὸ ὑδατῶδες ψυχρὸν, κατὰ δὲ τὰ ὀξέα τὸ ὑδατῶδες ψυχρὸν,
ὥσπερ ἐν τοῖς γλυκέσι τὸ ὑδατῶδες εὔκρατον. Οὕτω δὲ καὶ τὰ φύλλα 24
καὶ οἱ χυλοὶ καὶ οἱ φλοιοὶ τῶν δένδρων ἀλλήλων διαφέρουσιν. —
Μηλέας Περσικῆς τὸ δένδρον ἔν τε τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς 25
ἐπικρατοῦσαν ἔχει τὴν πικρότητα, ἔστι δὲ καὶ διαφορητικὸν φάρ-
μακον· ὁ δὲ καρπὸς αὐτοῦ ψυχρότερός τε καὶ ὑγρότερός ἐστι τὴν
κρᾶσιν. — Μηλέας Ἀρμενιακῆς ὑγρός ἐστι καὶ ψυχρὸς ὁ καρπὸς 26
δευτέρας ἀποστάσεως. — Μηλέα Μηδική· ταύτης ὁ καρπὸς καὶ 27
κιτρίον ὀνομάζεται, κατὰ μὲν τὸ σπέρμα τὴν ὀξεῖαν ποιότητα καὶ

cré, d'autres sont légèrement âpres, d'autres le sont fortement, d'autres
encore sont aigres, d'autres, enfin, sont complétement fades et aqueuses.
Or, dans ces dernières, c'est une substance aqueuse qui prédomine, de 23
manière à rendre leur tempérament plus ou moins humide et froid;
dans les pommes fortement âpres, c'est le froid terreux; dans celles qui
le sont légèrement, ce sont et le froid terreux et le froid aqueux; dans
les pommes aigres, c'est le froid aqueux; enfin, dans les pommes d'un
goût sucré, c'est l'aqueux bien tempéré. Les feuilles, le suc et l'écorce 24
des pommiers présentent également entre eux les mêmes différences.—
Dans les feuilles et les jeunes pousses du pêcher, c'est l'amertume qui a 25
le dessus, et elles constituent un médicament qui favorise la perspira-
tion; mais le fruit de cet arbre a plutôt un tempérament froid et hu-
mide. — Le fruit de l'abricotier est humide et froid au second degré. 26
— Le pommier de Médie : le fruit de cet arbre est appelé citron; les 27
propriétés qui prédominent dans la semence sont l'aigreur et la faculté

4. τε om. ACV. — 5. ψυχρόν] γλυκύ A 2ª m. CV. — Ib. κατὰ..... ψυχρόν om. Gal. — 8. τὸ δένδρον om. ACV. — Ib. ἐν τε τοῖς καρποῖς καὶ τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς ACV; ἐν τε τοῖς βλαστοῖς καὶ τοῖς φύλλοις Gal.; τὰ φύλλα καὶ οἱ κλάδοι Aët.; οἱ μὲν βλαστοὶ καὶ τὰ φύλλα Paul. — 9. καὶ ἄλλως δὲ διαφ. ἐστι Gal. — 10. τε καὶ ὑγρ. om. C. — 10-11. τ. κρ.] κατὰ τὴν δευτέραν ἀπόστασιν Paul. — 11. Ἀρμενικῆς Gal.; ἀρσενικῆς C. — 12-13. καρπ. κιτ. ὀνομ. CV; καρπ. κιτ. ὑπὸ πάντων ὀνομ. Gal. — 13. κατὰ μὲν οὖν τὴν ἐντεριώνην Aët.; τὸ μὲν μέσον αὐτοῦ ὀξῶδες ἢ ἄποιον, ἐν ᾧ τὸ σπέρμα Paul.

ξηραντικὴν δύναμιν ἐπικρατοῦσαν ἔχον, ὡς τῆς τρίτης εἶναι τάξεως
τῶν ξηραινόντων τε καὶ ψυχόντων, κατὰ δὲ τὸν φλοιὸν ξηραινούσης
μὲν κἀνταῦθα μετείληφε κράσεως, ἀλλὰ οὐκ ὀλίγον ἐχούσης τὸ
δριμύ· διὸ καὶ ξηραίνει τοῦτο κατὰ δευτέραν ἀπόστασιν, οὐ μὴν
28 ψυχρόν γέ ἐστιν, ἀλλὰ ἤτοι σύμμετρον, ἢ βραχύ τι κατωτέρω. Ἡ
29 δὲ σὰρξ αὐτοῦ παχύχυμός τέ ἐστι καὶ φλεγματικὴ καὶ ψυχρά. Ὁ δὲ
πυρὴν, ὅς περ ὄντως σπέρμα ἐστὶ, πικρὸς ὢν, δῆλον ὅτι διαφορη-
30 τικός ἐστι καὶ ξηραντικὸς δευτέρας τάξεως. Καὶ τὰ φύλλα δέ ἐστι
31 διαφορητικῆς καὶ ξηραντικῆς δυνάμεως. — Μήου αἱ ῥίζαι θερμαὶ
μὲν κατὰ τὴν τρίτην ἀπόστασιν, ξηραὶ δὲ κατὰ τὴν δευτέραν. —
32-33 Μίλακος τῆς τραχείας τὰ φύλλα δριμύ τι ἔχει καὶ θερμαίνει. Μῖλαξ
34 ἡ λεία παραπλησία τὴν δύναμίν ἐστι τῇ προειρημένῃ. — Μορέας
ὁ καρπὸς μετέχει στύψεώς τινος· ὁ δὲ ἄωρος πρὸς τῇ στρυφνότητι
35 καὶ ὀξύτητος μετέχει. Τὸ δὲ ὅλον δένδρον ἐν ἅπασι τοῖς μέρεσι

de dessécher, propriétés qui la font ranger dans la troisième classe des
desséchants et des refroidissants; dans l'écorce, ce fruit possède égale-
ment un tempérament desséchant, accompagné d'une proportion assez
notable d'âcreté : pour cette raison, cette partie dessèche au second
degré; seulement, elle n'est pas froide, mais elle a un tempérament
28 modéré, ou reste un peu en deçà. La chair du citron est imprégnée d'hu-
29 meurs épaisses, donne de la pituite et est froide. Comme le noyau, qui
est la véritable graine, est amer, il est, cela est évident, favorable à la
30 perspiration et desséchant au deuxième degré. Les feuilles de cet arbre
sont également douées de propriétés favorables à la perspiration et des-
31 séchantes. — Les racines du cistre sont chaudes au troisième degré et
32 sèches au second. — Les feuilles du liseron épineux ont quelque chose
33 d'âcre et elles échauffent. Le liseron lisse [des haies] a des propriétés
34 semblables à celles de la plante précédente. — Le fruit du mûrier pos-
sède de l'astringence; mais, outre son âpreté, le fruit vert a aussi de
35 l'aigreur. L'ensemble de cet arbre semble être doué, dans toutes ses par-

4-5. οὐ..... κατωτέρω] οὐ μὴν ψυχρὰν διὰ τὸ ἀρωματίζειν Aët.; οὐκέτι δὲ ψύχει, ἀλλ' ἐστὶ δριμύς Paul. — 5. γέ om. V. — 7. οὕτως AC. — 7-8. διαφορητικῆς ACV. — 8. ξηραντικῆς ACV. — 11. φύλλα καὶ γευσάμενα Gal. — Ib. καὶ ἄλλως χρώμενα θερμαίνει Gal. — 14. μέρεσι] δένδρεσι V.

μικτὴν ἔχειν ἔοικε δύναμιν, ἐφεκτικήν τε καὶ καθαρτικήν· ἐπικρα-
τεῖ δὲ ἐν μὲν τῷ φλοιῷ τῆς ῥίζης ἡ καθαρτικὴ μετά τινος πικρότη-
τος· ἐν δὲ τοῖς ἀώροις μόροις ἡ ἐφεκτική· κατὰ δὲ τὰ φύλλα καὶ
τοὺς βλαστοὺς μέση πώς ἐστιν ἡ κρᾶσις. — Μυάγρου τὸ σπέρμα 36
μεθίησιν ἔλαιον, δυνάμεως ἐμπλαστικῆς ὑπάρχον. — Μύκητες ψυχροὶ 37
καὶ ὑγροὶ τὴν κρᾶσιν ἱκανῶς, καὶ δηλητηρίου δυνάμεως ἐγγὺς ἥκου-
σιν. — Μύλης ἡ ῥίζα συνακτικῆς ἐστι δυνάμεως. — Μυὸς ὦτα 38-39
ξηραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν, θερμότητα δὲ οὐδεμίαν ἐπι-
φανῆ κέκτηται. — Μυρίκη τμητικῆς ἐστι καὶ ῥυπτικῆς δυνάμεως 40
ἄνευ τοῦ ξηραίνειν ἐπιφανῶς· ἔχει δέ τινα καὶ στύψιν. Ὁ καρπὸς δὲ 41
καὶ ὁ φλοιὸς οὐ βραχεῖαν στύψιν προσειλήφασι μετὰ τοῦ λεπτομε-
ροῦς καὶ ῥυπτικοῦ. Καὶ ἡ τέφρα δὲ καυθείσης τῆς μυρίκης ξηραντι- 42
κῆς ἱκανῶς γίνεται δυνάμεως, ἐχούσης πλεῖστον μὲν τὸ ῥυπτικόν
τε καὶ τμητικὸν, ὀλίγον δὲ τὸ στυπτικόν. — Μυριόφυλλον ξηραντι- 43

ties, de propriétés mélangées, resserrantes et purgatives; mais, dans
l'écorce de la racine, c'est la propriété purgative qui prédomine, et elle
y est accompagnée d'une certaine amertume; dans les mûres vertes, au
contraire, la propriété resserrante a le dessus; dans les feuilles et les jeunes
pousses, le tempérament est, en quelque sorte, moyen. — La graine de 36
neslie paniculée laisse échapper une huile qui est douée de propriétés
capables de boucher les pores. — Les champignons sont assez froids et 37
assez humides, et, par leurs propriétés, ils se rapprochent des poisons.
— La racine de *myle* a la vertu de contracter. — La rapette dessèche 38-39
au second degré; mais elle ne possède aucune chaleur manifeste. — Le 40
tamarisc est doué de propriétés incisives et détersives, sans qu'il des-
sèche manifestement; il a, en outre, un certain degré d'astringence. Le 41
fruit et l'écorce de cet arbre possèdent une astringence assez considé-
rable, en même temps qu'ils sont subtils et détersifs. Quand on brûle le 42
tamarisc, on obtient une cendre douée de propriétés assez fortement
desséchantes, qui contient une très-forte proportion d'éléments déter-
sifs et incisifs, et une petite quantité d'éléments astringents. — Le volant 43

1-2. ἐπικρ..... καθαρτική om. V. — 3. ἄλλοις μορίοις Gal. — 5. ἐλαιῶδές τι Gal. — 6-7. ἔχουσιν C. — 7. Μυὸς ὠτὶς, ἔνιοι δὲ μυὸς ὦτα Gal.; μυῶτις Aët. — 8-9. δὲ..... κέκτηται om. A 1ª m. — 9. ῥυπτ. ἱκανῶς Aët. — 11. βραχείας στύψεως μετείληφεν Aët. — 14. τε καὶ τμητ. om. V.

44 κῆς ἐσῖι δυνάμεως. — Μυῤῥὶς γλυκεῖαν ἔχει τὴν ῥίζαν, ἐκ τῆς
δευτέρας τάξεως οὖσα τῶν θερμαινόντων, ἔχουσά τι καὶ λεπῖομερές.
45 — Μυῤῥίνη ἐξ ἐναντίων οὐσιῶν κέκραται, ἐπικρατεῖ δὲ ἐν αὐτῇ
τὸ γεῶδες ψυχρόν· ἔχει δέ τι καὶ λεπῖομερὲς θερμὸν, ὅθεν ἰσχυρῶς
46 ξηραίνει. Ἔσῖι δὲ καὶ τὰ φύλλα καὶ οἱ βλασῖοὶ καὶ οἱ καρποὶ καὶ
ὁ χυλὸς οὐ πολλῷ τινι διαφέροντα κατὰ τὴν σῖύψιν· ἡ μέντοι τῷ
σῖελέχει καὶ τοῖς κλάδοις ἐπίφυσις ὀχθώδης, ἣν μυρτίδα καλοῦσιν,
εἰς ὅσον ἐσῖὶ ξηροτέρα τῶν εἰρημένων, εἰς τοσοῦτον καὶ σῖύφει καὶ
47 ξηραίνει σφοδρότερον. Ἔσῖι δὲ καὶ τὰ ξηρὰ φύλλα τῶν χλωρῶν
48 ξηραντικώτερα. — Μῶλυ· τούτου ἡ ῥίζα λεπῖομερής ἐσῖι καὶ θερμὴ
κατὰ τὴν τρίτην ἀπόσῖασιν, ὅθεν καὶ τέμνει καὶ διαφορεῖ.

1 § 13. — Νάρδου σῖάχυς θερμαίνει μὲν κατὰ τὴν πρώτην ἀπόσῖα-
σιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν συμπληρουμένην· σύγκειται δὲ ἐκ

44 d'eau a des propriétés desséchantes. — Le cerfeuil anisé a une racine
d'un goût sucré, laquelle appartient à la seconde classe des échauffants,
45 et possède, en outre, un certain degré de subtilité. — Le myrte est un
composé de substances opposées : c'est le froid terreux qui prédomine
en lui ; mais il possède, en outre, une chaleur subtile qui lui donne la
46 propriété de dessécher fortement. Les feuilles, les jeunes pousses, les
fruits et le suc du myrte ne diffèrent pas beaucoup entre eux sous le
rapport de l'astringence ; mais l'excroissance noueuse, qui vient sur la
tige et les branches, et qu'on nomme *myrtide*, surpasse autant les parties
que nous venons d'énumérer, par l'activité de son astringence et de son
47 pouvoir desséchant, qu'elle leur est supérieure en sécheresse. Les feuilles
48 sèches sont aussi plus desséchantes que les feuilles vertes. — Le péganum
harmala : la racine de cette plante est subtile et chaude au troisième
degré : c'est là ce qui lui donne des propriétés incisives et favorables à
la perspiration.

1 § 13. — L'épi de nard échauffe au premier degré et il dessèche au se-
cond accompli ; il est composé d'une substance suffisamment astringente,

3. Μυῤῥίνης ACV; Μυῤῥίνη ἢ μυρσίνη Aët. — 5. θερμαίνει V. — Ib. οἱ καρπ. καὶ οἱ βλ. AC. — 7. κλάδοις] φύλλοις ACV. — Ib. ἐπίχυσις C. — Ib. ἣν ἔνιοι μυρτάδα ὀνομάζουσιν Gal. — 9. τὰ ξηρότερα Paul. — 10. ῥίζα] δύναμις Gal. — 12. Ναρδόσῖαχυς· ἡ ῥίζα ταύτης θ. Paul. — Ib. τρίτην Gal.

τε στυφούσης αὐτάρκως οὐσίας καὶ δριμείας θερμῆς οὐ πολλῆς, καὶ
τινος ὑποπίκρου βραχείας. Νάρδος Κελτικὴ παραπλησίας μέν πώς 2
ἐστι κατὰ γένος δυνάμεως τῇ προειρημένῃ, ἀσθενεστέρα δὲ εἰς
ἅπαντα, πλὴν εἰς οὖρα· θερμοτέρα μὲν γὰρ ἐκείνης ἐστὶ, ἧττον
δὲ στύφει. Νάρδος ὀρεινὴ τῶν προειρημένων ἐστὶν ἀσθενεστέρα. — 3
Νάρθηκος τὸ μὲν σπέρμα λεπτύνει καὶ θερμαίνει, τὸ δὲ ἐντὸς ἔτι 4
χλωροῦ τὸ καλούμενον ἐντεριώνη στυπτικῆς τινος μετέχει ποιότη-
τος. — Νᾶπυ θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τετάρτην τάξιν. — 5
Ναρκίσσου ἡ ῥίζα ξηραντικῆς ἐστι δυνάμεως· ἔχει δέ τι καὶ ῥυ- 6
πτικὸν καὶ ἐπισπαστικόν. — Νευρὰς ξηραντικῆς καὶ ἀδήκτου δυνά- 7
μεώς ἐστιν. — Νήριον, ἔξωθεν μὲν τοῦ σώματος εἰ καταπλασθείη, 8
διαφορητικῆς ἐστι δυνάμεως, εἴσω δὲ λαμβανόμενον ὀλέθριον. —
— Νυμφαίας ἥ τε ῥίζα καὶ τὸ σπέρμα δύναμιν ἔχει ξηραντικὴν 9

d'une quantité assez peu considérable de substance âcre et chaude, et d'une
légère proportion de substance faiblement amère. Le nard celtique a, en 2
quelque sorte, des propriétés du même genre que la racine dont nous
venons de parler, mais il est plus faible sous tous les rapports, excepté
quand il s'agit de pousser aux urines; en effet, il est plus chaud que
l'épi de nard, mais il est moins astringent. Le *nard de montagne* est plus 3
faible que les plantes dont nous venons de parler. — La graine de férule 4
atténue et échauffe; mais l'intérieur de cette plante, quand elle est en-
core verte, partie à laquelle on donne le nom de moelle, est doué d'une
certaine astringence. — La moutarde échauffe et dessèche au quatrième 5
degré. — La racine de narcisse est douée de propriétés desséchantes; 6
elle a aussi quelque chose de détersif et d'attractif. — L'astragalus pote- 7
rium a des propriétés desséchantes, sans qu'il produise de picotements.
— Si on applique l'oléandre à l'extérieur, sous forme de cataplasme, il 8
a des propriétés favorables à la perspiration; mais, si on le prend à l'in-
térieur, il est pernicieux. — La racine et la graine de nénuphar ont 9
des propriétés desséchantes, sans qu'elles causent de picotements; mais

2. πώ V. — 5. ὀρεία Gal. — 6. λεπτύνει καὶ θερμαίνει καὶ ξηραίνει V. — 6-7. ἔτι χλωρόν Gal., Paul. — 10. Νεύρα A; Νεῦρα CV. — 11. ἐστιν om. V. — Ib. εἰ καὶ καταπλασθείη V. — 12. ἔσωθεν V.

ἄδηκτον· ἡ δὲ τὴν λευκὴν ἔχουσα ῥίζαν νυμφαία σφοδροτέρας ἐστὶ
10 δυνάμεως. Ἔχουσι δέ τι καὶ ῥυπτικόν.

1-2 § 14. — Ξανθίου ὁ καρπὸς διαφορητικῆς ἐστι δυνάμεως. — Ξυρὶς
λεπτομεροῦς, ἑλκτικῆς τε καὶ διαφορητικῆς καὶ ξηραντικῆς ἐστι δυνά-
3 μεως, ἥ τε ῥίζα καὶ πολὺ δὴ μᾶλλον αὐτῆς ὁ καρπός. — Ξιφίου ἡ
ῥίζα, καὶ μᾶλλον ἡ ἑτέρα ἡ ἄνωθεν, ἑλκτικῆς τέ ἐστι καὶ διαφο-
ρητικῆς καὶ ξηραντικῆς δυνάμεως.

1-2 § 15. — Ὄη τὸ δένδρον στυπτικῆς μετέχει ποιότητος. — Οἶνος
ἐκ τῆς δευτέρας τάξεώς ἐστι τῶν θερμαινόντων, ὁ δὲ ἱκανῶς παλαιὸς
τῆς τρίτης, ὥσπερ ὁ γλευκίνης τῆς πρώτης· ἀνάλογον δὲ ταῖς θερ-
3 μότησι καὶ αἱ ξηρότητες αὐτοῦ. — Ὁλόστεον ξηραντικῆς ἐστι δυνά-
4 μεως μετὰ τοῦ στύφειν. — Ὄλυνθοι δριμείας εἰσὶ καὶ διαφορητικῆς
5 δυνάμεως. — Ὄναγρον, ἢ ὀνόθηρα, ἢ ὀνοθουρὶς κατὰ οἶνόν ἐστι

l'espèce dont la racine est blanche a des propriétés plus fortement pro-
10 noncées. Toutes deux ont, en outre, quelque chose de détersif.

1 § 14. — La graine de lampourde a des propriétés favorables à la pers-
2 piration. — L'iris gigot possède des propriétés subtiles, attractives, fa-
vorables à la perspiration et desséchantes, ce qui s'applique d'abord à la
racine, mais, à un degré bien plus prononcé, à la graine de cette plante.
3 — La racine de glaïeul, et surtout l'une d'elles qui est au-dessus de
l'autre, a des propriétés attractives, favorables à la perspiration et des-
séchantes.

1-2 § 15. — L'arbre appelé sorbier est doué de qualités astringentes. — Le
vin appartient à la seconde classe des échauffants, et, s'il est très-vieux,
il appartient à la troisième, tandis que le vin nouveau appartient à la pre-
mière; la sécheresse de ces diverses espèces de vin est proportionnelle à
3 leur chaleur. — L'*holostéum* est doué de propriétés desséchantes en même
4 temps qu'il est astringent. — Les petites figues rondes ont des propriétés
5 âcres et favorables à la perspiration. — L'osier fleuri, ou *onothère*, ou *ono-*

2. ἔχουσα δέ τι AV; ἔχουσαι δέ τι C; Μετέχουσί δέ τι Gal., Aët. — 3. Ξανθίου καρπός ACV. — 4. καὶ δηλονότι καὶ ξηραντικῆς Gal.; om. V. — 5. δὴ] δὲ C; om. Gal. — 6. καὶ μάλιστα Gal. — 7. καὶ δηλονότι καὶ ξηραντικῆς Gal., Aët. — 9. ἐκ τοῦ τῆς C. — 10. ὥσπερ ὁ γλεῦκος ὀνομαζόμενος Gal.; ὥσπερ ὁ νέος γλεύκινος Aët.; ὁ δὲ γλευκινίτης Paul. — 12. μετὰ τοῦ στύφειν om. ACV. — 13. δυνάμεως μετὰ τοῦ στύφειν ACV.

τῇ δυνάμει μάλιστα. — Ὄνοσμα, ἢ σινωνὶς, ἐκ δριμείας καὶ πικρᾶς 6
οὐσίας σύγκειται. — Ὀνοβρυχὶς ἀραιωτικῆς τε καὶ διαφορητικῆς 7
ἐστι δυνάμεως. — Ὀνωνὶς ῥίζαν ἔχει θερμαντικὴν ἤδη που κατὰ 8
τὴν τρίτην τάξιν· ὁ δὲ φλοιὸς αὐτῆς ἔχει τι καὶ ῥυπτικόν. — Ὄξος 9
μικτῆς οὐσίας ὑπάρχει ψυχρᾶς καὶ θερμῆς, ἀμφοῖν λεπτομερῶν,
ἐπικρατεῖ δὲ τῆς θερμῆς ἡ ψυχρά. Ξηραντικὸν δέ ἐστι τῆς τρίτης 10
τάξεως συμπληρουμένης, ὅταν γε ἰσχυρὸν ὑπάρχῃ. — Ὀξυακάνθου 11
ὁ καρπὸς στρυφνός ἐστιν· ἔχει δέ τι καὶ λεπτομερὲς καὶ τμητικὸν
ὀλίγον. — Ὀπὸς ὁ μὲν Κυρηναϊκὸς *ἁπάντων ἐστὶ θερμότατος καὶ* 12
λεπτομερέστατος καὶ διαφορητικώτατος· οὐ μὴν ἀλλὰ καὶ οἱ ἄλλοι
θερμοί τέ εἰσιν ἱκανῶς καὶ πνευματώδεις. — Ὀρίγανοι πᾶσαι 13
τμητικῆς τε καὶ λεπτυντικῆς καὶ ξηραντικῆς καὶ θερμαντικῆς εἰσι
δυνάμεως κατὰ τὴν τρίτην ἀπόστασιν· ἡ δὲ τραγορίγανος προσεί-

thuris, a à peu près des propriétés analogues à celles du vin.— L'*onosme*, 6
ou *sinonis*, est composé d'une substance âcre et d'une substance amère.—
L'esparcette a des propriétés raréfiantes et favorables à la perspiration. — 7
La bugrane a une racine qui échauffe au troisième degré à peu près; l'é- 8
corce de cette plante a aussi quelque chose de détersif.— Le vinaigre a une 9
substance mélangée et composée d'éléments froids et d'éléments chauds,
qui sont tous les deux subtils; cependant, les éléments froids y ont le
dessus sur les éléments chauds. Le vinaigre dessèche au troisième degré 10
accompli, du moins quand il est fort. — Le fruit du buisson ardent est 11
très-âpre; il a aussi quelque chose de subtil et de légèrement incisif. —
Le suc de Cyrène est le plus chaud, le plus subtil et le plus favorable à 12
la perspiration de tous les sucs; cependant, les autres sucs naturels des
plantes sont aussi très-chauds et très-flatulents. — Toutes les espèces 13
d'origan ont des propriétés incisives, atténuantes, desséchantes et échauf-
fantes au troisième degré; mais l'*origan de bouc* est doué, en outre, d'un

1. *ἢ ὀσμὰς ἢ φλονῖτις ἢ ὄνωνις* Gal.; *ἢ ὀνομὶς ἢ φλομῖτις ἢ ὄνωνις* Paul. — 3. *δήπου* A. — 4. *ὁ* om. C. — Ib. *ῥυπτικὸν καὶ τμητικόν* Gal., Paul. 5. *τμητικῆς* Aët.— 8. *στρυφνὸς καὶ λεπτομερής ἐστιν* Gal.— 9. *Ὀπὸς καὶ λάσαρ* Aët.— Ib. *Κυρηναῖος* A 1ª m. V Gal.— 10. *καὶ διὰ τοῦτο καὶ διαφ.* Gal.— 11. *εἰσιν* om. V.— Ib. *ἅπασαι* Gal. — 12. *καὶ ξηραντικῆς* om. Gal. — Ib. *καὶ θερμαντικῆς* om. C. — 13. *τήν* om. ACV. — Ib. *τραγορίγ. ὀνομαζομένη* Gal.

14 ληφέ τι καὶ στύψεως. — Ὄροβος ξηραίνει μὲν κατὰ τὴν δευτέραν
ἀπόστασιν ἐπιτεταμένην, θερμαίνει δὲ κατὰ τὴν πρώτην, καὶ τέμνει
15 δὲ καὶ ῥύπτει καὶ ἐκφράττει. — Ὀροβάγχη ψυχρᾶς καὶ ξηρᾶς ἐστι
16 κράσεως κατὰ τὴν πρώτην τάξιν. — Ὄρχις, οἱ δὲ κυνὸς ὄρχις·
ταύτης ἡ ῥίζα θερμὴ καὶ ὑγρὰ καὶ γλυκεῖα τυγχάνει, ἀλλὰ ἡ μὲν
μείζων πολλὴν ἔοικεν ἔχειν ὑγρότητα περιττωματικὴν καὶ φυσώδη·
17 ἡ δὲ ἐλάττων ἔμπαλιν κατειργασμένην ἱκανῶς. Ὄρχις, ὃν καὶ σε-
ραπιάδα καλοῦσι, ξηροτέρας δυνάμεώς ἐστιν ἢ κατὰ τὴν προτέραν·
ξηρανθεῖσα δὲ πολὺ δὴ μᾶλλον ἔτι καὶ ξηραίνει καί τι καὶ ὑπο-
18 στῦφον ἔχει. — Ὀσιρίδος τῆς πόας πικρὰ μὲν ἡ ποιότης, ἐκφρα-
κτικὴ δὲ ἡ δύναμις.
1 § 16. — Παγκρατίου ἡ ῥίζα σκίλλῃ κατά τε τὴν γεῦσιν ἔοικε καὶ
2 τὴν δύναμιν· ἀσθενεστέρα δέ ἐστι μακρῷ. — Παλιούρου ἡ ῥίζα καὶ
τὰ φύλλα στυπτικῆς οὐκ ἀσαφῶς μετείληφε δυνάμεως, ἔχει δέ τι καὶ

14 certain degré d'astringence. — L'ers dessèche au second degré exagéré,
et il échauffe au premier; de plus, il est incisif, détersif et désobstruant.
15 — L'orobanche a un tempérament froid et sec au premier degré. —
16 L'orchis, que quelques-uns appellent *testicule de chien :* la racine de cette
plante est chaude, humide et douce; mais il semble que la grande racine
contient une grande quantité de liquide excrémentitiel et flatulent, tandis
qu'au contraire le liquide contenu dans la petite est assez bien élaboré.
17 L'espèce d'orchis qu'on appelle aussi *sérapias* a des propriétés plus dessé-
chantes que la précédente; après la dessiccation, elle devient beaucoup
plus desséchante encore, et a, en outre, quelque chose de légèrement
18 astringent. — L'herbe appelée osiris a des qualités amères et des pro-
priétés désobstruantes.
1 § 16. — La racine du *pancratium* ressemble à la scille, tant sous le rap-
port du goût que sous celui des propriétés, mais elle est beaucoup plus
2 faible. — La racine et les feuilles d'argalou sont douées de propriétés
astringentes assez évidentes; elles ont, en outre, quelque chose de favo-

2. καί ante τέμνει om. C. — 5. γλυκύτερος Gal. — 7. κατειργασμένη Gal. — 7-8. ἡ καὶ σαραπιὰς οἱ δὲ τρίορχιν Paul. — 10-11. ἐκφρακτικὴ τῶν καθ' ἧπαρ Paul. — 11. δὲ ἡ om. A. — 12. τε om. V. — Ib. γεῦσιν] ἰδέαν Paul.

διαφορητικόν· ὁ δὲ καρπὸς τμητικῆς μετέχει δυνάμεως. — Πάπυρος 3
καυθεῖσα φάρμακον γίνεται ξηραντικὸν ὡς ὁ κεκαυμένος χάρτης·
ἀσθενεστέρα δέ ἐστιν ἡ τοῦ παπύρου τέφρα. — Πάνακες ἡράκλειον· 4
ἐκ τούτου καὶ ὁ καλούμενος ὀποπάναξ γίνεται, θερμαίνων καὶ μαλάττων καὶ διαφορῶν. Κατὰ μὲν τὸ θερμαίνειν ἐκ τῆς τρίτης τάξεώς 5
ἐστι, κατὰ δὲ τὸ ξηραίνειν ἐκ τῆς δευτέρας. Καὶ ὁ φλοιὸς δὲ τῆς 6
ῥίζης ξηραντικὸν ἅμα καὶ θερμαντικόν ἐστι φάρμακον, ἀλλὰ ἧττον
τοῦ ὀποῦ, καὶ μέντοι τι καὶ ῥυπτικὸν ἔχει. Καὶ ὁ καρπὸς αὐτοῦ 7
θερμός ἐστιν. Πάνακες ἀσκληπίειον· ἧττόν ἐστι τοῦτο θερμὸν τοῦ 8
προγεγραμμένου. Πάνακες χειρώνειον· καὶ τοῦτο παραπλησίας ἐστὶ 9
τῷ προγεγραμμένῳ δυνάμεως. — Παρωνυχία λεπτομερής ἐστι καὶ 10
ξηραντικὴ ἀδήκτως τῆς τρίτης τάξεως καὶ θερμαντική. — Πεντα- 11
φύλλου ἡ ῥίζα ξηραντικὴ μὲν τῆς τρίτης τάξεώς ἐστιν, ἥκιστα θερμότητος ἐπιφανοῦς μετέχουσα· λεπτομερὴς δέ ἐστι καὶ ἄδηκτος. —

rable à la perspiration; mais le fruit de cette plante possède des propriétés
incisives. — Si on brûle le papyrus, on obtient un médicament dessé- 3
chant, tout aussi bien que si on brûle du papier; mais la cendre de papyrus est plus faible que celle du papier. — Panacée d'Hercule : c'est 4
de cette plante qu'on tire le médicament appelé opopanax, qui échauffe,
ramollit et favorise la perspiration. Il appartient à la troisième classe des 5
échauffants et à la seconde des desséchants. L'écorce de la racine de 6
cette plante est à la fois desséchante et échauffante, mais elle produit
ces effets à un moindre degré que le suc; cependant elle a aussi quelque chose de détersif. Le fruit de la même plante est également chaud. 7
La panacée d'Esculape est moins chaude que la plante précédente.
Panacée de Chiron : cette plante a des propriétés analogues à celle des 8-9
précédentes. — La paronyque est subtile, et elle dessèche et échauffe 10
au troisième degré, sans qu'elle produise de picotements. — La racine 11
de quintefeuille dessèche au troisième degré, sans qu'elle trahisse la moindre chaleur manifeste; elle est, de plus, subtile et ne cause pas de

2. φαρμ. ἤδη γίν. Gal. — Ib. ἡ τέφρα τοῦ κεκαυμένου χάρτου Gal. — 3. τῆς παπύρου Gal. — Ib. Πάναξ Aët. — 5. διαφέρων AC. — 8. ῥυπτικὸν καὶ σαρκωτικόν Paul. — 9. ἀσκλήπειον ACV Gal. — 12. ξηραντικὴ ἀδήκτως conj.; ξηραντικῆς ἀδήκτου ACV; ξηραντικὴ καὶ ἄδηκτος Gal., Paul. — Ib. θερμαντικῆς ACV. — 12-13. Πεντάφυλλον τοῦ ἑρμοῦ βοτάνη· ταύτης ἡ ῥ. Aët.

12 Πεπέρεως ἡ μὲν ῥίζα κόσʃῳ μάλισʃα κατὰ τὴν δύναμιν ἔοικεν· ὁ
δὲ καρπὸς ὁ μὲν ἄρτι βλασʃάνοντος αὐτοῦ τὸ μακρόν ἐσʃι πέπερι·
διὸ καὶ ὑγρότερον ὑπάρχει τοῦ πεπείρου· ῥᾳδίως γοῦν τιτρᾶται.
13 Ὁ δὲ οἷον ὄμφαξ τὸ λευκόν ἐσʃὶ πέπερι, δριμύτερον ὑπάρχον τοῦ
μέλανος· ἐκεῖνο γὰρ οἷον ὑπερωπʃημένον ἐσʃὶν ἤδη καὶ ὑπερεξη-
14 ραμμένον· ἀμφότερα δὲ ἰσχυρῶς ξηραίνει τε καὶ θερμαίνει. Τὸ δὲ
μακρὸν πανούργως κατασκευαζόμενον ἐλέγξεις, ἐν ὕδατι βρέχων·
λύεται μὲν γὰρ τὸ σκευασθὲν, ἄλυτον δὲ μένει τὸ αὐτοφυές· ἐσʃὶ
δέ τις αὐτὸ καὶ βοτάνης ἐξάνθησις ἀπὸ τῆς ξένης κομιζομένη παρα-
πλήσιος ἰδεῖν, οὐ μὴν τῇ γεύσει γε ἐοικυῖα· διὸ τηνικαῦτα καὶ
15 ῥᾷσʃον αὐτήν ἐσʃι διακρῖναι μακροῦ πεπέρεως. — Περσέας τὰ φύλλα
16 σʃυπʃικῆς μετείληφε δυνάμεως. — Περικλυμένου ὁ καρπὸς καὶ τὰ
17 φύλλα τέμνει καὶ θερμαίνει. — Περισʃερεῶν δύναμιν ἔχει ξηραν-

12 picotements. — La racine de *poivre* ressemble surtout au costus, eu
égard à ses propriétés; le fruit de cette plante, immédiatement après
qu'il vient d'éclore, est le poivre long : voilà pourquoi cette espèce de
poivre est plus humide que le fruit mûr; c'est encore là la raison qui fait
13 qu'il s'y forme facilement des trous. Le poivre blanc est ce même fruit,
quand il est, pour ainsi dire, à l'état de raisin vert, et cette espèce est plus
âcre que le poivre noir, car le poivre noir est encore ce même fruit,
quand il est déjà torréfié et desséché outre mesure (par le soleil) ; ces
14 deux dernières espèces dessèchent et échauffent fortement. Vous recon-
naîtrez le poivre long frauduleusement sophistiqué en le macérant dans
l'eau : en effet, le poivre faux se dissoudra, tandis que le véritable poivre
restera insoluble : c'est une espèce de bourgeon d'une plante et qu'on
apporte de l'étranger; il ressemble au poivre quant à l'aspect, mais
non sous le rapport du goût; dans ce cas, il est donc très-facile de dis-
15 tinguer ce bourgeon du poivre long. — Les feuilles de la *persée* sont
16 douées de propriétés astringentes. — Le fruit et les feuilles de *chèvre-*
17 *feuille* sont incisives et échauffantes. — La *verveine* a des propriétés

2. μικρόν A 1ª m. — 3. τοῦ πεπ.] καὶ θερμόν Paul. — 5-6. ὑπερεξηρασμένον ACV. — 7. ἐλέγχεις A; ἔλεγες 2ª m. — Ib. ἐν ὕδατι διαβρέχων V; διαβρέχων ὕδατι Gal. — 9. αὐτῷ ACV. — Ib. βοτάνη τις ξανθή Gal. — 9-10. παραπλησία Gal. — 10. οὐκεία C. — Ib. τηνικαῦτα om. Gal. — 12. σʃ. μετείλ. συμμέτρως δυν. Gal., Aët.; ξηραίνει τε καὶ σʃύφει Paul. — 13. Περισʃέριον ACV. — 13-p. 674, l. 1. ξηραίνει τε καὶ σʃύφει Paul.

τικήν. — Πετασῖτις ἐκ τῆς τρίτης τάξεώς ἐστι τῶν ξηραινόντων.— 18
Πετροσελίνου τὸ σπέρμα, ὥσπερ ἐν τῇ γεύσει δριμὺ μετὰ πικρότη- 19
τος, οὕτω καὶ τοῖς ἔργοις ἄφυσόν τέ ἐστι καὶ τῆς τρίτης τάξεως τῶν
θερμαινόντων καὶ ξηραινόντων. — Πευκεδάνου ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ 20
ὁ χυλὸς τῆς αὐτῆς τῷ εἴδει δυνάμεώς ἐστιν· ἰσχυρότερος δὲ αὐτῶν
ὁ ὀπὸς, ἱκανῶς θερμαίνων καὶ διαφορῶν καὶ λεπτύνων καὶ τέμνων.
— Πήγανον τὸ μὲν ἄγριον ἐκ τῆς τετάρτης ἐστὶν ἤδη τάξεως τῶν 21
θερμαινόντων καὶ ξηραινόντων, τὸ δὲ ἥμερον ἐκ τῆς τρίτης. Ἔστι 22
δὲ οὐ μόνον δριμὺ γευομένῳ, ἀλλὰ καὶ πικρὸν, ᾧ τέμνει τε καὶ δια-
φορεῖ. Καὶ μὲν δὴ καὶ λεπτομερές ἐστι καὶ ἄφυσον. — Πίσσα ἡ 23-24
μὲν ξηρὰ ξηραίνει καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν,
πλέον δὲ ξηραίνειν πέφυκεν ἢ θερμαίνειν· ἡ δὲ ὑγρὰ τοὔμπαλιν 25
θερμαίνει πλέον ἢ ξηραίνει· ἔχει δέ τι καὶ λεπτομερές. Ἀλλὰ καὶ
ῥυπτικὸν ἔχουσί τι καὶ συμπεπτικὸν καὶ διαφορητικὸν, ὥσπερ γε

desséchantes. — La chapelière appartient à la troisième classe des des- 18
séchants. — La graine de persil est à la fois âcre et amère (propriétés 19
qu'on ne reconnaît pas seulement au goût, mais aussi à l'action produite
par cette graine), puisqu'elle chasse les vents et appartient à la troi-
sième classe des échauffants et des desséchants. — La racine de fenouil 20
de porc, ainsi que le suc qui exsude de cette plante et celui qu'on en
exprime, ont la même espèce de propriétés ; mais le suc exsudé est plus
fort que les deux autres médicaments ; il échauffe fortement, favorise la
perspiration, atténue et est incisif. — La rue sauvage appartient déjà à 21
la troisième classe des échauffants et des desséchants, tandis que la rue
cultivée n'appartient qu'à la troisième. Le goût de cette plante n'est pas 22
seulement âcre, mais aussi amer, ce qui lui donne des propriétés inci-
sives et favorables à la perspiration. En outre, elle est subtile et chasse 23
les vents. — La poix dessèche et échauffe au second degré ; mais elle 24
est de nature à dessécher plus fortement qu'elle n'échauffe ; le goudron,
au contraire, échauffe plus fortement qu'il ne dessèche ; il a, en outre,
quelque chose de subtil. Ces substances ont, de plus, quelque chose de 25
détersif et de favorable à la maturation et à la perspiration, puisqu'elles

4-5. ὁ ὀπὸς ὁ χ. C. — 5. καὶ ἰσχυρ. δέ A 1a m. — 6. λεπτ. ὡς τέμνων C. — 8. καὶ ξηραιν. om. Gal. — 9. γενόμενον Gal.

26 καὶ ὑπόπικρον καὶ δριμύ. Πισσέλαιον ὅμοιον μέν ἐσʼ͂ι τῷ γένει τῇ
27 πίσσῃ, λεπʼ͂ομερέσʼ͂ερον δέ. — Πισʼ͂ακίου ὁ καρπὸς λεπʼ͂ομερής
ἐσʼ͂ι καὶ ὑπόπικρος ἀρωματίζων· ἐκφράτʼ͂ει γοῦν καὶ διακαθαίρει. —
28 Πιτυΐδες μικτῆς εἰσι δυνάμεως, ὡς ἂν καὶ σʼ͂ύφουσαι καὶ δριμύτητά
29 τινα κεκτημέναι μετὰ πικρότητος. Πίτυος φλοιὸς ἐπικρατοῦσαν ἔχει
τὴν σʼ͂υπʼ͂ικὴν δύναμιν, καὶ ὁ τῆς πεύκης δὲ φλοιὸς ὅμοιος μὲν αὐτῷ,
μετριώτερος δὲ κατὰ τὴν δύναμιν· ἐν μέντοι τῷ κώνῳ ἰσχυροτέρα
30 γε ἡ δύναμίς ἐσʼ͂ιν [ἢ] ἔν τε τῷ φλοιῷ καὶ τοῖς φύλλοις. — Πλάτανος ὑγροτέρας ἐσʼ͂ὶ καὶ ψυχροτέρας οὐσίας οὐ πολλῷ τινι τῶν συμμέτρων, ὁ δὲ φλοιὸς αὐτῆς καὶ τὰ σφαιρία ξηραντικωτέρας ἤδη
31 δυνάμεώς ἐσʼ͂ιν. Εἴσι δὲ οἳ καίοντες τὸν φλοιὸν ἀπεργάζονται φάρ-
32 μακον. Φυλάτʼ͂εσθαι δὲ δεῖ τὸν ἐπὶ τοῖς φύλλοις τοῦ δένδρου χνοῦν· καὶ γὰρ τὴν ἀρτηρίαν εἰσπνευσθεὶς ἀδικεῖ, καὶ κακοῖ τὴν φωνήν,

26 ont en effet aussi des qualités âcres et légèrement amères. L'huile de goudron a le même genre de propriétés que le goudron lui-même, mais elle
27 est plus subtile. — Le fruit du pistachier est subtil, légèrement amer et
28 aromatique : par conséquent, il désobstrue et purifie. — Les pignons ont des propriétés mixtes, puisqu'ils sont à la fois astringents et doués d'une
29 certaine âcreté accompagnée d'amertume. Dans l'écorce du pin ordinaire, ce sont les propriétés astringentes qui prédominent, et l'écorce du pin aux torches a des propriétés semblables à celles de l'écorce du pin ordinaire; seulement, elles sont plus faibles; mais la pomme de
30 pin possède des propriétés plus actives que l'écorce et les feuilles. — Le platane a une substance dont l'humidité et le froid ne dépassent pas beaucoup la moyenne; mais l'écorce et les boules de cet arbre ont déjà
31 des propriétés desséchantes plus prononcées. Il y a des médecins qui se
32 préparent un médicament en brûlant cette écorce. Il faut éviter la poussière qu'on trouve sur les feuilles de cet arbre, car, si on l'aspire, elle fait du tort à la trachée-artère et pervertit la voix; elle produit le même

1. μέν om. A. — Ib. αὐτῇ τῷ γένει Gal. — 2. Πισʼ͂άκιον ὁ κ. V. — 2-3. λεπʼ͂ομερές ἐσʼ͂ι C; λεπʼ͂ομερεσʼ͂έρας πως ἐσʼ͂ιν οὐσίας Gal., Aët. — 3. ὑπόπικρόν τι καὶ ἀρωματίζον ἐχούσης Gal. — Ib τοιγαροῦν Gal., Aët. — 6-7. καὶ ..... δύναμιν om. V. — 6. ὁμοίως ACV. — 8. ἢ conj.; om. ACV Gal. — 11-12. ξηραντικόν τε καὶ ῥυπʼ͂ικὸν ἀπεργ. φάρμ. Gal. — 12. τήν AC.

καὶ τὴν ὄψιν καὶ τὴν ἀκοὴν, ὀφθαλμοῖς καὶ ὠσὶν ἐμπεσών. — Πο- 33
λύγονον ἔχει μέν τι καὶ στῦφον· ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ ὑδατῶδες
ψυχρὸν, ὡς εἶναι κατὰ τὴν δευτέραν τάξιν συμπληρουμένην, ψῦχον
δὲ καὶ ἀποκρουόμενον δοκεῖ ξηραντικὸν ὑπάρχειν. Ἔστι δὲ εἰς 34
ἅπαντα τὸ ἄῤῥεν τοῦ θήλεος ἰσχυρότερον. — Πολύγαλον αὐστηρὰ 35
μετρίως ἔχει τὰ φύλλα· δοκεῖ δὲ ἐπικρατεῖν ἐν αὐτῷ τὸ ὑγρὸν καὶ
θερμόν. — Πολυγόνατον μικτῆς ἐστι δυνάμεως· ἔχει γάρ τι καὶ 36
στύψεως καὶ δριμύτητος καὶ πικρότητος καί τινος ἀηδίας ἀῤῥήτου·
διὰ ταῦτα οὐδὲ πολύχρηστόν ἐστιν. — Πολεμώνιον, οἱ δὲ φιλεταί- 37
ριον, λεπτομεροῦς δυνάμεώς ἐστι καὶ ξηραντικῆς. — Πόλιον πικρὸν 38
γευομένοις ἐστὶ καὶ μετρίως δριμύ· ἐκφρακτικὸν τοιγαροῦν ἐστιν.
Πόλιον, ᾧ καὶ εἰς τὰς ἀντιδότους χρώμεθα, πικρότερον καὶ δριμύ- 39
τερόν ἐστι τοῦ μείζονος, ὡς ἐκ μὲν τῆς τρίτης τάξεως εἶναι τῶν ξη-
ραινόντων, ἐκ δὲ τῆς δευτέρας τῶν θερμαινόντων συμπληρουμένης.

effet sur la vue et sur l'ouïe, quand elle tombe dans les yeux ou dans
les oreilles. — La renouée a quelque chose d'astringent; dans cette 33
plante, c'est le froid aqueux qui prédomine de façon à lui faire atteindre
le second degré accompli, et, comme la renouée refroidit et répercute,
il semble qu'elle est desséchante aussi. Sous tous les rapports, la renouée 34
mâle est plus efficace que la *renouée femelle*. — Le polygala a des feuilles 35
modérément âpres; il paraît que l'humidité et la chaleur prédominent
dans ce médicament. — Le genouillet a des propriétés mixtes : en effet, 36
il est doué d'un léger degré d'astringence, d'âcreté et d'amertume, et,
en outre, d'un certain goût désagréable qu'on ne saurait décrire: pour
cette raison, il n'est pas non plus d'un usage très-multiplié. — Le *polé-* 37
monium, que d'autres appellent *philetærium*, a des propriétés subtiles et
desséchantes. — Le *polium* a un goût amer et modérément âcre : par 38
conséquent, il est désobstruant. L'espèce de polium qu'on emploie dans 39
la confection des *antidotes* est plus amère et plus âcre que la grande es-
pèce, de façon qu'elle appartient à la troisième classe des desséchants

2. τοῦ ὑδατώδους V. — 3-4. ἐν τοῖς ψύχουσι φαρμάκοις ἢ καὶ τῆς τρίτης που κατὰ τὴν ἀρχήν Gal. — 5-7. Πολύγαλον..... θερμόν om. C. — 9. πολύχρηστος CV. — 11. τοι γὰρ οὐκ C. — 12. Πόλιον τὸ μικρόν Gal.; καὶ μάλιστα τὸ μικρότερον Aët. — 13. ἐκ..... τῶν] τε καὶ Paul.

40 — Πολύκνημον θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν.
41 — Ποταμογείτων στύφει καὶ ψύχει παραπλησίως πολυγόνῳ· πα-
42 χυμερέστερος δὲ οὗτος. — Πολυπόδιον τὴν γλυκεῖαν ἅμα καὶ αὐ-
στηρὰν ἐπικρατοῦσαν ἔχει ποιότητα, ὡς εἶναι δυνάμεως ξηραντικῆς
43 ἱκανῶς ἀδήκτου. — Πράσιον πικρόν ἐστιν· διόπερ ἐκφράττει,
ῥύπτει, διαφορεῖ, καὶ θείη ἄν τις αὐτὸ κατὰ μὲν τὴν θερμότητα τῆς
δευτέρας που τάξεως ἤδη συμπληρουμένης, κατὰ δὲ τὴν ξηρότητα
44 τῆς τρίτης. — Πρόπολις ῥυπτικῆς μέν ἐστιν οὐκ ἰσχυρᾶς δυνάμεως,
ἑλκτικῆς δὲ ἱκανῶς ἰσχυρᾶς· ἔστι γὰρ λεπτομερὴς τὴν οὐσίαν,
θερμαίνει δὲ κατὰ τὴν δευτέραν ἀπόστασιν ἤδη πληρουμένην. —
45 — Πταρμικῆς τὰ μὲν ἄνθη πταρμικῆς ἐστι δυνάμεως· τὸ δὲ ὅλον
θαμνίον διαφορεῖ· ἔστι γὰρ ἡ κρᾶσις αὐτοῦ θερμὴ καὶ ξηρά,
χλωροῦ μὲν ἔτι κατὰ τὴν δευτέραν που τάξιν, εἰ δὲ ξηρανθείη, κατὰ
46 τὴν τρίτην. — Πτελέας τὰ φύλλα στυπτικὴν ἅμα καὶ ῥυπτικὴν

40 et à la seconde des échauffants au degré extrême. — La ziziphore capitée
41 échauffe et dessèche au second degré. — Le potamot resserre et refroi-
dit au même degré que la renouée; seulement, il est composé de par-
42 ticules plus grossières. — Dans la fougerole, ce sont à la fois les qua-
lités sucrées et âpres qui prédominent : elle a donc des propriétés
43 desséchantes sans causer des picotements trop forts. — Le marrube est
amer : pour cette raison, il désobstrue, déterge et favorise la perspira-
tion, et on pourra le ranger déjà dans la seconde classe à peu près au
degré extrême, sous le rapport de la chaleur, et dans la troisième eu égard
44 à la sécheresse. — La propolis possède des propriétés détersives assez
faiblement prononcées, tandis qu'elle a des propriétés attractives assez
fortes, car elle a une substance subtile, et elle échauffe déjà au second
45 degré extrême. — Les fleurs de ptarmique ont des propriétés sternuta-
toires; mais toute la tige est favorable à la perspiration, car cette plante
a un tempérament chaud et sec, et, quand elle est encore verte, ces qua-
lités vont à peu près jusqu'au second degré; après la dessiccation, elles
46 vont jusqu'au troisième. — Les feuilles d'orme présentent à la fois des

7. που τάξ. ἤδη που συμπλ. ACV. — 7-8. κ. δ. τ. ξ. τῆς τρίτης, ἤτοι μεσούσης καὶ συμπληρουμένης Gal.; μᾶλλον δὲ ξηραίνει Paul. — 9. ἑλκτ.] ἐκφρακτικῆς Paul. — 10. δευτ. που τάξιν V. — Ib. συμπληρουμένην καὶ (ἢ Aët.) τρίτην ἀρχομένην Gal., Aët. — 11. τὰ μὲν φύλλα Paul. — 12. στ.] ξηραντικὴν Paul.

ἐμφαίνει δύναμιν, ὁ δὲ φλοιὸς ἔτι μᾶλλον ὑπόπικρός τέ ἐσ7ι καὶ
σ7υπ7ικός. Καὶ αἱ ῥίζαι δὲ τῆς αὐτῆς εἰσι δυνάμεως. — Πτέρις πι- 47-48
κρὰ τυγχάνει, βραχύ τι σ7ύψεως ἔχουσα· διὸ δυνάμεώς ἐσ7ιν ἰσχυρῶς
ξηραντικῆς, οὐ μέντοι δακνώδους. Ὁμοίαν δὲ αὐτῇ καὶ ἡ θηλύπ7ερις 49
δύναμιν ἔχει. — Πυκνοκόμου καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα 50
διαφορητικῆς τέ ἐσ7ι καὶ ἑλκτικῆς δυνάμεως, δριμέα ὄντα. — Πυ- 51
ρέθρου ἡ ῥίζα καυσ7ικῆς ἐσ7ι δυνάμεως. — Πυρὸς ἐκ τῆς πρώτης 52
ἐσ7ὶ τάξεως τῶν θερμαινόντων· οὐ μὴν οὔτε ξηραίνειν, οὔτε ὑγραί-
νειν ἐπιφανῶς πέφυκεν· ἔχει δέ τι καὶ γλίσχρον καὶ ἐμφρακτικόν.
Τὸ δὲ ἐξ αὐτοῦ σκευαζόμενον ἄμυλον ψυχρότερόν τε καὶ ξηραντι- 53
κώτερον αὐτοῦ γίνεται. Καὶ τὸ ἐξ ἄρτου δὲ κατάπλασμα διαφορη- 54
τικωτέρας ἐσ7ὶ δυνάμεως ἤπερ τὸ ἐκ τῶν πυρῶν, ὡς ἂν καὶ ἁλῶν
καὶ ζύμης προσειληφότος τοῦ ἄρτου· δυνάμεως γὰρ ἐπισπασ7ικῆς
τε καὶ διαφορητικῆς τῶν ἐκ τοῦ βάθους ἐσ7ὶν ἡ ζύμη.

propriétés astringentes et détersives, mais l'écorce de cet arbre est en-
core plus fortement douée d'une amertume légère ainsi que d'astrin-
gence. Les racines d'orme ont également les mêmes propriétés. — La 47-48
fougère mâle est amère, et elle possède un léger degré d'astringence :
pour cette raison, elle a des propriétés fortement desséchantes sans
qu'elle produise de picotements. La *fougère femelle* a des propriétés 49
analogues à celles de la fougère mâle. — La racine, la graine et les 50
feuilles de la scabieuse ambrosioïde ont des propriétés attractives et fa-
vorables à la perspiration, parce qu'elles sont âcres. — La racine de pa- 51
riétaire d'Espagne a des propriétés caustiques. — Le froment appartient 52
à la première classe des échauffants, mais il n'est pas de nature à des-
sécher ou à humecter manifestement ; cependant, il a quelque chose de
visqueux et d'obstruant. L'amidon qu'on fait avec le froment devient 53
plus froid et plus desséchant que cette graine elle-même. Le cataplasme 54
de pain est plus favorable à la perspiration que celui de froment, parce
qu'au pain on ajoute du sel et du ferment, car le ferment est doué de
propriétés qui attirent les humeurs du fond du corps et les dissipent par
la perspiration.

2. εἰσι om. V. — 2-3. ξηραντικῆς καὶ πικρᾶς Paul. — 3. μετέχουσα Gal. — 4. ἡ θηλ. ὀνομαζομένη Gal.; λεπ7ομερές C. — 5. ἔχειν AC. — 9. γλίσχρον καί om. C. — 11. ἄρτου] αὐτοῦ ACV. — Ib. δὲ om. C. — 14. τε καὶ διαφ. om. V.

1 § 17. — Ῥάμνος ξηραίνει μὲν κατὰ τὴν δευτέραν ἀπόσλασιν, ψύχει
2 δὲ κατὰ τὴν πρώτην συμπληρουμένην. — Ῥαφανὶς θερμαίνει μὲν
κατὰ τὴν τρίτην ἀπόσλασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν· ἡ δὲ
3 ἀγρία δρασλικωτέρα κατὰ ἄμφω. Καὶ μὲν δὴ καὶ τὸ σπέρμα δρασλικώ-
τερον αὐτοῦ τοῦ φυτοῦ· διαφορητικὴ δέ ἐσλιν ἐν αὐτῷ ἡ δύναμις. —
4 Ῥῆον μικτῆς ἐσλι δυνάμεως· ἔχει μὲν γάρ τι καὶ γεῶδες ψυχρὸν, ὡς
ἡ σλύψις δηλοῖ· σύνεσλι δέ τις αὐτῷ καὶ δριμύτης· ὑπόθερμον γὰρ
ἐπὶ πλέον μασωμένοις φαίνεται, μετέχει δὲ καὶ ἀερώδους τινὸς οὐσίας
5 λεπλομεροῦς. — Ῥητίναι πᾶσαι ξηραίνουσι καὶ θερμαίνουσι, διαφέ-
ρουσι δὲ ἀλλήλων τῷ τε πλέον ἢ ἔλατλον ἔχειν ἐν τῇ γεύσει δριμὺ
καὶ τῇ δυνάμει θερμαῖνον, καὶ τῷ τὰς μὲν αὐτῶν ἧτλον εἶναι λεπλο-
μερεῖς, τὰς δὲ μᾶλλον, καὶ τῷ τὰς μὲν σλύψεως μετέχειν, τὰς δὲ οὔ.
6 Προκέκριται δὲ εἰκότως ἐξ ἁπασῶν ἡ σχινίνη, μασλίχην δὲ αὐτὴν

1 § 17. — Le nerprun dessèche au second degré et il refroidit au premier
2 degré exagéré. — Le raifort échauffe au troisième degré et il dessèche au
deuxième, mais le raifort sauvage est plus actif sous les deux rapports
3 (que le raifort cultivé). La graine de raifort est aussi plus efficace que
la plante elle-même : en effet, elle possède des propriétés favorables à la
4 perspiration. — Le rhapontic a des propriétés mixtes : en effet, il con-
tient d'abord un froid terreux, comme son astringence nous l'apprend ;
il est doué, en outre, d'une certaine âcreté, car, si on le mâche pendant
longtemps, il trahit un goût légèrement chaud ; enfin, il possède une
5 substance aérienne subtile. — Toutes les espèces de résine dessèchent et
échauffent ; mais elles diffèrent entre elles, en ce que les unes ont un
goût plus âcre et des propriétés plus échauffantes que les autres, en ce
que quelques-unes sont moins subtiles, tandis que d'autres le sont davan-
tage, enfin en ce que quelques-unes sont douées d'astringence, tandis
6 que d'autres ne le sont pas. On a raison de préférer à toutes les autres
résines celle de lentisque, qu'on appelle mastix : en effet, outre qu'elle

1. θερμαίνει μὲν καὶ διαφορεῖ κατά Gal. — Ib. ἔχει C. — 2. συμπλ. ἢ τὴν δευτέραν ἀρχομένην Gal. — 3. τρίτην] πρώτην ACV. — 5. τοῦ om. ACV. — Ib. αὐτοῖς ACV. — 6. Ῥέον ποντικόν Aët. — Ib. μικτικῆς C. — 7. θερμότης Gal. — Ib. ὑπόθερμος ACV; ὑπόδριμυ Gal. — 8. μασσωμένοις CV; διαμασώμενον Gal. — 10. τὸ ἐν τῇ γ. Aët. — 11. θερμόν Aët. — Ib. μέν om. C.

ὀνομάζουσιν· πρὸς γὰρ τῷ στύψεως ὀλίγης μετέχειν ἔτι καὶ τὸ
ξηραίνειν ἀλύπως αὐτῇ πάρεστιν· ἥκιστα γὰρ δριμεῖα, καὶ μάλιστα
λεπτομερής. Τῶν δὲ ἄλλων ἡ τερμινθίνη πρωτεύει, σαφῆ μὲν οὐχ 7
ὁμοίως τῇ μαστίχῃ τὴν στύψιν ἔχουσα, πικρότητα δέ τινα κεκτη-
μένη, καὶ μᾶλλον τῆς μαστίχης διαφορεῖ· διὰ δὲ τὴν αὐτὴν ταύτην
ποιότητα καὶ τὸ ῥύπτειν αὐτῷ πάρεστιν. Καὶ μὲν δὴ καὶ τὰ κατὰ 8
βάθους ἕλκει μᾶλλον τῶν ἄλλων ῥητινῶν, ὅτι καὶ λεπτομερὴς ἐκεί-
νων μᾶλλόν ἐστιν. Ἥ γέ τοι πευκίνη, καὶ ταύτης ἔτι μᾶλλον ἡ 9
στροβιλίνη, δριμύτεραι μὲν αὐτῆς εἰσιν, οὐ μὴν οὔτε διαφοροῦσι
μᾶλλον, οὔτε ἐπισπῶνται. Μέσαι δὲ αὐτῶν εἰσιν ἡ πιτυΐνη τε καὶ 10
ἐλατίνη, δριμύτεραι μὲν οὖσαι τῆς τερμινθίνης, ἧττον δὲ δριμεῖαι
τῆς πευκίνης τε καὶ στροβιλίνης. Ἔχει δέ τι καὶ μαλακτικὸν ἡ τερ- 11
μινθίνη, δευτέρα δέ ἐστιν ἐν τῷ μαλάττειν ἡ σχινίνη, καθάπερ ἡ

présente une astringence légère, elle a encore la propriété de dessécher
sans causer du désagrément, puisqu'elle n'est pas du tout âcre, mais
extrêmement subtile. Parmi les autres espèces de résine, celle de téré- 7
benthinier occupe le premier rang; cette espèce n'a pas une astringence
aussi manifeste que le mastix, mais elle est douée d'une certaine amer-
tume, et elle favorise plus fortement la perspiration que le mastix; à
cause de la même qualité, elle a aussi des vertus détersives. Elle attire 8
aussi plus fortement que les autres résines les humeurs dispersées dans
la profondeur du corps, parce qu'elle est également plus subtile que ces
résines. La résine du pin aux torches, et plus encore celle du pin cul- 9
tivé, sont plus âcres que celle de térébenthinier; mais elles ne favorisent
pas plus fortement la perspiration, ni n'attirent pas plus fortement les
humeurs qu'elle. La résine du pin ordinaire et celle du sapin tiennent le 10
milieu entre ces deux espèces, puisqu'elles sont plus âcres que la résine
de térébenthinier, tandis qu'elles le sont moins que celles du pin aux
torches et du pin cultivé. La résine de térébenthinier a aussi quelque 11
chose de ramollissant, et, sous le rapport des propriétés ramollissantes,
la résine de lentisque occupe le second rang, comme celle du cyprès le fait

3. πρωτεύει om. C. — 5. δι' ἣν καὶ μᾶλλον Gal. — Ib. διαφορητική τε καὶ μαλακτικὴ καὶ λεπτομερὴς ὑπάρχουσα Paul. — 5-6. ταύτην..... αὐτῷ om. ACV. — 6-7. ἐκ βάθους Gal. — 8. Καὶ ἡ λάριξ ἐστίν. Ἡ μέντοι πευκίνη Paul.

12 κυπαρισσίνη δριμεῖα. — Ῥόδων ἡ δύναμις ἐξ ὑδατώδους θέρμης
ἀναμεμιγμένης δύο ποιότησιν ἑτέραις, τῇ τε σΊυφούσῃ καὶ τῇ πικρᾷ,
13 σύγκειται. Ἔσῖι δὲ τὸ ἄνθος αὐτῶν ἔτι καὶ μᾶλλον αὐτῶν τῶν ῥό-
14 δων σΊυπΊικὸν, καὶ διὰ τοῦτο ξηραντικόν. — Ῥοδία ῥίζα λεπΊομεροῦς
ἐσῖι καὶ διαφορητικῆς δυνάμεως, ἐν δὲ τῷ θερμαίνειν κατὰ τὴν
15 τρίτην ἀπόσΊασιν ἀρχομένην. — Ῥοδοδάφνη κατὰ μὲν τὴν ὅλην
οὐσίαν δηλητήριός ἐσῖι, κατὰ δὲ τὴν κρᾶσιν τῆς τρίτης μὲν τῶν
θερμαινόντων τάξεως ἀρχομένης, τῆς πρώτης δὲ τῶν ξηραινόντων.
16 — Ῥοὰ πᾶσα τῆς σΊυφούσης μετέχει ποιότητος, οὐ μὴν ἐπικρα-
τούσης γε πάντως· ἔνιαι μὲν γὰρ αὐτῶν εἰσιν ὀξεῖαι, τινὲς δὲ γλυ-
17 κεῖαι πλέον ἢ αὐσΊηραί. Καὶ δὴ καὶ τὰς ὠφελείας ἑκάσΊης αὐτῶν
18 κατὰ τὴν ἐπικρατοῦσαν ἀνάγκη γίνεσθαι ποιότητα. Ἔσῖι δὲ τὰ μὲν
γίγαρτα τοῦ χυλοῦ σΊυπΊικώτερα, τούτων δὲ τὰ λέμματα· καλεῖ-
19 ται δὲ σίδια. Παραπλησίας δὲ αὐτοῖς εἰσι δυνάμεως οἱ κύτινοι. —

12 pour l'âcreté. — Les propriétés du rosier sont composées d'une chaleur
aqueuse, mélangée à deux autres qualités, l'astringence et l'amertume.
13 La fleur du rosier est encore plus fortement astringente et, pour cette
14 raison, plus fortement desséchante que le rosier lui-même. — L'orpin
rose a des propriétés subtiles et favorables à la perspiration, et il échauffe
15 au troisième degré faible. — Le laurier-rose est vénéneux quant à l'en-
semble de sa substance; mais, par rapport à son tempérament, il appar-
tient à la troisième classe des échauffants à un faible degré et à la pre-
16 mière des desséchants. — Toute espèce de grenade est douée de proprié-
tés astringentes, quoique ces propriétés ne prédominent pas toujours dans
ce fruit : en effet, il y a des grenades aigres, et il y en a qui sont plutôt
17 sucrées qu'âpres. L'effet utile que produit chaque espèce de ces fruits,
18 dépend nécessairement de la qualité qui y prédomine. Les noyaux de
grenade sont plus fortement astringents que leur suc, et l'écorce de
19 ces fruits l'est encore davantage; on appelle ces écorces *sidia*. Les fleurs
de grenadier sont douées de propriétés semblables [à celles des écorces de

1. *δριμείας* ACV. — Ib. *θερμῆς* AC Aët.; *οὐσίας θερμῆς* Gal., Paul. — 4. *ῥυπΊικόν* AV. — 5. *καί* om. ACV. — 5-6. *κατὰ τὴν δευτέραν ἀπόσΊ., ἢ καὶ τὴν τρίτην ἀρχ.* Gal. — 10. *τε* ACV. — Ib. *πάντων* Gal.; *δι' ἣν ψύχουσί τε καὶ ξηραίνουσι* Paul. — 13. *σΊυπΊ.*] *ξηραντικώτερα* Gal., Paul.

Ῥοῦς στύφει καὶ ξηραίνει· ὁ καρπὸς δὲ αὐτῆς μάλιστα καὶ ὁ χυλὸς 20
εἰς χρείαν ἥκουσιν ἱκανῶς αὐστηρᾶς ὄντα ποιότητος. Ξηραίνει μὲν 21
οὖν ἐκ τῆς τρίτης τάξεως· ψύχει δὲ ἐκ τῆς δευτέρας. — Ῥύπος ὁ μὲν 22
ἀπὸ τῶν ἀνδριάντων διαφορητικός ἐστι καὶ μαλακτικὸς, ἔχων τι
καὶ δριμὺ διὰ τὸ προσειληφέναι τοῦ ἀπὸ τῶν ἀνδριάντων ἰοῦ. Ὁ 23
δὲ ἐν ταῖς παλαίστραις, ὃν ὀνομάζουσι πάτον, ἐκ διαφερόντων
σύγκειται, ἐκ κόνεώς τε καὶ ἐλαίου καὶ ἀνθρώπου ῥύπου καὶ ἱδρῶ-
τος. Ἡ μὲν οὖν κόνις ἐμπλαστικόν τέ ἐστι καὶ ψυκτικὸν καὶ ἀπο- 24
κρουστικὸν, τὸ δὲ ἔλαιον μαλακτικὸν, ὁ δὲ ἱδρὼς καὶ ὁ ῥύπος δια-
φορητικοί.

§ 18. — Σαγαπηνὸν ὀπός ἐστι θερμὸς καὶ λεπτομερὴς ὡσαύτως 1
τοῖς ἄλλοις ὀποῖς· ἔχει δέ τι καὶ ῥυπτικόν. — Σάμψυχον λεπτομε- 2
ροῦς ἐστι καὶ διαφορητικῆς δυνάμεως· ξηραίνει τε γὰρ καὶ θερμαίνει
κατὰ τὴν τρίτην τάξιν. — Σαρκοκόλλα δάκρυον μικτὸν τὴν δύναμίν 3
ἐστιν ἐξ ἐμπλαστικῆς τινος οὐσίας καὶ βραχείας πικρᾶς, ὅθεν ἀδή-

grenades]. — Le sumac resserre et dessèche, mais ce sont surtout le fruit 20
et le suc de cette plante qu'on emploie, et ils ont des qualités assez for-
tement âpres. Le sumac dessèche donc au troisième degré, et il refroidit 21
au second. — La crasse des statues est favorable à la perspiration et ra- 22
mollissante, parce qu'elle a quelque chose d'âcre, qualité dont elle est
redevable à la rouille des statues. La crasse des palestres, qu'on appelle 23
patos, est composée d'éléments divers, de poussière et d'huile, de crasse
et de sueur d'homme. Or la poussière a des propriétés capables de bou- 24
cher les pores, de refroidir et de répercuter, l'huile est ramollissante, et
la sueur et la crasse [humaines] favorisent la perspiration.

§ 18. — La gomme sagapène est un suc chaud et subtil comme tous les 1
autres sucs; elle a, en outre, quelque chose de détersif. — La marjolaine 2
a des propriétés subtiles et favorables à la perspiration, car elle dessèche
et échauffe au troisième degré. — La sarcocolle est une gomme douée 3
de propriétés mixtes qui se composent d'une substance propre à bou-
cher les pores et d'une légère proportion de substance amère : pour cette

1. Ῥοὸς τὸ φύλλον Aët. — 2. αὐστηρᾶς] στυπτικοῦ Paul. — 4. ἀνδρ., ἐν οἷς ἂν ἄφθονον ἔλαιον κεῖται Gal. — Ib. καὶ ξηραντικὸς μετρίως καί Paul. — 8. στυπτικόν A. — 9. καὶ ῥύπος AC. — 9-10. διαφορητικόν A; διαφορητικά Gal. — 11. ἐστὶν οἷον νάρθηκος θερμός Paul. — 13. γάρ om. V. Aët., Paul.

4 *κτως ξηραίνει.— Σατύριον ὑγρόν ἐστι καὶ θερμὸν τὴν κρᾶσιν· διὸ*
καὶ γευομένοις φαίνεται γλυκύ· περιττωματικὴν μέντοι καὶ φυσώδη
5 *τὴν ὑγρότητα κέκτηται.* Ταῦτα *δὲ καὶ ἡ ῥίζα τῆς βοτάνης δρᾶν πέφυ-*
6 *κεν.— Σέλινον θερμὸν καὶ ἄφυσόν ἐστι, καὶ μᾶλλον τῆς πόας τὸ*
7 *σπέρμα.* Καὶ *τοῦ ὀρεοσελίνου δὲ καὶ τοῦ ἱπποσελίνου παραπλήσιος*
ἡ δύναμις· ἀσθενέστερον δὲ τὸ ἱπποσέλινον, ὥσπερ ἰσχυρότερον τὸ
8 *ὀρεοσέλινον. — Σέρις ὑπόπικρός ἐστι, καὶ μᾶλλον ἡ ἀγρία, ὅπερ*
πικρίδα καλοῦσι, τινὲς δὲ κιχόριον· ἔστι δὲ αὕτη μὲν ψυχρᾶς καὶ
9 *ξηρᾶς κράσεως κατὰ τὴν πρώτην ἀπόστασιν.* Ἡ *δὲ ἥμερος ἐπὶ μᾶλ-*
λον μὲν ψύχει τῆς ἀγρίας, ἐπιμιξίᾳ δὲ πολλῆς ὀθνείας ὑγρότητος
10 *ἀπόλλυσι τὸ ξηραίνειν.* Ἀμφότεραι *δὲ μετέχουσι τῆς στυφούσης*
11 *ποιότητος, ὥσπερ καὶ ἡ χονδρίλη.— Σέριφον παραπλήσιον μέν*
ἐστι τῷ ἀψινθίῳ· διαλλάττει δὲ ὅμως τῷ μήτε ὁμοίως ἐκείνῳ στύ-

4 raison, elle dessèche sans produire de picotements.— L'orchis homme-
pendu a un tempérament humide et chaud : c'est pour cette raison qu'il
révèle un goût sucré; cependant il contient un liquide excrémentitiel et
5 flatulent. La racine de cette plante est de nature à produire également le
6 même effet. — Le céleri est chaud et chasse les vents, et la graine de cé-
7 leri produit cet effet plus fortement encore que l'herbe elle-même. Le
céleri de montagne (séséli annuel) et le *céleri de cheval* (maceron) ont des
propriétés semblables (à celles que nous venons de nommer); mais la
dernière plante est plus faible et la première plus forte (que le céleri
8 cultivé). — La chicorée est légèrement amère, et surtout l'espèce sau-
vage qu'on appelle *picris* et que d'autres nomment *cichorium;* cette der-
9 nière espèce a un tempérament froid et sec au premier degré. La
chicorée cultivée refroidit plus fortement encore que la *chicorée sau-*
vage; mais, par suite du mélange d'une grande quantité d'humidité
10 étrangère, elle perd ses propriétés desséchantes. Les deux espèces sont
douées de propriétés astringentes de même que le duriou jaune. —
11 L'armoise maritime ressemble à l'absinthe; elle en diffère cependant
parce qu'elle ne resserre pas au même degré que cette plante, parce

2. *γευόμενον* Gal. — 5. *δὲ καὶ τοῦ ἱπποσελίνου* om. ACV. — 7. *ὑπόπικρόν ἐστι λάχανον* Gal. — Ib. *τὸ ἄγριον* Gal. — Ib. *ὅπερ καὶ* (om. Aët.) *δι' αὐτὸ τοῦτο* Gal. Aët. — 8. *αὐτὴ μέν* AC Gal. — 8-9. *ψῦχον ἱκανῶς καὶ ὑγραῖνον* Paul. — 9. *τὴν πρώτην τὴν ἀπόστασιν* C.

φειν, καὶ μᾶλλον θερμαίνειν τε καὶ ϖικράζειν μετά τινος ἀλυκό-
τητος, κακοστόμαχόν τε εἶναι. Καὶ δὴ καὶ θερμαίνει μὲν ἐκ τῆς 12
δευτέρας τάξεως ἐπιτεταμένης, ξηραίνει δὲ ἐκ τῆς τρίτης. — Σεσέ- 13
λεως καὶ ἡ ῥίζα μὲν, ἔτι δὲ μᾶλλον ὁ καρπὸς, τῶν θερμαινόντων
ἐστὶ μετὰ τοῦ λεπτομερὴς ὑπάρχειν. — Σήσαμον ἐμπλαστικόν τέ 14
ἐστιν ἅμα καὶ μαλακτικὸν καὶ μετρίως θερμόν. Τῆς δὲ αὐτῆς 15
δυνάμεώς ἐστι καὶ τὸ ἔλαιον τὸ ἐξ αὐτοῦ. — Σησαμοειδὲς τὸ μέγα, 16
ὅπερ καὶ Ἀντικυρικὸς ἐλλέβορος ὠνόμασται διὰ τὸ καθαίρειν αὐτοῦ
τὸ σπέρμα ϖαραπλησίως ἐλλεβόρῳ, τοῦτο καὶ τῇ ἄλλῃ δυνάμει
ϖαραπλήσιόν ἐστιν ἐλλεβόρῳ. Καὶ μέντοι καὶ κατὰ τὸ ῥύπτειν τε 17
καὶ θερμαίνειν καὶ ξηραίνειν ὅμοιον ἐκείνῳ τὴν δύναμίν ἐστιν. —
Σησαμοειδοῦς τοῦ λευκοῦ τὸ σπέρμα μετέχει μέν τινος καὶ δριμείας 18
ϖοιότητος· ϖικρὸν δὲ ἱκανῶς ἐστιν· θερμαίνει τοιγαροῦν καὶ ῥήσ-
σει καὶ ῥύπτει. — Σιδηρῖτις ἔχει μέν τι καὶ ῥυπτικὸν, ἀλλὰ τό γε 19

qu'elle est plus échauffante et plus amère que l'absinthe, tout en possé-
dant en même temps un certain goût salé, et parce qu'elle nuit à l'ori-
fice de l'estomac. Elle appartient donc à la seconde classe des échauf- 12
fants au suprême degré et à la troisième classe des desséchants. — La 13
racine de séséli, et plus encore la graine de cette plante, appartiennent
aux médicaments échauffants, en même temps qu'elles sont subtiles. —
Le sésame est à la fois capable de boucher les pores, ramollissant et mo- 14
dérément chaud. L'huile qu'on tire de cette graine est douée des 15
mêmes propriétés qu'elle. — Le réséda blanc, qu'on appelle aussi *ellé-* 16
bore d'Anticyre, parce que la graine de cette plante purge de la même
manière que l'ellébore, ressemble également à ce médicament sous le
rapport de ses autres propriétés. En effet, cette plante a également des 17
propriétés semblables à celles de l'ellébore, eu égard à son pouvoir
détersif, échauffant et desséchant. — La graine d'aubriétie deltoïde est 18
douée, jusqu'à un certain degré, de qualités âcres, mais elle est forte-
ment amère : par conséquent, elle échauffe, déchire et déterge. — La 19
sidéritis a quelque chose de détersif, mais la plus grande partie de sa

2. θερμαίνειν Gal. — 3. ξηραίνειν Gal. — Ib. κατὰ τὴν τρίτην Gal. κατὰ τὴν ϖρώτην Paul. — 4. μᾶλλον] καί Gal. — 5. τε] δέ C. — 6. δέ om. C. — 8. Ἀντικρυραϊκός A; Ἀντικυραϊκός A 2ª m. CV.

πλέον αὐτῆς ὑγρόν τέ ἐστι καὶ ψυχρὸν μετρίως· ὀλίγης δέ τινος
20 μετείληφε στύψεως. Καλοῦσι δέ τινες καὶ τὴν ἀχίλλειον σιδηρῖτιν·
21 πλεονεκτεῖ δὲ τῇ στύψει τῆς προειρημένης. — Σίκυος ὁ ἐδώδιμος
ὁ μὲν ἤδη πέπων λεπτομερεστέρας οὐσίας ἐστὶν, ὁ δὲ μὴ τοιοῦτος
22 παχυμερεστέρας. Οὐ μὴν ἀλλὰ καὶ ῥυπτικῆς τε καὶ τμητικῆς μετει-
λήφασι δυνάμεως· κρατεῖ δὲ ἐν αὐτοῖς ἡ ὑγρὰ καὶ ψυχρὰ κρᾶσις,
23 ὡς ἐν τῇ δευτέρᾳ τάξει τίθεσθαι. Εἰ μέντοι τὸ σπέρμα ξηράνειέ τις,
ἢ τὴν ῥίζαν, τῆς ξηραινούσης ἤδη κατὰ τὴν πρώτην πεπληρωμένην
24 γίνεται. Ἔστι δὲ καὶ τὸ ῥυπτικὸν ἐν τούτοις πλέον ἢ ἐν τῇ σαρκὶ
25 τοῦ καρποῦ. Σικύου ἀγρίου τοῦ καρποῦ ὁ χυλὸς, ὃν ἐλατήριον ὀνο-
μάζουσιν, ἄκρως πικρόν ἐστι καὶ λεπτομερὲς, ἐπὶ ὀλίγον δὲ θερ-
μὸν, ὡς ἐκ τῆς δευτέρας τάξεως εἶναι, καὶ διαφορητικὸν δέ ἐστιν.
26 Τῆς ῥίζης δὲ ὁ χυλὸς, ὥσπερ γε καὶ ὁ τῶν φύλλων, ὅμοιοι μὲν
27 ἐλατηρίῳ τὴν δύναμιν, ἀσθενέστεροι δέ. Καὶ αὐτὴ δὲ ἡ ῥίζα παρα-

substance est humide et modérément froide; elle est douée d'un cer-
20 tain degré d'astringence. Quelques-uns appellent aussi l'achillée *sidé-
ritis;* mais cette plante surpasse la première sous le rapport de l'astrin-
21 gence. — Le concombre bon à manger a, quand il est déjà mûr, une
substance assez subtile, mais, quand il ne l'est pas encore, sa substance
22 est plutôt composée de particules grossières. Cependant, dans les deux
cas, il est doué de propriétés détersives et incisives; mais, dans ce fruit,
le tempérament humide et froid prédomine à tel point, qu'il doit être
23 rangé dans la seconde classe. Cependant, quand on dessèche la graine
ou la racine de concombre, elles passent déjà dans la classe des dessé-
24 chants au premier degré extrême. Dans ces préparations, les propriétés
25 détersives sont aussi plus fortes que dans la pulpe du fruit. Le suc du
fruit du concombre sauvage, lequel est appelé élatérium, est éminem-
ment amer et subtil, mais il n'est que légèrement chaud, de manière
26 à appartenir à la seconde classe; en outre, il favorise la perspiration. Le
suc de la racine de cette plante, ainsi que celui des feuilles, ressemblent,
27 par leurs propriétés, à l'élatérium, mais ils sont plus faibles. La racine

3. Σίκυος ἐδώδ. V Gal. — 4. οὐσίας om. A. — 4-5. ἐστὶν..... παχ. om. AV. — 5-6. μετείληφε V. — 6. κρατεῖ..... κρᾶσις] χλωρὸς ψύχει τε καὶ ὑγραίνει Paul. — Ib. ἡ om. Gal. — 8. πρ. πόν τάξιν, ἢ καὶ τὴν β' ἀρχομένην Gal. — 10. ὁ χ. ἢ ὀπὸς Aët. — 13. καυλῶν Aët. — Ib. ὅμοιος Paul. — 14. ἀσθενέστερος Paul.

πλησίας ἐστὶ δυνάμεως· καὶ γὰρ ῥύπτει καὶ διαφορεῖ καὶ μαλάττει·
ξηραντικώτερος δὲ αὐτῆς ὁ φλοιός. — Σιλφίου θερμότατος μέν 28
ἐστιν ὁ ὀπὸς, οὐ μὴν ἀλλὰ καὶ τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ὁ καυ-
λὸς καὶ ἡ ῥίζα θερμαίνει γενναίως· ἔστι δὲ φυσωδεστέρας οὐσίας
ἅπαντα· ἔξωθεν δὲ ἐπιτιθέμενα δραστηριωδέστερα, καὶ μάλιστα ὁ
ὀπὸς, ἑλκτικῆς ἱκανῶς ὑπάρχων δυνάμεως. Καὶ μὲν δὴ καὶ καθαιρε- 29
τικὸν καὶ ἀποτηκτικόν τι ἔχει. — Σίνων θερμὸς καὶ ὑπόπικρός 30
ἐστι καὶ ἐκφρακτικός. — Σίον θερμαίνει καὶ διαφορεῖ. — Σισάρου 31-32
ἡ ῥίζα θερμαίνει κατὰ τὴν δευτέραν τάξιν· ἔχει δέ τι καὶ πικρό-
τητος καὶ στύψεως. — Σισύμβριον λεπτομεροῦς, διαφορητικῆς, 33
θερμαινούσης καὶ ξηραινούσης κατὰ τὴν τρίτην τάξιν ἐστὶ δυνά-
μεως· τὸ σπέρμα δὲ αὐτοῦ λεπτομεροῦς καὶ θερμῆς ἐστι δυνάμεως.
Σισύμβριον, ὅ περ καὶ καρδαμίνην ὀνομάζουσιν, ὅταν μὲν ξηρὸν 34
ᾖ, τῆς τρίτης ἐστὶ τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων·

elle-même a aussi des propriétés semblables, puisqu'elle déterge, favo-
rise la perspiration et ramollit; mais son écorce a des propriétés plus
fortement desséchantes. — Le suc de *silphium* est éminemment chaud; 28
cependant les feuilles, la graine, la tige et la racine de cette plante
échauffent activement aussi; mais tous ces médicaments ont une subs-
tance plus ou moins flatulente; si on les applique à l'extérieur, ils sont
assez actifs, mais surtout le suc, qui a des propriétés attractives assez
fortement prononcées. De plus, il a quelque chose de cathérétique et de 29
fondant. — Le faux amome est chaud, légèrement amer et désobstruant. 30
— La berle échauffe et favorise la perspiration. — La racine de chervis 31-32
échauffe au second degré; elle a, en outre, une certaine amertume et
une certaine astringence. — Le *sisymbrium* (menthe aquatique) a des 33
propriétés subtiles, favorables à la perspiration, et échauffantes et dessé-
chantes au troisième degré; la graine de cette plante est douée de vertus
subtiles et chaudes. Le *sisymbrium*, qu'on appelle aussi cresson de fon- 34
taine, appartient, quand il est desséché, à la troisième classe des échauf-

2. χυλός Paul. — 3. καὶ ὁ καρπός om. Gal., Aët. — 4. φυσωδεστέρας καὶ ἀερώδους Aët. — 5. μάλιστα πάντων Gal. — 6. ἐλακτικῆς A; ἐκτικῆς V. — 7. τι om. V. — Ib. Σίσων Gal., Paul. — 9. τρίτην Paul. — Ib. καί om. ACV. — 10. καί τι στύψεως βραχείας Gal. — 11. ἡ ξηρ. C. — 13. καρδάμιν C; καλαμίνην V. — 14. κατὰ τὴν πρώτην τάξιν Paul.

35 ὅταν δὲ χλωρὸν, τῆς δευτέρας. — Σκάνδιξ ὑπόδριμύ τε καὶ ὑπό-
πικρόν ἐστι, καὶ τῷ θερμαίνειν καὶ ξηραίνειν δευτέρας τάξεως ἐπι-
36 τεταμένης. — Σκίλλα τμητικῆς ἱκανῶς ἐστι δυνάμεως, θερμαίνει
37 δὲ ἐν δευτέρᾳ τάξει. — Σκολύμου ἡ ῥίζα θερμὴ μὲν κατὰ τὴν δευ-
τέραν τάξιν ἐστὶν ἤδη συμπληρουμένην, ἢ τρίτην ἀρχομένην, ξηρὰ
38 δὲ κατὰ τὴν δευτέραν. — Σκόρδιον ἔχει τι πικρὸν καὶ στρυφνὸν
καὶ δριμύ· διακαθαίρει τε οὖν ἅμα καὶ θερμαίνει τὰ σπλάγχνα. —
39 Σκόροδον θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τετάρτην ἀπόστασιν.
40 Τὸ δὲ ὀφιοσκόροδον ὀνομαζόμενον ἄγριόν ἐστι σκόροδον, ἰσχυρό-
41 τερον ὂν τοῦ ἡμέρου. — Σκοροδόπρασον, ὥσπερ ἐν τῇ γεύσει τε
καὶ τῇ ὀσμῇ μικτὴν ἐκ σκορόδου τε καὶ πράσου κέκτηται ποιότητα,
42 κατὰ τὸν αὐτὸν τρόπον κἀν τῇ δυνάμει. — Σκορπιοειδὲς θερμαί-
νει μὲν κατὰ τὴν τρίτην τάξιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. —
43-44 Σμῖλαξ δένδρον ἐστὶ δηλητηρίου δυνάμεως. — Σμύρνα τῆς δευτέ-

fants et des desséchants; quand il est vert, il appartient à la seconde. —
35 L'aiguillette est légèrement âcre et légèrement amère, et elle appartient
à la seconde classe des échauffants et des desséchants au degré extrême.
36 — La scille a des propriétés assez fortement incisives, et elle échauffe au
37 deuxième degré.— La racine de cardousse est chaude au deuxième degré
38 extrême, ou même au troisième faible, et elle est sèche au second. — La
germandrée aquatique a quelque chose d'amer, d'âpre et d'âcre : elle net-
39 toie donc à la fois et réchauffe les viscères. — L'ail échauffe et dessèche
40 au quatrième degré. La plante appelée rocambole est de l'ail sauvage, et
41 elle est plus forte que l'ail cultivé. — De même que, sous le rapport de la
saveur et de l'odeur, l'ail descendant possède des propriétés intermé-
diaires entre celles de l'ail ordinaire et celles des poireaux, il tient aussi
42 le milieu entre ces deux plantes, eu égard aux vertus médicales. — Le
grémil d'Apulie échauffe au troisième degré et dessèche au second. —
43-44 L'if est un arbre doué de propriétés pernicieuses. — La myrrhe appartient

1. τε] τις C. — 1-2. πικρόν Gal. — 2. τῆς τρίτης Aët. — 2-3. ἐπιτετ. ἢ τρίτης ἀρχομένης Gal.; ἐκλελυμένης Aët. — 3-4. θερμαίνει δὲ καὶ ξηραίνει Paul. — 4. ἐν τῇ δευτέρᾳ Gal. — 5. πληρουμένην Gal. — 7. τοιγαροῦν Gal. — 9. ἄγριον σκόροδον AC; ἀγριόσκορδον V Paul. — 10. ὂν om. Gal., Paul. — 13. δὲ καὶ κατά ACV. — 14. Σμῖλαξ ἢ τάξος Gal.; Σμῖλαξ ἢ κακτός Paul.

ρας ἐστὶ τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων, μετέχει
δὲ καὶ πικρότητος οὐκ ὀλίγης· ἔστι δὲ αὐτῇ καὶ τὸ ῥυπτικόν. Σμύρνα 45
Βοιωτικὴ δύναμιν ἔχει θερμαντικὴν, μαλακτικὴν, διαχυτικήν. —
Σμύρνιον θερμὸν καὶ ξηρόν ἐστι κατὰ τὴν τρίτην τάξιν. — Σόγχος 46-47
ἐξ ὑδατώδους σύγκειται καὶ γεώδους οὐσίας, ἀμφοῖν ἀτρέμα ψυ-
χρῶν· καὶ γὰρ στύψεώς τι μετέχει καὶ σαφῶς ἐμψύχει. Ἐπειδὰν 48
δὲ τελέως ξηρανθῇ, γεώδης ἡ κρᾶσις αὐτοῦ γίνεται, μετρίως θερ-
μότητος ἔχουσα. — Σπαργάνιον ξηραντικῆς δυνάμεώς ἐστιν. — 49
Σπάρτου, ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὅ τε καρπὸς καὶ ὁ τῶν ῥάβδων 50
χυλὸς ἑλκτικῆς οὐκ ἀγεννῶς ἐστι δυνάμεως. — Στάχυς, ὁ παρα- 51
πλήσιος τῷ πρασίῳ θάμνος, δριμύς τέ ἐστι καὶ πικρὸς, τῆς τρίτης
τάξεως ὑπάρχων τῶν θερμαινόντων. — Στοιβῆς ὁ καρπὸς καὶ τὰ 52
φύλλα στυπτικὴν ἔχει δύναμιν ἄδηκτον· ἔστι δὲ κἀν τῷ ξηραίνειν
κατὰ τὴν τρίτην που τάξιν ἀρχομένην. — Στοιχάδος πικρά τέ 53

à la seconde classe des échauffants et des desséchants, et elle est douée
d'une amertume assez considérable; elle a, en outre, des propriétés dé-
tersives. La *myrrhe* de Béotie a des propriétés échauffantes, ramollis- 45
santes et dispersantes. — Le smyrnium est chaud et sec au troisième 46
degré. — Le laiteron est composé d'une substance aqueuse et d'une 47
substance terreuse, qui sont toutes les deux légèrement froides, car cette
plante possède un certain degré d'astringence et refroidit manifeste-
ment. Quand elle est complétement desséchée, son tempérament de- 48
vient terreux et possède une chaleur modérée. — Le jonc fleuri a des 49
propriétés desséchantes. — Le fruit et le suc des rameaux du genêt 50
d'Espagne, qu'on emploie pour relier les vignes, ont des propriétés at-
tractives assez efficaces. — L'épiaire, qui est un arbrisseau ressemblant 51
au marrube, est âcre et amer, et appartient à la troisième classe des
échauffants. — La graine et les feuilles de pimprenelle épineuse ont des 52
propriétés astringentes, sans qu'elles produisent de picotements; elles
appartiennent à la troisième classe des desséchants, au commencement
à peu près. — La lavande à toupet a des qualités amères et très-modéré- 53

2-3. Σμύρνη βοϊκή Gal. — 3. διαλυτικήν Paul. — 7-8. θερμότητα Gal. — 11. τέ] γενόμενός Gal. — 13. ξηρ. ἐναργῶς Gal. — 14. τέ om. C.

ἐστιν ἡ ποιότης καὶ ὑποστύφουσα μετρίως· ἡ δὲ κρᾶσις σύνθετος
ἔκ τε ψυχρᾶς γεώδους οὐσίας ὀλίγης, ἀπὸ ἧς στύφει, καὶ λελεπτυ-
σμένης ἑτέρας γεώδους πλείονος, ἀπὸ ἧς πικράζει· διὰ δὲ τὴν
ἀμφοτέρων σύνοδον ἐκφράττει, λεπτύνει καὶ ἀποῤῥύπτει καὶ ῥώννυ-
54 σιν. — Στρατιώτης ὁ μὲν ἔνυδρος ὑγρὸς καὶ ψυχρὸς τὴν δύναμιν·
55 ὁ δὲ χερσαῖος ἔχει τι στύψεως. — Στρουθίου ἡ ῥίζα δριμεῖα μέν
ἐστι κατὰ τὴν γεῦσιν, θερμὴ δὲ καὶ ξηρὰ κατὰ τὴν κρᾶσιν ἐκ τῆς
56 τετάρτης ἤδη που τάξεως· ἔστι δὲ καὶ ῥυπτική. — Στύραξ θερ-
μαίνει καὶ ξηραίνει, μαλάττει, συμπέττει· ἡ δὲ λιγνὺς καυθέντος
57 αὐτοῦ παραπλησία πώς ἐστι τῇ τοῦ λιβανωτοῦ. — Σῦκα τὰ μὲν
ξηρὰ θερμὰ τὴν δύναμίν ἐστι κατὰ τὴν πρώτην που τάξιν ἤδη
58 συμπληρουμένην· ἔχει δέ τι καὶ λεπτομερές. Αἱ μὲν οὖν λιπαρώτε-
ραι τῶν ἰσχάδων πέττειν μᾶλλον πεφύκασιν, αἱ δὲ δριμύτεραι ῥύ-
59 πτειν τε καὶ διαφορεῖν. Τὸ δὲ ἐπὶ πλεῖστον αὐτῶν συνεψηθεισῶν

ment astringentes; son tempérament est composé d'une petite quantité
de substance terreuse et froide, qui lui donne son astringence, et d'une
proportion plus forte de substance terreuse atténuée à laquelle elle
doit son amertume : par suite de la combinaison de ces deux substances,
54 elle désobstrue, atténue, déterge et renforce. — Le stratiote aquatique
a des propriétés humides et froides, mais le *stratiote* terrestre (mille-
55 feuille) a un certain degré d'astringence. — La racine de saponaire a
un goût amer et un tempérament chaud et sec qui atteint déjà le qua-
56 trième degré à peu près; en outre, elle est détersive. — Le styrax
échauffe, dessèche, ramollit et favorise la maturation; la suie qu'on
obtient en exposant au feu le styrax, ressemble en quelque sorte à celle
57 de l'encens. — Les figues sèches ont des propriétés chaudes qui vont
déjà jusqu'au premier degré extrême à peu près; en outre, elles ont
58 quelque chose de subtil. Les figues sèches grasses sont plutôt de nature
à favoriser la maturation, tandis que les figues sèches âcres détergent
59 plutôt et favorisent la perspiration. Le liquide qu'on obtient en faisant

1. σύνθετος] σύμμετρος ACV. — 6. τι καὶ στύψ. Gal. — 7. θερμὴ..... κρᾶσιν om. ACV. — 8. δήπου Gal. — 9. καὶ ξηραίνει om. Gal., Aët., Paul. — Ib. συμπέπτει ACV Gal., Aët., Paul. — 11. δευτέραν τάξιν Aët. — 11-12. ἤδη συμπλ. ἢ τὴν δευτέραν ἀρχομένην Gal.; ἀρχομένην Aët.; om. Paul. — 12-13. ῥυπαρώτεραι Gal. — 14. αὐτῶν om. C. — Ib. ἑψηθεισῶν Gal.

ἐν ὕδατι γινόμενον ὅμοιόν ἐστιν οὐ τὴν σύστασιν μόνον, ἀλλὰ καὶ
τὴν δύναμιν μέλιτι. Τὰ δὲ τῶν ἐρινεῶν σῦκα δριμείας ἐστὶ καὶ δια- 60
φορητικῆς δυνάμεως· οὕτω δὲ κἀκ τῶν ἡμέρων οἱ ὄλυνθοι. Συκῆ 61
θερμῆς καὶ λεπτομεροῦς ἐστι κράσεως, ὅ τε ὀπὸς αὐτῆς καὶ τῶν
φύλλων ὁ χυλός. Ὁ δὲ τῆς ἀγρίας συκῆς ὀπός τε καὶ χυλὸς ἰσχυρό- 62
τερος, καὶ αἱ κράδαι δὲ αὐτῆς οὕτως εἰσὶ θερμαὶ καὶ λεπτομερεῖς,
ὥστε καὶ τοῖς βοείοις κρέασι τοῖς σκληροῖς ἐπεμβαλλόμεναι τακερὰ
ποιοῦσιν αὐτά. — Σύμφυτον πετραῖον ἔχει μέν τι καὶ τμητικὸν, 63
ἔχει δέ τι καὶ συνακτικὸν, καὶ τρίτην ἐπὶ αὐτοῖς ὑγρότητά τινα
θερμὴν οὐκ ἀμέτρως, διὰ ἣν καὶ γλυκὺ φαίνεται καὶ ἡδὺ πρὸς τὴν
ὄσφρησιν, ἄδιψόν τέ ἐστι διαμασωμένοις. Διαφορεῖν οὖν ἱκανὸν 64
ἐστι καὶ συνάγειν καὶ σφίγγειν. Σύμφυτον ἕτερον τὸ μέγα παρα- 65
πλησίας ἐστὶ τῷ προειρημένῳ δυνάμεως· οὐ μὴν γλυκὺ γευομένοις,

bouillir pendant très-longtemps des figues sèches dans l'eau, ressemble
au miel, non-seulement par la consistance, mais aussi par les propriétés.
Les figues du figuier sauvage ont des propriétés âcres et favorables à la 60
perspiration, ainsi que les petites figues rondes du figuier cultivé. Le 61
(bois de) figuier a un tempérament chaud et subtil, ainsi que le suc
qui en exsude et celui qu'on exprime des feuilles. Mais ces deux espèces 62
de suc sont plus fortes quand elles proviennent du figuier sauvage, et les
rameaux de cette espèce de figuier sont si chauds et si subtils, que, si on
les ajoute aux viandes dures de bœuf [pendant qu'on les fait bouillir],
elles les rendent fondantes. — La *consoude* de roche a quelque chose 63
d'incisif et aussi quelque chose de contractant; enfin, elle contient en
troisième lieu, outre ces propriétés, une humidité modérément chaude
qui lui donne son goût sucré, son odeur agréable et sa faculté d'étan-
cher la soif quand on la mâche. Elle est donc capable de favoriser la pers- 64
piration, de contracter et de resserrer. L'autre espèce de consoude, la 65
grande, a des propriétés semblables à celles de la plante dont nous ve-
nons de parler; mais elle n'a ni goût sucré, ni odeur agréable, et, sous le

3. οὕτω δὲ καὶ κἀκ C; οὕτω δὲ καί Gal. — 4. ὡς ὅ τε ὀπὸς αὐτῆς δηλοῖ Gal. — 5. Ἡ δὲ ἀγρία συκῆ εἰς ἅπαντα πλέον δύναται Paul. — 6. αὐτῶν Gal. — 7. σκληροῖς ἑψομένοις ἐμβαλλόμ. Gal. — 11. τε] δέ Gal. — Ib. διαμασσωμένοις ACV; διαμασώμενον Gal. — 12. ἐστι om. C.

οὐδὲ εὐῶδες· κατὰ ὅσον δὲ γλίσχρον τι καὶ κνησμῶδες ἔχει, σκίλλῃ
66 παραπλήσιον ὑπάρχει. Χρῶνται δὲ αὐτῷ πρὸς ὅσα τῷ προειρη-
67 μένῳ. — Σφονδυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα δριμείας ἐσ7ὶ καὶ τμητι-
68 κῆς δυνάμεως. — Σχῖνος ἐξ ὑδατώδους οὐσίας ἀτρέμα θερμῆς καὶ
γεώδους ψυχρᾶς οὐ πολλῆς σύγκειται, διὰ ἣν καὶ σ7ύφει μετρίως.
69 Ξηραίνει μὲν οὖν κατὰ τὴν δευτέραν τάξιν ἤδη συμπληρουμένην,
ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ μέσος πώς ἐσ7ιν·
ὁμοίαν δὲ ἐν πᾶσιν ἔχει τοῖς ἑαυτοῦ μέρεσι τὴν σ7ύψιν, ἐν ῥίζαις,
ἐν κλάδοις, ἐν ἀκρέμοσιν, ἐν βλασ7οῖς, ἐν φύλλοις, ἐν καρπῷ καὶ
70 φλοιῷ. Καὶ ὁ χυλὸς δὲ ὁ ἐκ τῶν φύλλων ὅμοιός ἐσ7ι τῇ κράσει,
71 σ7ύφων μετρίως. — Σχοίνου ἄνθος θερμαίνει μετρίως καὶ σ7ύφει
μετριώτερον καὶ τῆς λεπ7ομεροῦς φύσεως οὐκ ἀπήλλακται· ἔσ7ι δὲ
αὐτοῦ σ7υπ7ικωτέρα μὲν ἡ ῥίζα, τὸ δὲ καλούμενον ἄνθος θερμότε-
72 ρον. — Σχοίνου ἐλείας ἡ μὲν ὀξύσχοινος, ἡ δὲ ὁλόσχοινος· ὁ καρ-

rapport de ses propriétés légèrement visqueuses et prurigineuses, elle
66 ressemble à la scille. On emploie la grande consoude dans les mêmes
67 cas que l'espèce mentionnée plus haut. — La graine et la racine de
68 berce sont douées de propriétés âcres et incisives. — Le lentisque est
composé d'une substance aqueuse doucement chaude et d'une petite
quantité de substance terreuse et froide, en vertu de laquelle il resserre
69 modérément. Cette plante dessèche donc déjà au second degré extrême,
tandis que, sous le rapport de la différence entre la chaleur et le froid,
elle occupe, en quelque sorte, une place intermédiaire; mais, dans toutes
ses parties, elle possède un degré égal d'astringence, aussi bien dans
les racines que dans les rameaux, les sommités, les jeunes pousses, les
70 feuilles, le fruit et l'écorce. Le suc qu'on exprime des feuilles a encore
71 un tempérament analogue, puisqu'il resserre modérément. — Le jonc
odorant échauffe modérément et il resserre plus modérément encore; sa
nature n'est pas dépourvue non plus de subtilité; mais la racine de ce
jonc est plutôt astringente, tandis que la partie à laquelle on donne le
72 nom de *fleur* est plutôt chaude. — On distingue le jonc de marais en

1. οὐκ C. — Ib. δακνῶδες Gal. — Ib. οὐσίας om. C. — 6. τρίτην Aët. — Ib. ἤδη συμπλ. ἢ τὴν τρίτην ἀρχομένην Gal. — 9. ἐν βλασ7. om. C. — 10. ὁμοίας ἐσ7ὶ τάξεως Gal. — 14. Σχοίνου ἐλείας ex em.; Σχοῖνος ἐλεία Paul.; Σχοίνου λείας ACV; Σχίνου λείας Aët.; Σχοίνου ἡ μὲν λεία Gal. — Ib. ἡ δ' ὀξύσχ. Gal.

πὸς δὲ τῆς μὲν ὁλοσχοίνου ὑπνωτικὸς, καὶ τῆς ὀξυσχοίνου δὲ ἡ τὸν
καρπὸν ἔχουσα ὑπνώδης, ἀλλὰ ἧττον. Ἡ κρᾶσις δὲ αὐτῶν ἐστιν ἐκ 73
γεώδους οὐσίας ἀτρέμα ψυχρᾶς καὶ ὑδατώδους ἀτρέμα θερμῆς.

§ 19. — Τερμίνθου ὁ φλοιὸς καὶ τὰ φύλλα καὶ ὁ καρπὸς ἔχουσί 1
τι στυπτικὸν, ἀλλὰ καὶ θερμαίνουσι κατὰ τὴν δευτέραν τάξιν, ὥστε
ἤδη δῆλον ὅτι καὶ ξηραίνουσι, πρόσφατοι μὲν ὑπάρχοντες ἔτι καὶ
ὑγροὶ μετρίως, ξηρανθέντες δὲ κατὰ τὴν δευτέραν τάξιν· ὁ δὲ καρπὸς
ξηρὸς ἐγγὺς τῆς τρίτης ἐστὶ τάξεως τῶν ξηραινόντων. — Τεῦτλον 2
λιτρώδους τινὸς μετείληφε δυνάμεως, ᾗ καὶ ῥύπτει καὶ διαφορεῖ·
ἰσχυρότερον δὲ εἰς ταῦτα τὸ λευκὸν τεῦτλον, ὡς τό γε μέλαν ἔχει
τι καὶ στύψεως, καὶ μᾶλλον ἡ ῥίζα. — Τεύκριος τμητικῆς καὶ λε- 3
πτομεροῦς ἐστι δυνάμεως, καὶ θείη ἄν τις αὐτὴν ἐν τῇ δευτέρᾳ τάξει
τῶν θερμαινόντων, ἐν τῇ τρίτῃ δὲ τῶν ξηραινόντων. — Τέφρα τὸ 4

jonc aigu et en jonc lisse (faux souchet); la graine de la dernière espèce
est somnifère; quant au jonc aigu, l'espèce qui produit une graine est
4. τῶν καυσΊῶν V. — 4-5. εἰς..... μήν om. A 1ª m. — 8. Ἀῤῥενικὴ ἢ ἀῤ-ῥενικόν Gal. — 8-9. ἄκαυτόν Gal. — 9. καὶ λεπΊομ. Gal. — 11. ξηραντικώτερον Aët. — 11. παραπλησίαν μὲν ἔχει τῷ νίτρῳ δύναμιν Paul. — 12. διαλελυμένον Gal. — 13. βαλανίοις ACV. — 13-14. ὁσημέραι χρῶνται Gal.

λίτρου τῆς αὐτῆς μέν ἐστι φύσεως, λεπτομερεστέραν δὲ ἔχει τὴν οὐσίαν, ἐν τῷ μεταξὺ δὲ κατὰ τὴν δύναμίν ἐστι τὸ λίτρον ἀφρονίτρου τε καὶ ἁλῶν· ἀφρονίτρῳ μὲν γὰρ ἡ ῥυπτικὴ δύναμις ὑπάρχει μόνη, τοῖς δὲ ἁλσὶ καὶ ἡ στυπτικὴ, τῷ λίτρῳ δὲ ἀμφότεραι μέν εἰσιν, ἀλλὰ ἐλαχίστη μὲν ἡ στυπτικὴ, πολὺ πλείων δὲ ἡ ῥυπτική.

Γύψος πρὸς τῇ κοινῇ πάντων γεωδῶν τε καὶ λιθωδῶν σωμάτων 8
δυνάμει, κατὰ ἣν ἐλέγετο ξηραίνειν, ἔτι καὶ τοῦτο προσείληφεν,
ὅτι ἐμπλαστικῆς ἐστι δυνάμεως. Καυθεῖσα δὲ γύψος τὸ μὲν ἐμπλα- 9
στικὸν οὐχ ὁμοίως ἔχει, λεπτομερεστέρα δὲ καὶ ξηραντικωτέρα γίνεται, καὶ μέντοι καὶ ἀποκρουστικὴ, καὶ μάλιστα ὅταν ὀξυκράτῳ δευθῇ.

Διφρυγὲς μικτῆς ἐστι ποιότητος καὶ δυνάμεως· ἔχει γάρ τι καὶ 10
στῦφον ἐν ἑαυτῷ καὶ δριμὺ μετρίως.

sa substance est plus subtile, et la soude tient le milieu entre l'*aphronitron* et le sel, quant à ses propriétés : en effet, l'*aphronitron* n'a pas d'autre qualité que celle de déterger; le sel a, de plus, celle de resserrer; la soude brute possède aussi ces deux propriétés; mais son astringence est très-peu considérable, tandis que son pouvoir détersif est beaucoup plus prononcé.

Outre la propriété commune à toutes les substances terreuses et pier- 8
reuses, qui consiste, ainsi que nous l'avons dit (p. 704, l. 1 et 708, l. 1),
à dessécher, le gypse a encore celle d'être emplastique. Quand on brûle 9
le gypse, il n'a plus, au même degré, des propriétés emplastiques, mais il devient plus subtil et plus desséchant; il prend aussi des propriétés répercussives, surtout quand on le trempe dans l'eau vinaigrée.

Le deutoxyde de cuivre a des propriétés et des qualités mixtes; car 10
il contient quelque chose d'astringent et quelque chose de modérément âcre.

1. *φύσεως καὶ δυνάμεως τῷ νίτρῳ* Gal. — 2. *λίτρον*] *ἀφρόλιτρον* Gal. — 3. *ἀφρόνιτρον* Paul.; *ἀφρολίτρῳ* C 2ª m. V Gal.; *ἀφρολίτρων* A. — 3-5. *μὲν* .... *ῥυπτική*] *διαφορητικῆς ἐστι καὶ ῥυπτικῆς δυνάμεως* Paul. — 4-5. *τῷ*..... *στυπτική* om. Gal. — 6. Γύψος *καὶ αὐτή* Gal. — 7. *ἔλεγε τό* ACV. — 8. *ὅτι* om. ACV. — Ib. *τ' ἐστί* Gal.; *εἰσι* C. — 10. *μέντοι ἀποκρ.* CV. — Ib. *καί* om. A 1ª m. — 12-13. *καὶ μετρίως στῦφον* Gal. — 13. *μετρίως* om. C.

11 Θεῖον ἅπαν ἑλκτικῆς ἐστι δυνάμεως, θερμὸν μὲν τῇ κράσει, λεπτομερὲς δὲ κατὰ τὴν οὐσίαν ὑπάρχον.

12 Ἰὸς δριμεῖαν ἔχει γευομένοις ποιότητα, διαφορητικός τε καὶ καθαιρετικὸς καὶ τηκτικὸς ὢν οὐχ ἁπαλῆς μόνον, ἀλλὰ καὶ σκληρᾶς σαρκός.

13 Καδμεία ξηραντικῆς τε καὶ βραχείας ἐστὶ ῥυπτικῆς δυνάμεως,
ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψύξιν διαφορᾷ σύμμετρός πώς ἐστιν.
14 Καὶ λεπτομερεστέρα δὲ ἡ βοτρυῗτις, παχυμερεστέρα δὲ ἡ πλακῖτις.
15 — Κιννάβαρι δριμείας μετρίως δυνάμεώς ἐστιν· ἔχει δέ τι καὶ
16 στύψεως. — Κίσσηρις ἔχει τι ῥυπτικόν· ἡ δὲ κεκαυμένη λεπτομερεστέρα γίνεται, ἀλλὰ ἐν τῇ καύσει προσλαμβάνει τι δριμὺ, καὶ
17 ἀποτίθεται πάλιν αὐτὸ πλυνομένη. — Κύανος δριμείας ἐστὶ δυνάμεως, καθαιρετικῆς τε καὶ διαφορητικῆς πλείονος ἢ κατὰ τὸ κιννάβαρι· μετέχει δὲ καὶ στύψεως.

11 Tout soufre a des propriétés attractives, puisqu'il a un tempérament chaud et que sa substance est subtile.

12 Le vert-de-gris a des qualités âcres au goût; il est favorable à la perspiration et cathérétique, et il fond les chairs, non-seulement quand elles sont délicates, mais aussi quand elles sont dures.

13 La tutie est douée de propriétés desséchantes et légèrement détersives; mais, quant à la différence entre la chaleur et le froid, elle occupe,
14 en quelque sorte, un rang intermédiaire. La tutie en grappes est la plus subtile; mais la tutie lamelleuse est composée de particules plus gros-
15 sières. — Le cinabre a des propriétés modérément âcres; il a aussi
16 quelque chose d'astringent. — La pierre ponce a quelque chose de détersif; quand on la brûle, elle devient plus subtile; mais, pendant cette opération, elle acquiert quelque chose d'âcre, qu'elle perd de nouveau,
17 quand on la lave. — L'azur de cuivre a des propriétés âcres, cathérétiques et favorables à la perspiration, plus prononcées que celle du cinabre; il est aussi doué d'astringence.

3. Ἰὸς ξυστός Aët. — 4. ἀλλὰ σκλ. V. — 6. Καδμεία ἅπασα Aët.; Καδμεῖαι ἀμφότεραι Paul. — Ib. δυνάμεως om. ACV. — 7. συμμέτρως V. — 8. Καὶ λεπτομερεστέρα δὲ] Ἀρίστη Aët. — 11. δριμύ] δακνῶδες Paul. — 12. Κύαμος V. — 12-13. δυν. καὶ διαιρετικῇ τε A 1ª m.

Λεπὶς ἡ μέν τίς ἐστι χαλκοῦ, ἡ δέ τις σιδήρου τε καὶ στομώμα- 18
τος, ὀνομάζουσι δέ τινα καὶ ἡλῖτιν λεπίδα. Ξηραίνουσι μὲν οὖν 19
ἰσχυρῶς ἅπασαι, διαφέρουσι δὲ ἀλλήλων αὐτῷ τε τῷ καταξηραίνειν
ἧττόν τε καὶ μᾶλλον, καὶ τῷ λεπτομερεστέρας ἢ παχυμερεστέρας
οὐσίας εἶναι καὶ τῷ στύψεως μετέχειν ἧττόν τε καὶ μᾶλλον. Ἡ μὲν 20
οὖν τοῦ χαλκοῦ λεπὶς ἐν τῷ ξηραίνειν πρωτεύει, καὶ γὰρ λεπτομε-
ρεστέρα τῶν ἄλλων ἐστὶ, προσειληφυῖά τι καὶ ἰοῦ· στύψεως δὲ
πλείονος ἡ τοῦ σιδήρου μετέχει, καὶ ταύτης ἔτι μᾶλλον ἡ τοῦ στο-
μώματος. Καθαιρεῖ δὲ καὶ τήκει σάρκα μᾶλλον ἡ τοῦ χαλκοῦ, ταύτης 21
δὲ ἔτι μᾶλλον ἡ ἡλῖτις. Πᾶσαι δὲ λεπίδες δακνώδεις εἰσὶν οὐκ ἀγεν- 22
νῶς, καὶ δῆλον ὡς ἡ τῆς οὐσίας αὐτῶν σύστασις οὐ πάνυ τι λε-
πτομερής ἐστιν, ἀλλὰ παχυμερὴς μᾶλλον· ἀδηκτότατον γὰρ ἀεὶ
τῶν τὴν αὐτὴν δύναμιν ἐχόντων ἐστὶ τὸ λεπτομερέστερον. — Λιθάρ- 23

Il y a une battiture de cuivre; il y en a une autre de fer et d'a- 18
cier; enfin il y en a une qu'on appelle battiture de clous. Toutes les 19
espèces de battiture dessèchent fortement; mais elles diffèrent l'une de
l'autre, suivant qu'elles dessèchent plus ou moins fortement, que l'une
est plus subtile, et que l'autre est composée de particules plus gros-
sières, et suivant qu'elles sont douées d'une astringence plus ou moins
prononcée. La battiture de cuivre occupe le premier rang, quand il s'a- 20
git de dessécher, car elle est plus subtile que les autres, et elle s'appro-
prie une partie du vert-de gris; mais la battiture de fer, et encore plus celle
d'acier, possèdent une astringence plus forte. La battiture de cuivre, et 21
encore plus celle de clous, détruit et fond plus fortement les chairs.
Toutes les espèces de battiture produisent une irritation assez efficace, 22
et il est clair que la structure de leur substance n'est pas du tout subtile,
mais plutôt composée de particules grossières; car, parmi les substances
douées des mêmes propriétés, c'est toujours la plus subtile qui cause le
moins d'irritation. — La litharge dessèche, il est vrai, comme toutes les 23

2. *τινες* C Gal. — 3. *πᾶσαι* C. — Ib. *διαφέροντι* C. — Ib. *ξηραίνειν* Gal.; *κατὰ τὸ ξηραίνειν* AC. — 6. *τ. χ. λεπίς*] *ἡλῖτις* Gal., Aët. — 7. *ἐστί*] *τι* C. — Ib. *ἰοῦ· καὶ στ. δέ* ACV. — 8. *πλείονος ἡ τοῦ* V; *πλείονα ἢ τοῦ* C. — Ib. *ἐστί* V. — 9. *Καθαίρει* ACV. — 9-10. *ταύτης δέ τι* CV. — 10. *ἡ ἐκ τῶν κυπρίων ἥλων, ἣν διὰ τοῦτο καὶ ἡλῖτιν ὀνομάζουσιν* Paul. — Ib. *δακνώδεις δ' εἰσίν* V. — 11. *ᾧ καὶ δῆλον* Gal. — 12. *ἀδηκτότερον* Gal.

γυρος ξηραίνει μὲν ὥσπερ καὶ τὰ ἄλλα πάντα τὰ μεταλλικὰ, μετριώτατά γε μὴν τοῦτο ποιεῖ, καὶ κατὰ τὰς ἄλλας δὲ ποιότητας καὶ δυνάμεις ἐν τῷ μέσῳ πώς ἐστιν, οὔτε θερμαίνουσα σαφῶς, οὔτε
24 ψύχουσα, καὶ τοῦ ῥύπτειν τε καὶ στύφειν μετρίως μετέχουσα. Τῆς μέσης οὖν τάξεως εἰκότως ἂν ἐν τοῖς μεταλλικοῖς ὀνομάζοιτο· διὸ καὶ ὡς ὕλῃ χρώμεθα πολλάκις αὐτῇ, μιγνύντες τοῖς ἰσχυρὰν ἔχουσι δύναμιν, ἢ δάκνουσαν, ἢ στύφουσαν, ἢ ὁτιοῦν ἄλλο ποιοῦσαν. —
25 Λίτρον ξηραίνει καὶ διαφορεῖ, καὶ εἰ εἴσω τοῦ σώματος ληφθείη, τέμνει καὶ λεπτύνει τοὺς παχεῖς χυμοὺς πολὺ μᾶλλον τῶν ἁλῶν· ἀφρόνιτρον δὲ, εἰ μὴ μεγάλης ἀνάγκης οὔσης, οὐδὲ καταπίνοι τις κακοστόμαχον ὂν, ἐπεί τοι μᾶλλόν ἐστι λίτρου τμητικόν.

26 Μελαντηρία τῶν στυφόντων ἐστὶν ἱκανῶς φαρμάκων μετὰ τοῦ

autres substances tirées du sein de la terre; mais elle produit cet effet à un degré très-modéré, et, sous le rapport de ses autres qualités et propriétés, elle occupe, en quelque sorte, également un rang intermédiaire; car elle n'échauffe, ni ne refroidit manifestement, et les propriétés détersives et astringentes dont elle est douée sont modérées aussi.
24 On aurait donc raison de lui assigner une place moyenne dans la classe des substances tirées du sein de la terre : c'est aussi pour cette raison que nous l'employons souvent comme excipient pour y mêler des ingrédients possédant des propriétés actives, soit irritantes, soit astrin-
25 gentes, soit produisant un autre effet quelconque. — La soude brute dessèche et favorise la perspiration, et, si on la prend à l'intérieur du corps, elle exerce sur les humeurs épaisses un effet incisif et atténuant beaucoup plus prononcé que le sel; à moins d'une nécessité très-pressante, on n'avalera pas d'*aphronitron,* puisque cette substance est nuisible à l'orifice de l'estomac, quoique, du reste, elle soit plus fortement incisive que la soude brute.

26 Le sulfate de fer appartient aux médicaments assez fortement astrin-

1. μέν] μετρίως Aët., Paul. — Ib. τἄλλα V. — Ib. πάντα μεταλλικά AV; πάντα μετὰ ἅλικα C; παντὰ τὰ μεταλλικὰ καὶ γεώδη καὶ λιθώδη φάρμακα Gal. — 4. ἀποῤῥύπτειν Gal. — Ib. μετέχει Gal. — 5. νομίζοιτο Gal. — 7. ἢ ὅ τι ἄλλο Gal. — 8. εἰ ἔσω AC; εἰς ἔσω V. — Ib. λειφθείη V Paul. — 9. παχεῖς καὶ γλίσχρους χ. Gal. — Ib. ἁλῶν om. ACV. — 10. ἀφρολίτρου· μὴ μεγάλης δέ ACV. — Ib. οὔσης ἀνάγκ. V. — Ib. οὔτε C. — Ib. καταπίνοι Aët.; καταπίνει ACV Gal. — 11. ὡς ἂν κακοστ. Gal.; ἀφρόλιτρον κακοστ. ACV.

καὶ λεπ7ομερὴς εἶναι σχεδὸν ἁπάντων τῶν σ7υφόντων μάλισ7α. —
Μέλαν, ᾧ γράφομεν· ἱκανῶς καὶ τοῦτο ξηραίνει. — Τὸ μίσυ καὶ 27-28
τὸ σῶρι καὶ ἡ χαλκῖτις ὁμογενοῦς εἰσι δυνάμεως, διαφέροντα λε-
π7ομερείᾳ τε καὶ παχυμερείᾳ· παχυμερέσ7ατον γὰρ ἐν αὐτοῖς τὸ
σῶρι, λεπ7ομερέσ7ατον δὲ τὸ μίσυ, μέσην δὲ ἀμφοῖν δύναμιν ἡ
χαλκῖτις ἔχει. Καίοντα τὰ τρία καὶ τὰς καλουμένας ἐσχάρας ἐργα- 29
ζόμενα, μετέχει γε μὴν, καίτοι καίοντα, σ7ύψεως· ἧτ7ον δὲ ἐν τῷ
προσφέρεσθαι ταῖς γυμναῖς σαρξὶ δάκνει τὸ μίσυ τῆς χαλκίτιδος,
καίτοι γε οὐχ ἧτ7ον αὐτῆς ὂν θερμὸν, ἀλλὰ ἐκ τῆς κατὰ τὴν οὐσίαν
λεπ7ομερείας ἔχει τοῦτο. — Μολύϐδαινα λιθαργύρῳ παραπλησίαν 30
ἔχει δύναμιν, ἀποκεχωρηκυῖα βραχύ τι τῆς μέσης κράσεως ἐπὶ τὸ
ψυχρότερον, ἀλλὰ οὐδὲ ῥυπ7ικῆς ἐσ7ι δυνάμεως. — Μόλυϐδος δυ- 31

gents, et il est en même temps à peu près la plus subtile de toutes les
substances astringentes. — L'encre à écrire : cette substance dessèche 27
aussi assez fortement. — Le sulfate de cuivre déliquescent, le sulfate de 28
cuivre natif et le cuivre pyriteux ont des propriétés du même genre, et
ces substances ne diffèrent entre elles que par la subtilité ou la grossiè-
reté de leurs particules : en effet, parmi elles, le sulfate de cuivre natif
a les particules les plus grossières, le sulfate de cuivre déliquescent est
le plus subtil, et le cuivre pyriteux a des propriétés intermédiaires
entre celles des deux autres substances. Ces trois médicaments sont 29
caustiques, et produisent ce qu'on appelle des escarres; mais, malgré leur
causticité, ils sont doués d'astringence; quand on les applique à nu sur
la chair, le sulfate de cuivre déliquescent irrite moins que le cuivre py-
riteux, quoique l'un ne soit pas moins chaud que l'autre; mais cela tient
à la subtilité de la substance du premier. — La galène a des propriétés 30
semblables à celles de la litharge; mais elle s'écarte un peu du tempé-
rament moyen vers le côté du froid, et elle ne possède pas non plus des
propriétés détersives. — Le plomb est doué de propriétés astringentes 31

1. τῶν om. A 1ª m. — 2-3. Τὸ μ. καὶ σῶρί καὶ ἡ χ. V; Τὸ μ. κ. τὸ σῶρυ καὶ ἡ χ. AC; Τὸ σῶρυ καὶ ἡ χ. κ. τ. μ. Gal. — 4. μὲν γάρ Gal. — 5. σῶρυ AC Gal. et sic semper. — Ib. λεπ7ομερέσ7ερον ACV. — Ib. ἡ om. ACV. — 6. πάντα τὰ τρία Gal.; τὰ τρία ταῦτα Aët. — 6-7. ἐργάζονται V. — 7. καέντα AV; καντα (sic) C. — Ib. σ7ύψεως ἰσχυρᾶς Paul. — 8. σκληραῖς Gal.

νάμεώς ἐσ7ι σ7υπ7ικῆς καὶ ψυκτικῆς· ἔχει γὰρ οὐ μόνον ὑγρὰν οὐσίαν πολλὴν ὑπὸ ψύξεως πεπηγυῖαν, ἀλλὰ καὶ ἀερώδη, τῆς γεώ-
32 δους ὀλίγης μετέχων. Ὅτι μὲν οὖν ὑγρὰν οὐσίαν ἔχει πλείσ7ην [ὑπὸ ψύξεως πεπηγυῖαν ἡ γινομένη διὰ ταχέων, ἐπειδὰν ὁμιλήσῃ πυρὶ, χύσις τε καὶ ῥύσις αὐτῷ γινέσθω σοι τεκμήριον, ὅτι δὲ καὶ ἀερώδη], σημεῖον τόδε ἐσ7ίν· μόλυϐδος μόνος, ὧν ἴσμεν, αὔξεται καὶ ὄγκῳ καὶ σ7αθμῷ κατατιθέμενος ἐν οἴκοις καταγείοις, ἀέρα θολερὸν ἔχουσιν, ὡς εὐρῶτος πληροῦσθαι ταχέως τὰ κατὰ αὐτοὺς
33 κείμενα. Καὶ ὁ κεκαυμένος δὲ μόλυϐδος, ὅταν πλυνθῇ, ψυκτικῆς γίνεται δυνάμεως· πρὶν πλυθῆναι δὲ μικτῆς ἐσ7ὶ δηλονότι.

34 Ὄσ7ρακον ῥυπ7ικῆς τε καὶ ξηραντικῆς ἐσ7ὶ δυνάμεως, μάλισ7α δὲ τὸ ἐκ τῶν κλιϐάνων τῷ κατωπ7ῆσθαι.

35 Πομφόλυξ φάρμακόν ἐσ7ιν, εἰ πλυθείη, σχεδὸν ἁπάντων πρῶτον

et refroidissantes : en effet, il ne contient pas seulement une grande quantité de substance humide congelée par le froid, mais aussi de la substance aérienne, tandis qu'il ne possède que peu de substance ter-
32 reuse. On doit regarder comme un signe de ce qu'il contient une très-grande quantité de substance humide congelée par le froid, sa rapidité à se fondre et à couler, quand il touche au feu, tandis que la circonstance suivante est une preuve qu'il contient aussi de la substance aérienne : de tous les corps que nous connaissons, le plomb est le seul qui augmente de volume et de poids, quand on le met dans un local souterrain, dont l'air est trouble, de façon que les objets qu'on y dépose
33 se couvrent rapidement de moisissure. Le plomb brûlé acquiert aussi, quand on le lave, des propriétés refroidissantes; avant d'être lavé, il a des propriétés mixtes, bien entendu.

34 Les tessons de poterie ont des propriétés détersives et desséchantes; mais surtout ceux des petits fours, parce qu'ils ont été grillés.

35 Les fleurs de zinc sont un médicament qui, lorsqu'il est lavé, occupe à peu près le premier rang parmi tous ceux qui dessèchent sans pro-

1. σ7. καί om. Gal. — 4-6. ὑπὸ..... ἀερώδη om. ACV. — 6. μόλιϐδος AV; it. l. 9. — Ib. αὐξάνεται Gal. — 7. κατατινισμένος C. — Ib. καταγαίοις V; καταγάλοις A 1ª m. — 9. ὅταν πλυθῇ V Gal.; ὅταν πανθῇ C. — 10. πρό Gal. — Ib. πλαυθῆναι A; πανθῆναι C. — Ib. ἐσ7ι om. C. — 11. Ὄσ7ρακα τὰ ἐκ τῶν ἰπνῶν Paul. — 13-p. 720, 1. προνόσα ξηραίνειν. C.

ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν. Ταύτην ἔχων τις οὐκ ἂν δεόντως 36
σποδίῳ χρήσαιτο, μή τοί γε τῷ ἀντισποδίῳ.

Σανδαράκη καυσΊικῆς ἐσΊι δυνάμεως· εἰκότως οὖν ἔν τε ταῖς δια- 37
φορητικαῖς αὐτὴν μιγνύουσι καὶ ταῖς ῥυπΊικαῖς. — Σάνδυξ ὁποίας 38
ἐσΊὶ δυνάμεως, ἐν τῷ περὶ ψιμυθίου λόγῳ ῥηθήσεται. — Σκωρία 39
πᾶσα ξηραντικὸν ἱκανῶς ἐσΊι φάρμακον, ἡ δὲ τοῦ σιδήρου μάλισΊα.
Τὴν δὲ τοῦ ἀργύρου σκωρίαν ἰδίως προσαγορεύουσιν ἕλκυσμα, τῆς 40
ξηραντικῆς δυνάμεως οὖσαν. — Στίμμι· πρὸς τῇ κοινῇ δυνάμει τῇ 41
ξηραντικῇ καὶ τὴν σΊύψιν ἔχει τὸ φάρμακον. — ΣτυπΊηρία σφο- 42
δροτάτην ἔχει τὴν σΊύψιν· παχυμεροῦς δὲ οὔσης αὐτῆς, λεπΊομε-
ρεσΊέρα πώς ἐσΊι τῶν ἄλλων σΊυπΊηριῶν ἡ σχισΊὴ καλουμένη,
μετὰ αὐτὴν δὲ ἡ σΊρογγύλη καὶ ἀσΊραγαλωτή· παχυμερὴς δὲ ἱκα-
νῶς ἥ τε ὑγρὰ καὶ ἡ πλακῖτίς τε καὶ ἡ πλινθῖτις ὀνομαζομένη.

duire de l'irritation. Si donc on a ce médicament à sa disposition, on 36
n'a pas besoin de recourir aux cendres de zinc, et encore moins aux
succédanés de ces cendres.

Le réalgar a des propriétés caustiques : on a donc raison de le mêler 37
aux médicaments favorables à la perspiration et détersifs. — Nous di- 38
rons, en parlant de la céruse, quelles sont les propriétés du deutoxyde
de plomb. — Toute espèce de scorie constitue un médicament assez for- 39
tement desséchant, mais c'est surtout celle de fer qui possède cette pro-
priété. On donne spécialement le nom d'*helcysma* aux scories d'argent, 40
qui possèdent des propriétés desséchantes. — Antimoine : outre la 41
propriété commune [à toutes les substances minérales], qui consiste à
dessécher, ce médicament est aussi doué d'astringence. — L'alun a une 42
astringence très-prononcée; quoique l'alun soit composé de particules
grossières, l'espèce qu'on appelle alun de plume est cependant, en
quelque sorte, plus subtile que les autres; après elle vient l'alun rond
ou *astragalote;* mais l'alun liquide et les espèces qu'on nomme alun la-
melleux et alun en briques sont composés de particules assez gros-
sières.

1. οὐδέ Gal. — Ib. δεόντως] τῷ Gal. — 2. μή τί γε ACV. — 4. Σάνδυξ ἢ καὶ συρικοῦν Aët. — 7. προσαγ.] πρὸς (lac.) οὐσία C. — 8. οὖσαν] οὐ C. — Ib. Στίμμι om. in lac. V, qui a ici en titre περὶ τῶν μεταλλικῶν. — Ib. πρὸς τῇ om. ACV in lac. — Ib. κοινῇ om. V in lac. — 8-9. δυν. τιμιτικῇ (sic) V. — 9. τήν om. CV Gal. — 12. καὶ ὀσΊραγ. C; τε καὶ ἡ σΊραγ. Paul. — 13. παχύτις C.

43 Τίτανος ἡ μὲν ἄσβεστος καίει σφοδρῶς, ὡς ἐσχάραν ποιεῖν, ἡ σβεσθεῖσα δὲ παραχρῆμα μὲν ἐσχαροῖ, μετὰ ἡμέραν δὲ μίαν, ἢ δευτέραν ἧττόν τε καίει καὶ ἧττον ἐσχαροῖ, μετὰ δὲ χρόνον οὐδὲ ὅλως
44 ἐσχάραν ἐργάζεται, θερμαίνει δὲ ἔτι καὶ διατήκει τὰς σάρκας. Εἰ δὲ πλυθείη, τὴν μὲν δῆξιν ἐναποτίθεται τῷ ὕδατι καὶ ποιεῖ τὴν καλουμένην κονίαν· αὕτη δὲ ἀδήκτως ξηραίνει, καὶ εἰ δίς γε καὶ τρὶς καὶ πλεονάκις πλυθείη, τελέως ἄδηκτος γίνεται καὶ ξηραίνει γενναίως ἄνευ δήξεως.

45 Χάλκανθος· θαυμαστὸν ἐπὶ τούτου τοῦ φαρμάκου, πῶς ἰσχυροτάτῃ στύψει μέμικται θερμότης οὐκ ἀγεννής· δῆλον οὖν ὅτι ταριχεῦσαι μάλιστα πάντων δύναται τὰς ὑγρὰς σάρκας, ἐκδαπανῶσα μὲν τῇ θερμότητι τὴν ὑγρὰν σάρκα, τῇ στύψει δὲ συνάγουσα καὶ
46 πιλοῦσα τὴν οὐσίαν. — Χαλκῖτις μεμιγμένας ἔχει τήν τε στυπτικὴν καὶ δριμεῖαν δύναμιν, ἐπικρατεῖ δὲ ἡ δριμεῖα σφοδρά τις οὖσα

43 La chaux vive brûle fortement, de manière à produire des escarres; quand elle est éteinte, elle en produit également encore d'abord, puis, un ou deux jours après, elle brûle déjà moins et produit moins d'escarres; enfin, quelque temps après, elle n'en produit plus du tout;
44 mais elle continue encore à échauffer et à fondre les chairs. Si on la lave, elle dépose dans l'eau ses propriétés irritantes et produit ce qu'on appelle lessive; cette chaux lavée dessèche sans produire de l'irritation, et, si on la lave deux, trois ou plusieurs fois, elle perd complétement ses propriétés irritantes et dessèche activement sans causer de picotements.

45 Le vitriol bleu : on a lieu de s'étonner qu'on trouve réunies dans ce médicament une chaleur assez active et une astringence très-prononcée : il est donc clair qu'il peut, mieux que toute autre substance, conserver les chairs humides, parce que, par sa chaleur, il consume la chair humide, tandis que, par son astringence, il contracte et resserre la substance
46 (de la chair). — Le cuivre pyriteux a des propriétés mixtes, astringentes et âcres; mais l'âcreté prédomine dans ce médicament : en effet,

1-2. ποιεῖν ἀσβεσθεῖσα C. — 2. οὐκ ἐσχαροῖ ACV; ἐσχαροῖ καὶ αὐτή Gal. — 3. οὔτε ACV. — 4. θερμαίνει] συντείνει Paul. — Ib. τι ACV; ὅμως Paul. — 5. ἀναποτίθεται C; ἀποτίθεται V. — 6. αὐτή C. — 9. θαυμάσαι ἐστι Gal. — Ib. πῶς om. C. — 10. οὖν om. V. — 11. ἐκδαπανῶν Gal. — 12. τὴν ὑγρότητα Gal. — Ib. δή C. — 12-13. συνάγον καὶ πιλοῦν Gal.

μέχρι τε τοῦ καίειν τὴν σάρκα καὶ τὴν καλουμένην ἐσχάραν ἐργά-
ζεσθαι. Καυθὲν δὲ τὸ φάρμακον δάκνει μὲν ἧττον, ξηραίνει δὲ οὐχ 47
ἧττον, ἀποτίθεται δὲ καὶ τῆς στύψεως οὐκ ὀλίγον, ὥστε πάντῃ
κρείττων ἐστὶν ἡ κεκαυμένη χαλκῖτις τῆς ἀκαύστου, λεπτομερεστέρα
μὲν γινομένη, δριμύτητα δὲ οὐ προσλαμβάνουσα, καθάπερ ἄλλα
πολλά. Μεμάθηκας δὲ καὶ ὅτι πάντα τὰ κεκαυμένα πλυνόμενα 48
μετριώτερα καὶ ἀδηκτότερα γίνεται. — Χαλκὸς κεκαυμένος ἔχει 49
μέν τι καὶ δριμὺ, καὶ στύψεως δὲ μετέχει. — Χαλκοῦ ἄνθος λεπτο- 50
μερεστέρας ἐστὶ δυνάμεως τοῦ τε κεκαυμένου χαλκοῦ καὶ τῆς λεπί-
δος. — Χρυσοκόλλα· καὶ τοῦτο τὸ φάρμακον ἐκ τῶν τηκόντων 51
σάρκας ἐστὶν, οὐ μὴν ἰσχυρῶς γε δάκνει, διαφορητικὸν δὲ ἱκανῶς
ἐστι καὶ ξηραντικόν.

Ψιμύθιον ἐμπλαστικόν τε καὶ ἐμψυκτικόν ἐστι, καιόμενον δὲ εἰς 52
τὴν καλουμένην σάνδυκα μεταβάλλει, λεπτομερέστερον αὐτοῦ φάρ-

elle y est très-forte, et va jusqu'à brûler la chair et à produire ce qu'on
appelle des escarres. Après avoir été brûlé, ce médicament irrite moins, 47
mais il ne dessèche pas moins pour cela, et il perd aussi une assez grande
partie de son astringence : sous tous les rapports donc le cuivre pyri-
teux brûlé vaut mieux que celui qui ne l'est pas, parce que (par l'effet
du feu) il devient plus subtil, sans qu'il prenne de l'âcreté comme
beaucoup d'autres substances. Vous avez déjà appris que toutes les subs- 48
tances brûlées deviennent plus douces et moins irritantes, quand on les
lave. — Le cuivre brûlé a quelque chose d'âcre, et il est aussi doué d'as- 49
tringence. — Les fleurs de cuivre ont des propriétés subtiles plus pro- 50
noncées que celles du cuivre brûlé et des battitures de cuivre. — La 51
malachite : ce médicament est encore du nombre de ceux qui fondent
les chairs; mais il n'irrite pas très-fortement, et il favorise la perspira-
tion et dessèche à un degré assez prononcé.

La céruse est emplastique et refroidissante; quand on la brûle, elle 52
se change en ce qu'on appelle *sandyx* (deutoxyde de plomb), lequel est

4. κρεῖττόν A. — Ib. καλουμένη C. — Ib. ἀκαύτου A 1ª m. — 8. δέ om. V. — 10. τό om. ACV. — 11. ἰσχυρῶς δήκνει C. — 13. ψυκτικόν C 1ª m., Aët. — 14. τὸ (τόν CV) καλούμενον ACV Aët. — Ib. σάνδικα Gal.; συρικόν Aët. — Ib. μεταβάλλεται, ὅπερ οἱ ἰατροὶ σάνδυκα ὀνομάζουσιν Aët. — 14-p. 723, l. 1. ἑαυτοῦ φάρμακον AC; γ' αὐτοῦ φάρμακον Gal.

53 μακον, οὐ μὴν ἤδη γέ πω θερμαῖνον. Τὸ δέ γε Φῦκος τὴν ψύξιν τοῦ ψιμυθίου Φυλάτlον, λεπlομέρειαν προσείληφεν, ὡς δύνασθαι διὰ αὐτὴν εἰς τὸ βάθος καταδύεσθαι τῶν ὁμιλούντων σωμάτων τὴν δύνα-
54 μιν αὐτοῦ. — Ψωρικὸν ξηραντικώτερόν τε ἅμα καὶ ἀδηκτότερόν ἐσlι χαλκίτεως καὶ δηλονότι καὶ λεπlομερέσlερον.

β'. Περὶ τῆς ἀπὸ τῶν ζῴων ὠφελείας· Ἐκ τῶν Γαληνοῦ.

1 Γάλα τὸ ὑγιεινότατον τὸ μήτε πικρότητος, μήτε ὀξύτητος, μήτε ἁλυκότητος, μήτε δριμύτητος, μήτε δυσωδίας μετέχον ἡδύ τε καὶ βραχεῖαν ἔχον γλυκύτητα, πρὸς τὰ δριμέα καὶ δάκνοντα ῥεύματα συμφορώτατόν ἐσlιν, οὐ μόνον ἀποπλῦνον αὐτὰ, ἀλλὰ καὶ περιπλατlόμενον τοῖς σώμασιν, ὡς μὴ γυμνοῖς αὐτοῖς προσπίπlειν τὸ
2 ἐπιῤῥέον. Σύγκειται δὲ ἐκ τριῶν οὐσιῶν τὸ σύμπαν γάλα, ὀρώδους,

un médicament plus subtil que la céruse, quoiqu'il n'aille pas jusqu'à
53 échauffer. Le fard minéral conserve les propriétés refroidissantes de la céruse; mais il prend de la subtilité, de façon que, par l'effet de cette propriété, ses vertus médicales peuvent s'insinuer dans la profondeur
54 des corps auxquels il touche. — Comparé au cuivre pyriteux, le *psoricum* est plus desséchant et moins irritant : il est donc aussi plus subtil, bien entendu.

2. SUR L'AVANTAGE QU'ON RETIRE DES ANIMAUX. — TIRÉ DE GALIEN.

1 Le lait le plus favorable à la santé, c'est-à-dire celui qui n'a ni amertume, ni acidité, ni goût salé, ni âcreté, ni mauvaise odeur, mais qui est agréable et doué d'un léger goût sucré, est très-utile contre les fluxions âcres et irritantes, parce qu'il ne les emporte pas seulement en lavant, mais qu'il s'applique aussi aux parties, de façon à empêcher que
2 l'humeur affluente ne soit immédiatement en contact avec elles. Le lait, considéré dans son ensemble, se compose de trois substances : la subs-

1. πως ACV. — Ib. θερμαῖνον Φυσικῶς Aët. — 2-3. δι' αὐτῆς AV Aët.; δ' αὐτῆς C. — 5. γίνεται Gal., Aët. — Ch. 2; l. 6. οὔτε..... οὔτε..... οὔτε Gal. Aët; item. l. seq. — 10. γυμνούς A; γυμνοῖ V. — Ib. αὐτοῖς om. V in lac. — 11. Κεῖται V. — Ib. γάρ ACV. — Ib. οὐσιῶν om. AC 1ª m. V in lac. — Ib. τό conj.; om. Codd. Gal., Paul. — Ib. ὀῤῥώδους C 2ª m.; ἐξ ὀρώδους V; τυρώδους Gal., Paul.; om. AC 1ª m. in lac.

τυρώδους, λιπαρᾶς. — Ὁ μὲν οὖν ὀρὸς ῥυπῖικὴν ἔχει δύναμιν, ὅθεν 3
περιῤῥύπῖει τε καὶ περιπλύνει τὰς δριμύτητας ἀδήκτως· τὸ δὲ τυ-
ρῶδες καὶ παχὺ τοῦ γάλακτος ἐμπλάτῖεται καὶ κατὰ τοῦτο τὰς δρι-
μύτητας ἀμϐλύνει. Τὸ δὲ ὅλον, ἁπλῶς εἰπεῖν, γάλα παρηγορικόν 4
ἐσῖι φάρμακον, ἄδηκτον μὲν ἔχον καὶ τὴν ὅλην οὐσίαν, πολὺ δὲ
μᾶλλον, ὅταν ἐκδαπανήσωμεν αὐτῆς ἑψήσει μετρίᾳ τὸ πλέον τῆς
ὀρώδους ὑγρότητος. — Τῷ περὶ γάλακτος δὲ λόγῳ καὶ τὸ περὶ 5
τοῦ τυροῦ προσθεῖναι χρὴ διότι γάλα πεπηγός ἐσῖιν. Οὐ μὴν ἥ 6
γε οὐσία πᾶσα τοῦ γάλακτος πήγνυται κατὰ τοὺς τυρούς, ἀλλὰ τὸ
παχὺ μόνον, ἀποκρινομένου καὶ χωριζομένου τοῦ λεπῖοῦ καὶ ὀρώ-
δους. Ἀποκρουσῖικὴν μὲν οὖν ὁ μαλακός τε καὶ νεοπαγὴς τυρὸς ἔχει 7
δύναμιν, ἐμψύχων ἀτρέμα, ὁ δὲ ὀξυγαλάκτινος πρὸς ταύτῃ καὶ δια-

tance séreuse, la substance caséeuse et la substance grasse. — Le petit 3
lait a des propriétés détersives : il emporte donc les acrimonies, en dé-
tergeant et en lavant de tout côté sans causer d'irritation, tandis que la
partie caséeuse et épaisse du lait s'insinue dans les pores, et émousse,
de cette façon, les acrimonies. L'ensemble du lait est, pour le dire en 4
un mot, un remède sédatif qui, par toute sa substance, est exempt de
l'inconvénient de causer des picotements, et bien plus encore quand
on a épuisé, à l'aide d'une cuisson modérée, la plus grande partie de
son liquide séreux. — A ce que nous avions à dire sur le lait, il faut 5
ajouter ce qui regarde le fromage, parce que le fromage est du lait coa-
gulé. Cependant toute la substance du lait ne se coagule pas dans les 6
fromages, mais seulement sa partie épaisse, tandis que la partie ténue
et séreuse s'en sépare et reste isolée. Le fromage mou et récent a des 7
propriétés répercussives, parce qu'il refroidit doucement, tandis que le
fromage au lait aigre possède, en outre, un léger degré de propriétés

1. τυρῶδες AC 1ª m.; ὀῤῥώδους Gal., Paul. — Ib. Ὁ δ' ὀῤῥός Gal. — Ib. ὅθεν Paul.; om. ACV Gal., *ad Eun.* — 2. περιῤῥύπῖων Gal., *ad. Eun.*; ...ρύπῖει ACV. — Ib. τε om. V. — Ib. περιπλύνων Gal., *ad. Eun.*; lac. ACV. — Ib. τὰς ἐν τοῖς ἐντέροις δριμύτητας Gal. — 3. ἐμπλάτῖ. μᾶλλον Gal. — 4. ἁπλῶς ὡς εἰπεῖν ACV. — Ib. παρηγορητικόν V. — 5. δή ACV. — 7. ὀῤῥώδους Gal., Aët., et sic semper. — Ib. τό ex em.; om. ACV Gal. — 8-9. ἥ γε om. ACV. — 10. τε καὶ χωριζομ. Gal.; καὶ χειριζομ. A 1ª m.; χωριζομ. V. — 12. καὶ πρὸς ταῦτα καὶ Gal.

8 φορητικὴν ἐπικτᾶται βραχεῖαν. — Βούτυρον γίνεται μὲν ἐκ τοῦ λιπαρωτάτου κατὰ τὸ γάλα, καθά Φησι Διοσκορίδης μὲν ἐκ τοῦ προβατείου, ἀλλὰ γίνεται καὶ ἐκ τοῦ βοείου, πεπτικῆς τέ ἐστι δυνάμεως, ἔχον ὀλίγον τι τῆς διαφορητικῆς ἐπί τε τῶν μέσων κατὰ
9 μαλακότητα καὶ σκληρότητα σωμάτων. — Πυτία πᾶσα δριμείας ἐστὶ καὶ λεπτυντικῆς καὶ διαφορητικῆς δυνάμεως, καὶ δηλονότι καὶ ξηραντικῆς· ἕπεται γὰρ τοῖς εἰρημένοις ἐξ ἀνάγκης τοῦτο.

10 Χολή· οὗτος ὁ χυμὸς ἀποδέδεικται θερμότατος εἶναι τῶν ἄλλων
11 χυμῶν. Ἐν μὲν οὖν τοῖς θερμοτάτοις ἀναγκαῖόν ἐστι καὶ τὴν χολὴν ὑπὲρ τὰς τῶν ἄλλων ζώων εἶναι χολὰς, ἐν δὲ τοῖς ἧττον ἐκείνων θερμοῖς ἀνάλογον ἀπολείπεσθαι καὶ τὸν χυμὸν τοῦτον, ὅσον ἀπο-
12 λείπεται καὶ τοῖς ἄλλοις. Φαίνεται δὲ ἡ χολὴ τοῖς μὲν μᾶλλον θερ-

8 favorables à la perspiration. — Le beurre se forme de la partie la plus grasse du lait, d'après ce que prétend Dioscoride (II, 81), du lait de brebis; cependant on en fait aussi avec du lait de vache, et il est doué de propriétés maturatives, tandis qu'il possède aussi des propriétés favorables à la perspiration peu prononcées, pour les corps qui sont dans
9 un état moyen sous le rapport de la mollesse et de la dureté. — Toute espèce de présure a des propriétés âcres, atténuantes et favorables à la perspiration; elle possède donc aussi des propriétés desséchantes, car c'est une conséquence nécessaire de ce qui a été dit en premier lieu.

10 *Bile* : nous avons démontré que cette humeur était la plus chaude
11 d'entre toutes les humeurs. Il est donc inévitable que, chez les animaux très-chauds, cette humeur surpasse [en chaleur] la bile des autres ani-
12 maux dans la même proportion que les autres humeurs. Chez les animaux qui ont un excès de chaleur, la bile se montre jaune, tandis que,

1. μέν] μένει AC. — 2. καθά Φησι conj. .....Φησι ACV; quemadmodum scriptum reliquit Ras.; θαυμάζω δ' ὅπως ὁ Gal. — 2-3. μὲν ἐκ τοῦ προβατείου conj.; ....προβατείου ACV; ex ovillo atque etiam caprillo lacte Ras.; ἐκ προβατείου Φησὶν αὐτὸν καὶ αἰγείου τὴν γένεσιν ἔχειν Gal. — 3. ἀλλά om. Ras. Gal. — Ib. γίν. καὶ ἐκ τοῦ βοείου conj.; .....ου ACV; ἐγὼ γὰρ ἐκ τοῦ βοείου τὸ Φάρμακον τοῦτο γινόμενον οἶδα Gal.; om. Ras. — Ib. πεπτικῆς ἐστι V; πεπτικῆς..... A; πεπτικοῦ..... C; πεπτικῆς δ' ἐστὶ Aët.; πεπτικῆς τε καὶ μετρίως διαφορητικῆς ἐστι Paul. — 5. καὶ σκληρότ. om. A. — 6. καὶ λεπτ. om. Gal. — Ib. καί post δηλονότι om. Gal. — 8. εἶναι] πάντων Aët., Paul. — 11. καί] κατά ACV. — 12. κἂν Gal.

μοῖς ζῴοις ξανθὴ, τοῖς δὲ ἧτῖον ὠχρά· μιγνυμένης γὰρ ὀρώδους
ὑγρότητος τῇ ξανθῇ, τὴν ὠχρὰν συμβαίνει γίνεσθαι. Καὶ *ὅταν γε* 13
τὰ θερμὰ ζῷα πεινήσαντα τύχῃ καὶ διψήσαντα, πρὸς τὸ μέλαν
ἐκτρέπεται χρῶμα, ποτὲ μὲν ἰῶδες ἔχουσα τοῦτο, ποτὲ δὲ κυανοῦν,
ἐνίοτε δὲ τὸ τῆς ἰσάτιδος, ὅπερ ἐσῖὶ φαιότερον τοῦ τῆς κράμβης.
Πρόσεχε *τοίνυν καὶ σὺ τῷ χρώματι τῆς χολῆς, ὅταν σκευάζῃς φάρ-* 14
μακον, ἐν ᾧ καὶ χολῆς τι περιέχεται. Γ*ίνωσκε τοίνυν, ἐὰν μὲν ξαν-* 15
θὴν ἱκανῶς ἐμβάλῃς χολὴν τῷ σκευαζομένῳ φαρμάκῳ, θερμότερον
αὐτὸ ποιήσων· ἐὰν δὲ ὠχρὰν, μετρίως θερμόν. Κα*ί τινων ταύρων* 16
ἐθεασάμην χολὴν κυανῆν, ὑπεροπῖηθείσης τῆς ξανθῆς, ἣν οὐκ ἠξίωσα
βαλεῖν εἰς τὸ σκευαζόμενον φάρμακον, ἀλλὰ ἑτέρου ταύρου τὴν με-
τρίως ξανθὴν εἱλόμην· ὑπερεπεπονήκει γὰρ ὁ ταῦρος ἐκεῖνος βιαίως
ἑλκόμενος, καὶ θερμοτέραν ἔσχηκε τὴν κρᾶσιν. — Ε*ἴσι δὲ καὶ αἱ* 17

chez les animaux moins chauds, elle est pâle : en effet, la bile pâle ar-
rive à se former, quand il s'opère un mélange entre un liquide séreux et
la bile jaune. Quand les animaux chauds ont à supporter la faim ou la 13
soif, leur bile prend une couleur noirâtre, qui se rapproche quelquefois
du vert-de-gris, d'autres fois, du bleu foncé, d'autres fois encore, de la
couleur du pastel, couleur qui est plus foncée que celle du chou. Lors 14
donc que vous préparez un médicament, où il entre une certaine quan-
tité de bile, il faut faire attention à la couleur de cette humeur. Sachez, 15
par conséquent, que, si vous mettez de la bile assez fortement colorée en
jaune dans le médicament que vous préparez, vous le rendrez trop
chaud, tandis que, si vous y mettez de la bile pâle, vous lui donnerez
une chaleur modérée. J'ai observé, chez certains taureaux, de la bile d'un 16
bleu foncé, parce que la bile jaune avait été échauffée outre mesure; je
ne jugeai donc pas devoir mettre cette bile dans le médicament que je
préparais; mais je choisis celle d'un autre taureau, laquelle était d'un
jaune modéré, car le premier taureau s'était fatigué outre mesure, parce
qu'il avait été tiraillé violemment, et il avait un tempérament plus
chaud que de coutume. — La bile de tous les oiseaux est plus âcre et 17

6. *τῶν χολῶν* Gal., Aët. — 7. *Ἴσθι* Gal. Aët. — 9. *ποιήσεις* Gal. — 12. *ὑπερεπονήκει* AC ; *ὑπερπεπονήκει* Gal. — 13. *καί*] *ὥσῖε εὔδηλον ὅτι καὶ θυμωθεὶς ἐν τούτῳ τῷ ἔργῳ* Gal. — Ib. *ἐσχήκει* V; *ἔσχε* Gal.

τῶν πτηνῶν χολαὶ πᾶσαι δριμύτεραι καὶ ξηραντικώτεραι τῶν ἐν τοῖς τετράποσι, τῶν δὲ πτηνῶν αὐτῶν αἵ τε τῶν ἀλεκτορίδων καὶ τῶν περδίκων ἀμείνους εἰς ἰατρικὴν χρείαν, αἱ δὲ τῶν ἱεράκων καὶ ἀετῶν δριμεῖαι δεινῶς εἰσι καὶ διαβρωτικαί· διὸ καὶ ἰώδεις φαίνον-
18 *ται κατὰ τὴν χρόαν, ἐνίοτε δὲ καὶ μέλαιναι.* Ταύτας *οὖν αὐτῶν ἐπιστάμενος τὰς διαφορὰς, ἐπιστάμενος δὲ καὶ τῶν παθῶν τίνα μὲν μᾶλλον δεῖται ξηραίνεσθαι, τίνα δὲ ἧττον, ἐὰν μιᾶς ἡστινοσοῦν χολῆς ἀπὸ τῶν ἔργων πειραθῇς, ἀπὸ ἐκείνης εἰς τὰς ἄλλας μεταβαίνειν δυνήσῃ κατὰ μέθοδον, ὥστε ἀεὶ τὴν ἁρμόττουσαν τῷ πάθει παραλαμβάνειν.*
19 — Ἱ*δρὼς τῆς ἁλμυρᾶς τε καὶ ἀλυκῆς ὀνομαζομένης μετέχει ποιότη-*
20 *τος· πολλάκις δὲ αὐτῇ καὶ πικρότης συνεμφαίνεται.* — Οὖ*ρον θερμὸν μὲν πάντων τῶν ζώων ἐστίν· ἧττον δὲ τὸ τῶν ψυχροτέρων.*
21 Ἀ*νθρώπων δὲ οὖρον ἁπάντων τῶν ἄλλων σχεδὸν οὔρων ἐστὶν ἀσθε-*

plus desséchante que celle des quadrupèdes, et, parmi les diverses espèces d'oiseaux, la bile des poules et des perdrix se prête le mieux à l'usage médicinal, tandis que celle des éperviers et des aigles est excessivement âcre et corrosive : c'est pour cette raison qu'elle présente une couleur de vert-de-gris, quelquefois même une couleur noire. —
18 Connaissant donc ces différences entre les diverses espèces de bile, et sachant, en outre, quelles sont les maladies qui exigent un dessèchement plus prononcé et quelles sont celles qui en exigent un plus faible, vous pourrez, pourvu que vous connaissiez, par l'expérience, les effets produits par une espèce quelconque de bile, faire méthodiquement la transition de cette espèce aux autres, de manière à employer toujours
19 l'espèce qui convient contre la maladie dont il s'agit. — La sueur possède la qualité qu'on appelle salée ou saline; souvent aussi on y ob-
20 serve de l'amertume combinée à cette qualité. — L'urine de tous les animaux est chaude; mais celle des animaux plus ou moins froids l'est
21 moins. L'urine de l'homme est plus faible que celle de presque tous les

1. *πτηνῶν ζώων* V Gal. — 1-2. *χολαί..... πτηνῶν* om. C. — 1. *τε καί* V Gal. — 3. *εἰσὶ μὲν ἀμείνους* Gal. — 4. *αὐτῶν* C. — Ib. *δριμεῖαι ἱκανῶς* Gal., Aët. — 4-5. *φαίνονται* om. C. — 5-6. *ἐπιστάμενοι* C. — 6. *καὶ ἐπιστάμενος δὲ καί* V. — 6-7. *δεῖ μᾶλλον* Gal.; *δεῖται* A 1ª m. — 7. *μιᾶς κε τινοσοῦν* C. — 8. *εἴη* AC; *ἐπί* Gal. — Ib. *δυνήσει* AC; *δυνάμεις* V. — 9. *παραβαίνειν* V. — 11. *αὐτῇ* ex em.; *αὐτή* Gal.; *αὐτῷ* ACV. — Ib. *πικρότητος* V; *πικρότητα σαφῇ* Gal. — Ib. *συνενδείκνυται* Gal. — 13-p. 728, l. 1, *ἀσθενέστατον* Gal.

νέσϊερον, ὅτι μὴ τῶν ἡμέρων ὑῶν, ὧν ἐκτέμνουσι τοὺς ὄρχεις· ἐκείνων γὰρ ἥ τε κρᾶσις ὅλου τοῦ σώματος ὁμοία τῇ τῶν ἀνθρώπων ἐσϊὶ, τό τε οὖρον ὡσαύτως ἀσθενές. Ῥυπϊικῆς δὲ δυνάμεως, εἴπερ τι καὶ 22
ἄλλο, τὸ τῶν ἀνθρώπων ἐσϊὶν οὖρον, ὡς δηλοῦσι καὶ οἱ κναφεῖς, τὰ ῥυπαρὰ τῶν ἀμφιεσμάτων ἐκκαθαίροντές τε καὶ ἀποῤῥύπϊοντες αὐτῷ. — Σίαλον ἀσθενέσϊερον μέν ἐσϊι τὸ τῶν ἐδηδοκότων καὶ πεπωκό- 23
των, ἰσχυρὸν δὲ καὶ δριμὺ τὸ τῶν ὑπερδιψησάντων καὶ ὑπερπεινησάντων. Κατὰ ὅλην δὲ τὴν οὐσίαν τὸ πτύελον ἐναντιώτατόν ἐσϊι 24
τοῖς ἀναιροῦσιν ἀνθρώπους θηρίοις· ἐθεασάμην γοῦν ἐπὶ τῷ σιάλῳ μόνῳ σκορπίον καταπϊύσαντος καὶ ἀποθανόντα, καὶ τοῦτο αὐτὸ πάσχοντα ταχέως μὲν ἐπὶ τοῦ τῶν διψώντων τε καὶ πεινώντων πτυέλου, βραδέως δὲ ἐπὶ τῶν ἐμπεπλησμένων βρωμάτων τε καὶ πομάτων.

autres animaux, si on en excepte les cochons domestiques auxquels on coupe les testicules, car le tempérament de tout le corps de ces animaux ressemble à celui des hommes, et leur urine a le même de-
gré de faiblesse. L'urine d'homme est, plus que toute autre substance, 22
douée de propriétés détersives, comme le prouvent, d'ailleurs, les foulons qui nettoient et détergent, à l'aide de ce fluide, les vêtements sales. —
La salive est assez faible chez les gens qui ont mangé et bu, mais elle 23
est active et âcre chez ceux qui ont souffert outre mesure de la soif et de
la faim. Par l'effet de toute leur substance, les crachats sont très-con- 24
traires aux animaux qui tuent les hommes : en effet, j'ai vu un scorpion mourir par l'effet de la salive seule, quelqu'un crachant dessus, et cet effet se produisait rapidement, quand le crachat provenait de gens qui avaient soif et faim, tandis qu'il ne survenait que lentement pour ceux qui s'étaient gorgés d'aliments et de boissons.

3. *Ῥυπϊικῆς ἰδυνάμεως* (sic) A; *Ῥυπϊικῆς δὲ δυνάμεως ἐσϊιν* V; *Ῥυπϊικῆς μὲν οὖν δυνάμεως* Gal., Aët. — Ib. *ἤπερ* AC. — 4. *τό* om. AC. — Ib. *ἐσϊιν* om. V. — Ib. *πολλοὶ καὶ οἱ γναφεῖς* Gal. — 5. *ἡμῖν αὐτῷ* Gal.; *αὐτά* ACV. — 6. *ἀσθενές* Gal., Aët. — Ib. *ἐσϊι τὸ τῶν* conj.; *ἐσϊι τὸ.....* AC; *ἐσϊι.........* V; om. Gal., Aët. — 9-10. *ἐπὶ σιάλῳ νήσϊεως μόνῳ* Aët. — 10. *καί* om. Gal., Aët. — Ib. *ἀποθανοῦντος* AC. — 11. *μὲν ἐπὶ τοῦ τῶν*] *μένει............ τήν* AC. — Ib. *πινόντων* AC.

25-26 Κόπρος πᾶσα διαφορητικωτάτην ἔχει δύναμιν. Τινὲς μὲν οὖν
27 πάνυ συνεχῆ τὴν χρῆσιν ἔχουσι, τινὲς δὲ σπανιωτέραν. Συνεχέ-
στατα μὲν οὖν χρώμεθα ταῖς τῶν αἰγῶν κόπροις, σπύραθοι δὲ ἰδίως
ὀνομάζονται, δριμείας καὶ διαφορητικῆς οὖσαι δυνάμεως, ὡς καὶ
28 τοῖς σκιῤῥουμένοις ὄγκοις ἁρμόττειν. Καὶ μέντοι καὶ καυθεῖσα λε-
29 πτομερεστέρα μὲν, οὐ μὴν δριμυτέρα γε σαφῶς γίνεται. Ἔστι δὲ
ἡ δύναμις αὐτῆς, ἀκαύστου τε καὶ κεκαυμένης, ῥυπτική τε καὶ διαφο-
30 ρητικὴ, καὶ οὐ βραχύ γε τὸ διαφορητικὸν ἔχει. Τὴν μὲν καθόλου
καὶ κοινὴν δύναμιν ἅπασιν εἶναι τὴν αὐτὴν ἀκούειν χρὴ, ἐξηλλάχθαι
δὲ κατὰ τὰς τῶν ζώων κράσεις· τῶν μὲν γὰρ ξηροτέρων τῇ κράσει
ζώων καὶ ἡ κόπρος ἐστὶ ξηραντικωτέρα, καθάπερ γε καὶ τῶν θερ-
μοτέρων θερμαντικωτέρα· ψύχει δὲ οὐδεμία, καθάπερ οὐδὲ ὑγραί-

25 Toute espèce d'excrément a des propriétés très-favorables à la perspi-
26 ration. Certaines espèces d'excréments sont d'un usage très-fréquent,
27 tandis que d'autres sont d'un emploi plus rare. Les excréments de chèvre
sont ceux dont nous nous servons le plus fréquemment; on les appelle spécialement boules, et ils ont des propriétés tellement âcres et favorables à la perspiration, qu'elles conviennent même contre les tumeurs
28 squirrheuses. Quand on brûle ces excréments, ils deviennent plus sub-
29 tils, mais ils ne deviennent pas manifestement plus âcres. Qu'ils soient brûlés ou non, leurs propriétés sont détersives et favorables à la perspiration, et ils possèdent cette dernière propriété à un degré assez notable.
30 Il faut comprendre que leurs propriétés générales et communes sont les mêmes pour toutes les espèces, et que ces espèces diffèrent seulement en raison du tempérament des animaux dont elles proviennent : en effet, les excréments des animaux d'un tempérament sec sont plus desséchants que les autres, tandis que ceux des animaux chauds sont plus échauffants; mais aucune espèce ne refroidit, pas plus qu'aucune espèce n'hu-

2. οὖν] καί Gal. — 3. πύραθοι CV. — 4. οὖσα V; om. A 1ª m. — Ib. δυνάμεως om. A 1ª m. — 4-5. ὡς..... ἁρμόττειν om. A 1ª m. — 5. Καὶ μέντοι καυθ. A 2ª m. CV; μέντοι καυθ. A 1ª m. — 5-6. ῥυπτικωτέρα τε καὶ λεπτομ. Paul. — 6. φαίνεται A. — Ib. γάρ Gal. — 7. αὐτῆς om. A. — 8. οὐδὲ βραχὺ τό ACV. — Ib. Τοῦτο καὶ νῦν μέμνησο τήν Gal. — 9. ἅπασιν..... αὐτήν om. ACV in lac. — Ib. ἀκούειν conj.; .....ουει. AC; om. V Ras., Gal. — Ib. χρή conj.; .....νω..... AC; om. V Ras., Gal. — 10. δὲ παρὰ τήν Paul.; om. ACV in lac. — Ib. κρᾶσιν τε καὶ δίαιταν Paul. — Ib. μέν] ἐν AC; om. V.

νει. Πολλὴ δὲ ἂν εἴη καὶ παρὰ τὴν τῶν ἐδηδεσμένων αὐτοῖς φύσιν ἡ διαφορὰ, καὶ διὰ τοῦτο ἐπὶ ἀνθρώπου μᾶλλον ἢ τῶν ἄλλων ζώων μείζων ἐσῖιν, ὅτι ποικιλωτάταις τροφαῖς χρῆται τὸ ζῶον· τί γὰρ ὅμοιον ἔχει σκόροδά τε καὶ κρόμμυα φαγόντος, ἢ κολοκύνθας, εἰ οὕτως ἔτυχεν; 31 *Αἱ δὲ τῶν βοῶν κόπροι μετὰ τῆς ξηραντικῆς δυνάμεως ἔχουσι καὶ τὴν ἑλκτικήν.* 32 *Ἡ δὲ τῶν κροκοδείλων κόπρος καὶ ἡ τῶν ψάρων, ὅταν ὄρυζαν μόνην ἐσθίωσι, ῥυπῖικὴν καὶ ξηραντικὴν ἔχουσι δύναμιν, μετρίαν μὲν ἑκατέρα, καὶ πολὺ μετριωτέραν καὶ ἀμυδροτέραν αἱ τῶν ψάρων.* 33

Ῥύπος ὁ τῶν ἀνθρώπων ξηραντικῆς ἐσῖι δυνάμεως, ἔχων τι καὶ θερμότητος· ὅ γε μὴν ἐπιτρεφόμενος τοῖς τῶν προβάτων ἐρίοις ῥύπος, ἐξ οὗ τὸν καλούμενον οἴσυπον ποιοῦσι, πεπῖικῆς ἐσῖι δυνάμεως παραπλησίως τῷ βουτύρῳ, βραχὺ δέ τι καὶ διαφορητικὸν ἔχει. 34

mecte. Il y aura une grande différence aussi suivant la nature des aliments ingérés, et, pour cette raison, cette différence est plus grande chez l'homme que chez les animaux, parce que l'homme se sert d'aliments très-variés : en effet, quelle ressemblance y a-t-il entre les excréments de celui qui a mangé de l'ail ou de l'ognon et ceux d'un homme qui aurait mangé des courges, par exemple? 31 Les excréments de bœuf ont, outre leur pouvoir desséchant, des propriétés attractives. 32 — Les excréments de *crocodile* [terrestre], ainsi que ceux des étourneaux, quand ils n'ont mangé que du riz, ont des propriétés détersives et desséchantes, et les deux espèces possèdent ces propriétés à un degré modéré, quoique, dans les excréments d'étourneau, elles soient beaucoup plus modérées et plus faibles que dans ceux des *crocodiles*. 33

La crasse des hommes est douée de propriétés desséchantes, et elle a, en outre, un certain degré de chaleur; mais celle qui se forme sur la laine des brebis, et avec laquelle on fabrique la substance appelée suint, a des propriétés maturatives semblables à celles du beurre, et elle possède, en outre, des qualités légèrement favorables à la perspiration. 34

1. Πολλά C Gal. — Ib. *ἐδηδεσμάτων* (sic) C. — Ib. *αὐτῶν* Gal. — 4. *ὅμοιον*] *μᾶλλον* C. — Ib. *φαγόντος* ex em.; *φαγόντας* ACV; *φαγόντες* Gal. — 5. Αἱ *δέ* om. C. — 6. *τῶν χερσαίων κροκοδ. τούτων τῶν μικρῶν τε καὶ χαμαιρεπῶν κ.* Gal. — 8. *μετρίαν ἑκατέραν* Gal. — 8-9. *μετριώτεραι κ. ἀμυδρότεραι* Gal.

35 Σάρκες ἐχιδνῶν διαφορητικήν τε καὶ ξηραντικὴν ἱκανῶς ἔχουσι δύναμιν ἅμα τῷ θερμαίνειν μετρίως· ἐπείγεται δὲ, ὡς ἔοικεν, ἡ δύναμις αὐτῶν ἐπὶ τὸ δέρμα, διὰ τούτου κενοῦσα τὰ κατὰ τὸ σῶμα
36 περιτίώματα. Φθειρῶν τε γοῦν οὐκ ὀλίγον πλῆθος γεννᾶται τοῖς ἔχουσι κακοχυμίαν ἐν τοῖς σώμασι δαψιλῆ, καὶ τοῦ δέρματος ἀφίσίαταί τε καὶ ἀποπίπίει καθάπερ τις λοπὸς ἡ ἐπιδερμὶς ὀνομαζομένη, κατὰ ἣν ἴσχονται μᾶλλον τῶν εἰς τὸ δέρμα φερομένων χυμῶν οἱ παχεῖς καὶ γεώδεις, ὑπὸ ὧν αἵ τε ψῶραι καὶ αἱ λέπραι καὶ ἐλε-
37 φαντιάσεις γίνονται. — Κοχλιῶν ἡ σὰρξ κοπεῖσα πρότερον ἐν ὅλμῳ καὶ μετὰ ταῦτα λειωθεῖσα ξηραντικωτάτη γίνεται πάντων τῶν ὑγρότητα περιτίὴν ἐχόντων μορίων, ὥσίε καὶ τοῖς ὑδερικοῖς ἁρμόττειν.

38 Πιμελῆς δὲ σίέαρ διαφέρει τῷ πάχει· διὸ καὶ τοῖς γεωδεσίέραν ἔχουσι τὴν ὅλην φύσιν ζῴοις τὸ σίέαρ γίνεται, καθάπερ τοῖς ὑγρο-

35 La chair de vipère a des propriétés assez fortement favorables à la perspiration et desséchantes, et, en même temps, elle échauffe modérément : à ce qu'il paraît, la vertu médicinale de ces chairs se presse d'arriver à la peau pour évacuer, à travers cette membrane, les superfluités
36 contenues dans le corps. Il se forme donc une quantité assez considérable de poux chez ceux qui ont une abondance de mauvaises humeurs dans le corps, et il se détache et tombe de la peau une espèce d'écorce qu'on appelle épiderme, sous laquelle les humeurs épaisses et terreuses, qui se portent vers la peau et qui produisent la *psore*, la *lèpre* et l'élé-
37 phantiasis, sont le plus souvent retenues. — La chair d'escargot acquiert, si on la pile d'abord dans un mortier, et si on la triture ensuite, des propriétés très-actives pour dessécher toutes les parties contenant une humidité superflue, raison pour laquelle elle convient aussi contre l'hydropisie.

38 La graisse diffère de l'axonge sous le rapport de l'épaisseur : aussi les animaux dont la nature, considérée dans son ensemble, est plutôt terreuse, ont-ils de la graisse, et ceux dont la nature est plutôt humide,

1. Ici V a en titre ἀπὸ τοῦ ια' τῶν ἁπλῶν ἐκ τοῦ Ξενοκράτους. — Ib. τε om. C. — 2. ἰσχυρῶς Gal. — 3. κινοῦσα Gal. — 4. δὲ οὖν V; τε οὖν Gal. — 6. τε om. C. — Ib. λέπος τι Gal. — Ib. ἡ ACV. — 7. καθ' ὅν V. — 8-9. οἱ ἐλέφαντες Gal. — 10. γίνονται A. — 13. δὲ om. V. — 14-p. 732, l. 1. ὑγροτέροις A.

τέραν ἡ ϖιμελή. Διὰ τοῦτο τοιγαροῦν ἡ μὲν ϖιμελὴ τήκεται ῥᾳδίως 39
ὑπὸ τοῦ ϖυρὸς, οὐ ῥᾳδίως δὲ ϖήγνυται τακεῖσα, τὸ δὲ σΊέαρ οὔτε
τήκεται ῥᾳδίως, κἂν τακῇ, ϖήγνυται τάχισΊα καὶ Φαίνεται ϖολὺ
σκληρότερον τῆς ϖιμελῆς. Ὗς μὲν οὖν εὐτροφῶν ϖιμελὴν ϖλείσΊην 40
ἔχει διὰ τὴν Φυσικὴν τῆς κράσεως ὑγρότητα, βόες δὲ καὶ αἶγες ὅσα
τἆλλα κερασφόρα διὰ τὴν ξηρότητα τὸ σΊέαρ ϖλεῖσΊον γεννᾷ. Σὺ 41
δ' εἰ βούλει, τὴν ἐλαιώδη καὶ λιπαρὰν οὐσίαν ἅπασαν ἐν τοῖς ζῴοις
κάλει σΊέαρ ὥσπερ οἱ ϖλεῖσΊοι τῶν ἰατρῶν· ἔξεσΊι δέ σοι καὶ ϖι-
μελὴν ὁμοίως. Ὑγρότατον δὲ τὸ σΊέαρ τῶν ὑῶν σχεδὸν ἁπάντων τῶν 42
ἄλλων, καὶ διὰ τοῦτο κατὰ τὴν ἐνέργειαν ἐγγὺς ἐλαίου τὴν δύναμιν,
μαλακτικώτερόν γε μὴν ἐλαίου καὶ ϖεπΊικώτερόν ἐσΊι, καὶ διὰ τοῦτο
τοῖς ϖρὸς Φλεγμονὰς ἁρμόττουσι καταπλάσμασι μίγνυται· τοῖς δὲ
δακνομένοις κατὰ τὸ ἀπευθυσμένον ἢ τὸ κῶλον ἐνίεμεν αἴγειον μᾶλ-
λον ἢ ὕειον σΊέαρ, οὐχ ὅτι μᾶλλον ἀμβλυντικόν ἐσΊι δριμύτητος,

de l'axonge. Pour cette raison donc, l'axonge fond facilement par l'effet 39
du feu, mais ne se coagule pas facilement une fois qu'elle est fondue,
tandis que la graisse ne fond pas facilement et se fige de nouveau très-
rapidement, quand elle est fondue; enfin, on voit qu'elle est aussi beau-
coup plus dure que l'axonge. Le porc a, quand il est bien nourri, la 40
plus grande quantité d'axonge, à cause de l'humidité naturelle de son
tempérament, tandis que les bœufs, les chèvres et les autres animaux
cornus, vu leur tempérament sec, produisent la plus grande quantité de
graisse. Si cela vous plaît, vous pouvez appeler graisse toute substance 41
huileuse et grasse provenant des animaux, comme le font la plupart des
médecins; vous pouvez tout de même l'appeler aussi axonge. Les porcs 42
ont la graisse la plus liquide de presque tous les animaux, et, pour cette
raison, cette graisse se rapproche de l'huile par ses propriétés actives;
seulement elle est plus ramollissante et plus maturative que l'huile :
voilà pourquoi on en met dans les cataplasmes qui conviennent contre
les inflammations, tandis qu'on a plutôt recours à la graisse de chèvre
qu'à celle de porc pour les lavements qu'on injecte dans le rectum, ou
dans le colon en proie aux picotements, non pas parce que la graisse

8. *κωλεῖν* A; *καλεῖν* A 2ª m. C. — Ib. *δέ* om. AC. — 9. *ὁμοίως*] *ὀνομάζειν ἅπαν τοῦτο τὸ γένος* Gal. — Ib. *δέ* om. V. — 9-10. *τῶν ἄλλων ἐσΊίν* Gal.; *ἀλλων* A 1ª m. — 11. *μαλακτικωτέραν* AC; *μαλακωτέραν* V. — Ib. *τε μήτε* AC.

ἀλλὰ ὅτι τὸ μὲν αἴγειον ϖήγνυται ῥαδίως διὰ ϖάχος, ἀποῤῥεῖ δὲ
τὸ ὕειον ὁμοίως τῷ ἐλαίῳ, καὶ διὰ τοῦτο μίγνυται καὶ τοῖς ἕλκη
θεραπεύουσι Φαρμάκοις, οἷόν ϖέρ ἐσ7ι καὶ τὸ ὀνομαζόμενον ϖάρυ-
43 γρον. Καὶ διὰ λεπ7ομέρειαν δὲ ἔνια μᾶλλον ἀμϐλύνει δριμύτητας,
ὅταν ἐν τῷ βάθει τῶν δακνομένων σωμάτων τὸ λυποῦν ᾖ· ὅλα γὰρ
διεξέρχεται τὰ σώματα καὶ ϖᾶσι κεράννυται τοῖς δάκνουσιν ἰχῶρσιν
44 αὐτό. Κατὰ τοῦτο γοῦν καὶ τὸ χήνειον σ7έαρ τὰ κατὰ βάθος τῶν
σωμάτων δάκνοντα μᾶλλον ἀμϐλύνει· ἔσ7ι δὲ καὶ θερμότερον τοῦ
45 ὑείου. Μεταξύ γε μὴν αὐτῶν ἐσ7ὶ τὸ τῶν ἀλεκτρυόνων καὶ τὸ τῶν
46 ἀλεκτορίδων. Θερμότερον δὲ ἀεὶ καὶ ξηρότερον τὸ τῶν ἀῤῥένων
ζώων ἐσ7ὶν, αὐτῶν δὲ τούτων τὸ τῶν ἐκτετμημένων ἧτ7ον θερμόν
τε καὶ ξηρόν ἐσ7ιν· ὁμοιοῦται γὰρ ἀεὶ τὰ εὐνουχισμένα ἄῤῥενα τοῖς
47 ὁμογενέσι θήλεσιν. Ἁπάσης μὲν οὖν ϖιμελῆς μέμνησο ὑγραντικὴν

de chèvre émousse mieux l'acrimonie, mais parce qu'elle se coagule
rapidement par suite de son épaisseur, tandis que la graisse de porc
glisse sur les surfaces comme l'huile : c'est encore là la raison pour-
quoi on en met dans les médicaments destinés au traitement des ul-
43 cères, comme celui qu'on nomme parhygrum. La subtilité donne encore
à certaines espèces de graisse la propriété d'émousser plus fortement les
acrimonies que les autres, lorsque la cause des incommodités a son
siége dans la profondeur des parties en proie aux picotements : en effet,
ces graisses pénètrent complétement les parties, et se mêlent à tous les
44 liquides ténus qui causent les picotements. Pour cette raison aussi, la
graisse d'oie émousse plus fortement que celle de porc, ce qui produit
des picotements dans la profondeur des parties, et, en outre, elle est plus
45 chaude. La graisse de poule et celle de coq tiennent le milieu entre
46 ces deux espèces. La graisse des animaux mâles est toujours la plus
chaude et la plus sèche; mais, parmi les mâles eux-mêmes, la graisse des
individus châtrés est moins chaude et moins sèche, car les mâles châ-
trés deviennent toujours semblables aux femelles de la même espèce.
47 Souvenez-vous donc que toute graisse a la propriété d'humecter et

1. ϖαχυ..... AC; om. V. — 3. καὶ τὸ ὀνομ. conj.; καὶ ὀνο..... AC; καὶ τὸ καλούμενον Gal.; om. Ras. — 9-10. καὶ τὸ τῶν ἀλεκτ. om. Gal. — 11.. τετμημένον AC; ἐκτεμνομένων τοὺς ὄρχεις Gal.; om. V. — 12. ἀεί] ἄν C. — 13. μέμνησο conj.; δύναμις Ras., Gal.; om. ACV in lac. — 13-p. 734, l. 1. ἐσ7ιν ὑγραντική τε καὶ θερμαντική Gal., Ras.; τὴν ὑγραντικὴν..... θερμαντικήν AC; om. V.

εἶναι τὴν δύναμιν καὶ θερμαντικὴν τῶν ἀνθρωπίνων σωμάτων· αἱ
δὲ κατὰ ἑκάσΊην αὐτῶν διαφοραὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧτΊόν εἰσιν·
τοῦ μὲν γὰρ ὑὸς, ὡς πρὸς ἡμᾶς, ἡ πιμελὴ τὸ μὲν ὑγραίνειν ἔχει
δαψιλῶς, τὸ θερμαίνειν δὲ οὐχ ὁμοίως ὥσπερ τοὔλαιον, ἀλλά ἐσΊι
κατὰ τὴν ἐν ἡμῖν θερμότητα καὶ ἡ τοῦ λίπους τῶν ὑῶν. Ἡ δὲ τῶν 48
ταύρων πολὺ θερμοτέρα καὶ ξηροτέρα τῆς τῶν ὑῶν ἐσΊιν. Τὸ δὲ 49
μόσχειον σΊέαρ ἀπολείπεται τοῦ τῶν ταύρων θερμότητι καὶ ξηρό-
τητι, καὶ τὸ τῶν ἐρίφων τοῦ τῶν αἰγῶν, τοῦτο δὲ τοῦ τῶν τράγων,
αὐτὸ δὲ πάλιν τὸ τῶν ταύρων τοῦ τῶν λεόντων· διαφορητικώτα-
τον γὰρ ἐκεῖνο σχεδὸν ἁπάντων τῶν ἐν τοῖς τετράποσιν· καὶ γὰρ
θερμότατόν ἐσΊι καὶ λεπΊομερέσΊατον. Χρονίζον δὲ ἅπαν σΊέαρ 50
ἑαυτοῦ γίνεται θερμότερόν τε καὶ λεπΊομερέσΊερον, ὥσΊε καὶ δια-
φορητικώτερον.

d'échauffer le corps humain, tandis que les différences spéciales qu'elle
présente ne sont que graduelles : en effet, considérée par rapport à
nous, la graisse de porc a la faculté d'humecter largement, seulement
elle ne saurait échauffer dans la même proportion, comme c'est le cas
pour l'huile; mais la chaleur de cette graisse est au même degré que la
nôtre. La graisse de taureau est beaucoup plus chaude et plus sèche que 48
celle de porc. La graisse de veau reste en deçà de celle de taureau sous 49
le rapport de la sécheresse et de la chaleur; il en est de même pour
celle des jeunes boucs comparée à celle de chèvre, pour celle de chèvre
comparée à celle des boucs adultes; enfin pour celle des taureaux mêmes
comparée à celle des lions, car, de toutes les graisses de quadrupède,
cette dernière paraît favoriser le plus fortement la perspiration : en effet,
elle est la plus chaude et la plus subtile. Toute graisse devient, si on 50
la laisse vieillir, plus chaude, plus subtile, et, par conséquent, plus fa-
vorable à la perspiration qu'elle n'était auparavant.

1. σωμάτων· τούτου γὰρ μεμνῆσθαι χρὴ διὰ παντός Gal. — 2. ἕκασΊον Gal. — Ib. διαφοράν AC. — 5. καὶ ἡ του] ινενη (sic) AC; om. V. — Ib. Ἡ δέ] η του A; .....κτου C; om. V. — 6. ἐσΊιν om. CV Gal. — 8. καὶ τοῦ τῶν ἐρίφων τό ACV. — Ib. τοῦτο δὲ τὸ τῶν V; τοῦ AC; ἀπολείπεται δὲ καὶ τὸ τῶν αἰγῶν τοῦ τῶν Gal. — Ib. τράγου C. — 9. αὐτῶν δή Gal. — Ib. τράγων Aët. — Ib. τούτων δὲ ὄντων AC. — 10. καὶ γὰρ καί Gal.

51 Μυελὸς μαλακτικῆς τῶν σκληρυνομένων τε καὶ σκιῤῥουμένων σω-
μάτων ἐσΊὶ δυνάμεως, εἴ τε μύες, εἴ τε τένοντες, εἴ τε καὶ σπλάγχνα.
52 ΚαλλίσΊου δὲ ἐπειράθην ἀεὶ τοῦ τῶν ἐλάφων, ἐφεξῆς δὲ τοῦ τῶν μό-
σχων· ὁ δὲ τῶν ταύρων καὶ τράγων δριμύτερός ἐσΊι καὶ ξηραντικώτε-
53 ρος, ὥσΊε οὐ δύναται διαλύειν σκληρότητας σκιῤῥώδεις. Λαμβάνεται
δὲ οὐ μόνον ὀσΊῶν μυελὸς, ὅσπερ δὴ καὶ ὄντως ἐσΊὶ μυελὸς, ἀλλὰ
καὶ ὁ ἐκ τῆς ῥάχεως, ὃν καὶ αὐτὸν ὀνομάζουσι μυελὸν νωτιαῖον, ὄντα
